Die weitgehende Vermeidung oder Umgehung von Perfekt- und Plusquamperfekt-Formen in umgangssprachlichen Texten, die in byzantinischen Metaphrasen zu hochsprachlichen Werken eingehend untersucht wurde — vgl. HUNGER (1981, S. 169–172) und HUNGER/ŠEVČENKO (1986, S. 221–227) —, scheint auch für unser Rechenbuch typisch zu sein, wie die folgende, ziemlich vollständige Formenliste belegt. Wir finden außer den bereits erwähnten Formen von δίδωμι, τίθημι, γίνομαι und καματεύω — vgl. Abschnitt 2. 2. 5 — z. B. nur πέφυκε 4/24 u. ö., δεδήλωκε 65/32 u. ö., δεδηλώκαμεν 16/5.18 u. ö., νενοημένον 21/4, τετελεσμένον 37/32, μεμάθηκας 41/28, 108/4, συμβεβηκότος 42/2.24, σεσημειωμένα 44/10, διηρτημένα 65/7, ἀποδέδεικται 73/9, μεμονωμένους 73/33, συνημμένους 77/6, συμπεφωνημένου 78/4, σεσοφισμένως 80/26, εἴληφα 80/32, γεγράφαμεν 92/28, μεμειγμένη 93/15 f., προειρημένα 120/21 f., διειρημένως 130/25 u. ö., διειρημένας 130/39, κεκριμένον 135/24, λεληθότως 135/39, προσείληφε 135/39 sowie als einzige Plusquamperfekt-Form ἐγεγράφεσαν 92/29, während die Formen des Aorists bei Weitem dominieren.
In der Hochsprache würde man hier anstelle von ἐγεγράφεσαν das Passiv (ἐγέγραπτο oder γεγραμμένα ἦσαν) erwarten. In diesem Zusammenhang sei auch auf die merkwürdige Verwendung von εἰδώς in aktiver und passiver Bedeutung hingewiesen: Vgl. z. B. μὴ εἰδότες δὲ ἡμεῖς 78/10 mit τὸ μὴ εἰδὸς χρυσίον 175/18.

2. 3. 8 Modi und Tempora in Haupt- und Nebensätzen

Wegen der Itazismen und der wechselnden Schreibung der O-Laute ist bei vielen Konstruktionen nicht erkennbar, ob der Autor den Indikativ oder den Konjunktiv meint. In der Transkription wurde in solchen Fällen jeweils der Modus gewählt, der hochsprachlich vorgeschrieben ist oder — wie etwa der Konjunktiv als üblicher Ersatz für den Optativ — grammatisch korrekter erscheint; eindeutige Indikative und Konjunktive des Schreibers wurden natürlich belassen.
Die folgenden Angaben über die Modi sind auf der Grundlage dieses Transkriptionsgrundsatzes zu verstehen.
Der Potentialis wird im Hauptsatz in der Regel wechselweise mit Indikativ und Konjunktiv, im Nebensatz meistens mit Konjunktiv konstruiert: οὐκ ἂν ἔχῃς καλῶς καθορᾶν τὰς ψήφους 37/30, ἔχῃς ἂν καλῶς διαμερίσαι 46/17 f.; καλῶς ἂν καὶ διὰ τῶν τριῶν λέγεται 70/11; εἶπεν ἄν τις 140/34; τὸ ... ἔλαττο ... δικαίως ἂν λέγοιτο τζάκισμα 46/5 ist die einzige Optativ-Konstruktion im Text.
Beispiele für den Potentialis im Nebensatz sind ὡς ἂν εἴπῃ τις 29/1, 172/4 f. u. ö., ... ἢ ὅσων ἂν εἴπῃς πλειόνων ἢ ἐλαττόνων ἐξαγίων ποσότητα 175/19 f. und οὐκ εἶπον, ὅτι ἐσμὲν ἄν(θρωπ)οι τόσοι, ἀλλ' εἶπον, ὅτι ἡμεῖς ... ἐσόμεθα ἂν ἄν(θρωπ)οι ρ΄ 77/7 ff.

Allerdings vertritt ὅτι hier nur einen Doppelpunkt, wie folgende andere Sätze belegen: λέγομεν, ὅτι ἄφελε τόδε καὶ τόδε ... ὀβέλισον 37/31; ἀρξάμενος δὲ λέγειν, ὅτι πρόσθες τόδε καὶ ἄφελε τόδε ... 37/32 f.; τοῦτο δέ, ὅπερ εἴπομεν, ὅτι πρόσθες ϛ´ ... 43/11

Mit εἰ und ἐάν eingeleitete Konditionalsätze werden offenbar beliebig mit Indikativ oder Konjunktiv konstruiert, z. B. εἰ ... τελεσθῶσι 14/23, εἰ δὲ γένηται 15/7, εἰ διαιρεθῶσι 15/9 f., εἰ ... λάβῃς 44/8, εἰ ... εὑρεθῶσι 45/42 f., εἰ ... ὦσι 46/1; ἐὰν ... ὑπέσχετο 122/32.34

Die Konjunktionen ὁπόταν und ὅταν werden in der Regel mit dem Indikativ konstruiert: ὁπόταν ἐστὶ τὰ ῥέτουλα ... 108/1; ὅταν οὖν ἐστι τὸ κέρδος ... 158/2 in unmittelbarer Nachbarschaft zu ὅταν δὲ τὸ κέρδος ἔχει 158/3 f., weswegen in der Transkription nicht ἔχῃ gewählt wurde

Beim irrealen Satzgefüge tritt mitunter wieder ἐάν c. ind. auf: ἐὰν ... ὁ ... τόπος ... εἶχε δ´, ἐδήλου ἂν ... 6/12 f., ἐὰν δὲ ... ἦν τρία ... mit Präsens δηλῶσι ohne ἄν im Hauptsatz 5/26 f.

Auch bei mit εἰ konstruiertem Irrealis fehlt zuweilen ἄν: εἶχες ... ἀφελεῖν, εἰ τὰ ἄνωθεν ... ἦσαν ... 133/9 f.

Häufig steht beim Irrealis (der Gegenwart?) das Prädikat des Hauptsatzes im Aorist: εἰ μὲν ... ἦν θ´, ... ἔθηκας ἂν ... 27/11 ff., εἰ ... οὐκ ἐχώρει ..., ἔθηκας ἂν ... 28/15 ff., εἰ δὲ ... εἶχες ..., οὐκ ἂν ἀφεῖλες ... 33/6 f.

Hochsprachlich korrekt konstruierte Irreales sind z. B. εἰ δὲ ... εἶχε ϛ´, ἐδήλου ἂν ... 4/36–5/1 (ganz ähnlich 6/13) und εἰ δὲ ... ἔλαβες ..., ἐγένοντο ἂν ... 141/20.

Indefinite Konditionalsätze werden meistens mit κἄντε - κἄντε eingeleitet, das (ebenso wie das klassische εἴτε - εἴτε) disjunktive Bedeutung hat ("sei es, dass – sei es, dass" bzw. "ob – oder"). Der Modus dieser Sätze schwankt zwischen Indikativ und Konjunktiv: κἄντε β´ ἐστὶ κἄντε α´ 15/30 f., κἄντε ἐλάττω ἐστὶ κἄντε καὶ πλείω 22/18, κἄντε πρὸς τὸ μεῖζον ἀφορῶσι κἄντε πρὸς τὸ ἔλαττο 3/8, κἄντε εἰς ϛ´ καταλήξῃ, κἄντε ἔχῃ τι ἔλαττο τῶν ζ´ 15/16, κἄντε φλουριὰ διαμερίζῃς κἄντε ὑπέρπυρα κἄντε τι ἕτερον 53/11 f.

Auch der Modus in abhängigen Fragesätzen schwankt: Wir finden Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως, ἐὰν καλῶς ἢ οὐ καλῶς ἐγένετο τὸ ζητούμενον 7/36 f. (Überschrift von Kap. 7), ähnlich 16/20 f., σκόπει ... καλῶς ..., τίνες ἂν ἀριθμοί εἰσι ἐπιστρεπτικοί 46/15 f., andererseits σκόπει, ποῦ ἂν ᾖ ὁ τῆς χιλ(ι)άδος τόπος 6/28, καὶ ἔνθα ἂν καταλήξωσι ... αἱ ... ἡμέραι, ... ἐκεῖσέ ἐστι ἡ ἀρχή 130/33 f.

Hingegen ziehen die mit ἄν verbundenen Temporalkonjunktionen ἐπάν, ἐπειδάν und μέχρις ἄν regelmäßig den Konjunktiv nach sich: ἐπὰν δὲ τελέσῃς ... 44/22, ἐπάν σοι γένηται ... 92/40, ἐπειδὰν σημανθῶσι ... 76/29, μέχρις ἂν οὕτως ποιῶν τελέσῃς ... 42/23, μέχρις ἂν ἔχῃς σχίσαι καὶ διαμερίσασθαι 50/15, μέχρις ἂν πληρώσῃς ... 130/32

Ein buntes Nebeneinander der Modi bieten aber wieder die Relativsätze mit ἄν. Beispiele für den Indikativ sind ὅσα ἂν ἕτερα ... μέρη πέφυκε γίνεσθαί ... 4/23 f., καὶ ὅσοι ἂν ἀριθμοὶ ... εἰσι ἐπιστρεπτικοί 46/17, ὅσα ἂν ... τὸ τζάκισμα ἔσχισας 50/11. In unmittelbarer Nähe zur letzten Belegstelle finden wir aber auch εἰς ὅσα ἂν μέρη σχίσῃς 50/14, und zahlreiche weitere konjunktivi-

sche Relativsätze, teilweise auch unter Vernachlässigung von ἄν, begegnen uns im Text, z. B. ὅσα ἂν ἄλλο ... ἔχῃς 13/7, ὅσα καὶ ᾖ 13/14 u. ö., ὅσος γένηται ... ὅσα γένωνται 96/33.36, καὶ ὅσαι λίτραι γένωνται 184/31 f. — vgl. auch den Abschnitt 2. 2. 5. (In diesem Zusammenhang sei noch einmal auf die eigenartige Konstruktion ... τόπος, ἥτις ... hingewiesen — vgl. Abschnitt 2. 2. 1.)

Sehr zahlreich sind die Satzkonstruktionen mit relativischer Angleichung, z. B. ... τῶν δηλωτικῶν ψήφων, ὧν ἐπιζητῶμεν εἰδεῖν 6/37, ... μετὰ τοῦ α΄, οὗ κρατεῖς 21/36. Bei einigen Relativsätzen besteht nun die Besonderheit darin, dass das Relativpronomen auch dann angeglichen wird, wenn es nicht Akkusativ-Objekt ist: μετὰ τῶν ἄνωθεν ε΄, ὧνπερ δηλῶσι ν΄ 8/18. Darüber hinaus kann das Relativpronomen sogar im Akkusativ des Bezugswortes stehen, z. B. ὡς πρὸς ... τὰς ἡμέρας, ἃς παρῆλθον 158/39.

2. 3. 9 Infinitiv-Konstruktionen, absoluter Nominativ

Der Nominativ mit Infinitiv (n. c. i.) tritt zuweilen an die Stelle des hochsprachlichen Akkusativs mit Infinitiv (a. c. i.) — dazu einige Beispiele: τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν κδ΄ φλουριῶν, ὧν ὑπέθου ἔχειν ὁ ἀγοράζων 80/42—81/1, fast genauso 81/8, ὁ μὲν ἀγοράζων εἴπομεν ἔχειν φλουριὰ κδ΄ 84/35, πόσας λίτρας χάλκωμαν χρὴ προσθεῖναι ... πρὸς τὸ γενέσθαι ἑκάστη λίτρα οὐγγιῶν ϑ΄ 172/1 f. (Überschrift zu Kap. 110), ποίησον ... τὰς ιβ΄ οὐγγίας, ἃς ζητεῖς γενέσθαι ἑκάστη λίτρα ἀνὰ οὐγγιῶν ιβ΄, μισὰς ... 173/18 ff., βούλ(ει) δὲ ποιῆσαι τοῦτο ἔχειν ἑκάστη λίτρα καθαρὸν ἀσήμιν οὐγγίας ϑ΄ 176/23.

Im folgenden Satz tritt der Infinitiv unvermittelt an die Stelle eines *verbum finitum*: δέδωκε γὰρ αὐτοῖς ... ὑπέρπυρα ... καὶ ἀρκεσθέντας ἔχειν (hochsprachlich: ἀρκεσθεὶς ἔχει) ἕκαστος αὐτῶν τὸ οἰκεῖον καὶ ἀνάλογον μέρος 135/36 f.

Ein absoluter Nominativ findet sich auf der ersten Seite: ἵνα δὲ μή ... παρασκευάσῃ ὁ χρόνος οὔπω καλῶς παγεωθεῖσα καὶ πλατυνθεῖσα ἡ μέθοδος ... 3/23 ff.

2. 3. 10 Partizipialkonstruktionen

Der Autor verwendet im Bemühen um eine gewählte Ausdrucksweise zahlreiche Satzkonstruktionen mit *participium coniunctum*. Einige wenige Beispiele sind οὕτω δὲ ποιῶν εὑρήσεις καλῶς ... 14/7, καὶ τὴν ἀρχὴν τούτου ἐπιζητῶν ὑπερέβης τὸ μέσον 37/34 f., Τοὺς ἐπιμερισμοὺς ... ὑποτιθέμενοι καὶ ... δηλώσαντες ... δέον ἡμῖν ἔδοξε εἶναι ... 41/23 ff., εἰ μὲν ὅλον λάβῃς μὴ ἔχων θέσθαι ἄνωθεν τούτου περισσόν ... 44/8, μὴ εἰδότες δὲ ἡμεῖς, πόσοι εἰσὶ οἱ ἐσθίοντες, πῶς ἔχομεν τούτους εἰδέναι; 77/9 f., μὴ οὖσα δὲ ταχείας κινήσεως κινεῖται ... 90/10, τοιαῦτα οὖν ὄντα καὶ ἀναγκαῖα καὶ χρήσιμα - ἐροῦμεν πάντα ἐντεῦθεν ἀρξάμενοι 93/3 ff., πολλ(α)πλασιάσας δὲ τοῦτο ... πάλιν ἄρξου ... 102/2 f., ... ἀλλὰ καὶ ... ιε΄ κουκκιῶν σῶμα ὑποθεὶς εἶναι τὸ τῆς νηώς ... εὑρήσεις καλῶς τὸ ζητούμενον ... 158/27 f.

Besonders auffällig sind die in der Schrift-Koine nicht mehr gebräuchlichen zahlreichen *genitivi absoluti* im vorliegenden Text — hier eine Auswahl: καταληφθέντων δὲ τῶν τρόπων τῆς τούτων εὑρέσεως 26/32 f., τί περιέρχεται τοῖς ,β΄ στρατιώταις ἀκεραίων ὄντων τῶν π΄ τουρν(ε)σίων 40/36 f., εἰ δὲ ἀκεραίου ὄντος τοῦ τζακίσματος καὶ τοῦ μεριστοῦ οὐ δύνασαι κατανοῆσαι ... 50/7 f.,

προστεθέντων τῶν ν΄ ὑπερπύρων 51/20 f., ἐνωθέντων τούτων πάντων 56/10, προστιθεμένου δὲ τοῦ ἑνὸς ὀκτακαιδεκάτου 59/25, χρείας καταλαβούσης 86/20, ταχυτέρας τε οὔσης καὶ βραδυτέρας 89/20, αἰτίας εὐλόγου κωλούσης 89/23, ἐνωθέντων τῶν οἰκείων μερῶν 137/28, γενομένου δὲ τούτου 154/30, ἐπιπροσθέντος τῆς ἐπιβολῆς 172/12 u. ö., γενομένου δὲ τοῦ ἔργου 175/25, οὕτω δὲ γενομένου 177/42

2.4 Weitere stilistische Besonderheiten

2.4.1 Attizismen

Eine weitere stilistische Eigentümlichkeit des Autors ist der Gebrauch der attischen Formen von περισσεύειν und περισσός: Wir finden περιττεύειν 42/9, περιττεύει 7/25.41, 10/3 u. ö. neben häufigerem περισσεύει 8/32, 10/12, 12/2 u. o., περιττεύοσι 8/7, 10/4 neben häufigerem περισσεύοσι 8/35, 9/2, 10/6 u. o., περιττεῦον 16/14 f., 178/38 neben häufigerem περισσεῦον 16/16, 44/25, 60/11 u. ö., περιττεύοντα 131/36 neben περισσεύοντα 8/40, 13/3 u. ö., περιττόν 14/37, 44/9 und περιττά 101/5 neben περισσόν 14/18.30 u. ö. und ähnliche Formen.

2.4.2 Anakoluthe

Im krassen Gegensatz zu den Formen der hochsprachlichen Syntax und zu den Attizismen stehen aber die Anakoluthe, die dem Schreiber immer wieder unterlaufen. Stellvertretend für zahlreiche andere Beispiele seien genannt:
καὶ ἰδοὺ τὰ ιε΄ μετὰ τῶν ς΄ πολλ(α)πλασιαζόμενα ... εὕρες, ὅτι γίνονται ς΄ 7/34 f., ὥσπερ γὰρ διαμεριζόμενα τὰ ωις΄ μετὰ τῶν ς΄ γίνεται ὁ τούτων τέλειος διαμερισμὸς ρλς΄ 30/16 f., μεριζόμενα δὲ τὰ π΄ ἐπὶ τοσούτων, ..., ζητεῖς εἰδέναι ... 40/38 ff., ἐνεργοῦντες δὲ οἱ τρεῖς τὸ ζητούμενον καλῶς ἂν καὶ διὰ τῶν τριῶν λέγεται 70/10 f., πόση γίνεται ἡ τούτων ποσότης ἀπαρχῆς μέχρι τέλους ἐν[ν]ούμενοι 73/34, καὶ ὁ μὲν πωλῶν εὕρες, ὅτι ἔχει φλουριὰ ις΄... 81/2, ... ὁ μὲν ιε΄, ὁ δὲ κε΄, ἃ καὶ ἑνώσας ἐγένοντο μ΄ 92/22, ,α΄ δὲ ἐκ τῶν ,α΄ ... ἀφελόμενος ἀπομένει οὐδέν 133/32, ... ἓν σῶμα γενόμενον ... ἔχεις εἰδέναι καλῶς ... 178/15 f.

2.4.3 Pleonasmen

Des Weiteren fallen die zahlreichen Pleonasmen auf, z. B. μέθοδός τε καὶ μεταχείρισις 3/2, τοῦ πρώτου μεγέθους καὶ τῆς τούτου ποσότητος 3/5, μαρτυρίας καὶ ἀποδείξεως 7/36 (Überschrift von Kap. 7), ἀριθμοί τε καὶ ψῆφοι 73/35, τὴν δεσπότην καὶ κύριον 86/20, διδάσκαλός τε καὶ ὁδηγὸς 92/36, ἡ δὲ ἐπιβολὴ καὶ προσθήκη 173/35, κουκκιῶν τε καὶ καράτων 173/35 f., καλῶς τε καὶ ἀληθῶς 8/9 f., ἴσαι καὶ ὅμοιαι 10/15, ὁμαλῶς καὶ ὁμοίως 88/23, πρόχειρος καὶ ῥᾳδία εὕρεσις 93/7 (Überschrift von Kap. 72), τὸ φίνον καὶ τέλειον μάλαγμα 172/6 (Überschrift von Kap. 110), ἀσήμιν καθαρόν τε καὶ τέλειον 172/7, διατεμνόμενά τε καὶ μεριζόμενα 3/4, διανέμων καὶ διαμερίζων 135/33, διαμερίζειν πάντα ἐπιμερισμόν 41/26, Περὶ τῶν ἐσθιόντων δαιτυμόνων 77/3 (Überschrift von Kap. 61), διὰ τὸ δέξασθαι λαβεῖν 112/3, 113/21, καὶ ὁ μὲν κινήσας ἤρξατο ὁδεύων ἔρχεσθαι πρὸς ἡμᾶς 85/1.

Auch δέ und καί werden gelegentlich pleonastisch verwendet, z. B. ζητεῖς δὲ εἰδέναι 38/12 u. o., τὰ δύο δὲ ἐφεξῆς δεύτερα γράμματα 39/13, καὶ περισσεύει καὶ α΄ 10/12 und ganz ähnlich 39/17–19, καὶ γὰρ καὶ ἀπὸ τῶν ϑ η΄ ἀπέμεινε ι΄ καὶ ἀπὸ τῶν β η΄ ἀπέμεινε ι΄ 15/39, καὶ ὅσος ἂν γένηται ὁ πολλ(α)πλασιασμὸς

... 45/15, ἐν ᾧ καὶ πόσον ἐστὶ τὸ χρονικὸν κέρδος ... 123/22.

2. 4. 4 Nachlässigkeiten bei der Niederschrift

Mitunter kann man den Schreiber einer auffälligen Nachlässigkeit bei der Niederschrift des Textes überführen: So schreibt er z. B. παρογενέστερα 95/14, meint aber zweifellos προγενέστερα. Hier liegt vielleicht ein Assoziationsfehler (~ παρόντα) vor, zumal das Wort παρογενέστερα lexikalisch nicht existiert. Ähnlich lässt sich die fehlerhafte Wendung διὰ πικύκλων (~ κύκλων) παραδειγμάτων 41/23 f. erklären, wo der Autor διὰ ποικίλων παραδειγμάτων schreiben wollte. Etwas anders liegen die Dinge bei der sinnwidrigen Verwendung von ὑπέρθου 86/28, 87/24.41 und ὑπέρθεσιν 88/16, wo jeweils ὑπέθου (vgl. z. B. 83/19) bzw. ὑπόθεσιν (vgl. θέσεις 82/2) gemeint ist.

An anderer Stelle (80/4) liest man ἐν τῇ πρώτῃ ἢ τὴν δευτέραν θέσιν, was ich zu ... τῇ δευτέρᾳ θέσει normalisiert habe. In 4/3 finden wir δηλοῦσαν, bezogen auf μέθοδον; es müsste aber δηλοῦντα in der Folge von ταὐτὰ (sc. σημεῖα) τὰ heißen. In ähnlicher Weise stößt man sich an der unpassenden Form des Partizips παραδηλώσαντες 6/16. Des Weiteren finden wir die Formulierungen ἄφελε τοῦτο (i. e. τὸ δεύτερον γράμμα) ἅπαξ, οὐχ ὅτι χωρεῖ ἅπαξ ἀφαιρεθῆναι ἐκ τῶν ἄνωθεν αὐτὸ ς΄... 33/21 f., ganz ähnlich 33/28 f., 35/24 f., und οὐκ ἔχεις οὖν ἀφελεῖν ἅπαξ τὰ ς΄ ἐκ τῶν ἄνωθεν τοῦ ι΄ ὄντα ε΄ 35/29 f., ganz ähnlich 43/36 f., bei denen ich jeweils zu αὐτοῦ bzw. zu ὄντων normalisiert habe.

Einen unvermittelten Wechsel des Numerus der angesprochenen Person zeigt δέον ἡμῖν ἔδοξε εἶναι καὶ περιεκτικῶς ὑμῖν ἐκτιθέναι ..., πῶς ἄρα ἔχεις διαμερίζειν πάντα ἐπιμερισμόν ... 41/25 f.; ein ähnlicher Fall liegt bei πόσον ἐστὶ μείζων ἑκάστη μερὶς τῶν ε΄$\frac{\alpha}{\beta}$ ἐφ᾽ ἑκάστου τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ 65/2 vor, wo der Schreiber das Bezugswort gewechselt hat (ἑκάστου sc. μέρους), ebenso bei διὰ τῆς μεταχειρίσεως τοῦ διὰ τῶν τριῶν 169/32 f., wo er offenbar an διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν dachte.

2. 4. 5 Feststehende Redewendungen

Einige feststehende Redewendungen kehren bei den Aufgabenstellungen, den Lösungen, den Bemerkungen zu den Lösungen, den Proben und den Beispielen häufig wieder und erleichtern dem Leser die inhaltliche Orientierung innerhalb der einzelnen Kapitel.

- zur Aufgabenstellung:
  ῎Εστω ὅτι ~ βούλ(ει) πολλ(α)πλασιάσαι ... 25/16, 60/16 u. ö., ~ βουλ(ει) μερίσαι ... 15/34, ~ βούλ(ει) διαμερίσαι ... 27/9, 52/11, 65/3, ζητεῖς ἀφελεῖν ... 57/9, ~ ζητεῖς λαβεῖν ... 63/10.19, ~ ζητεῖς εἰδέναι ... 59/8, 66/39 u. ö. und besonders häufig ~ ζητεῖς (εἰδέναι), πόσα γίνονται ... 16/27, 58/6, 74/21.30.41 u. o.
- zur Einleitung einer ähnlichen Aufgabe:
  ῎Ετερον τούτου ὅμοιον 67/22, 70/21, 71/22, 36 u. o.
- zur Einleitung einer Umkehraufgabe:
  Καὶ τὸ ἀνάπαλιν 60/4, 64/21, 72/12 u. o.
- zu Beginn einer Lösung:
  ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως 55/15, 56/13, 58/6 f. u. o.

- am Ende einer Lösung:
  καὶ ἰδοὺ (εὗρες, ὅτι) ... 7/10, 7/34, 8/28, 11/38 f. u. o.
- zu Beginn einer weiteren Lösungsmethode:
  Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί ... 41/14, 51/17, 52/39 u. o.
  Καὶ ἄλλως 61/11.29, 95/11 u. o.
- zu Beginn einer weiteren, vom Schreiber als leichter bezeichneten Lösungsmethode:
  Καὶ ἄλλως προχειροτέρως 55/23, 57/17, 99/7 u. o.
- zu Beginn einer anderen Lösungsmethode, bei der mit Geldwerten gerechnet wird:
  Ποιήσωμεν (ποίησον) τοῦτο καὶ διὰ τῆς κοινῆς καὶ πολιτευομένης μεταχειρίσεως 57/26, 65/31, 66/21
  Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, ... ποίησον τοῦτο καὶ διὰ τῆς κοινῆς καὶ πολιτευομένης μεταχειρίσεως 55/33 f., 56/36 f.
  Ποίησον τοῦτο καὶ διὰ τῆς μεταχειρίσεως τῶν φλουριῶν 67/10
  Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, ποίησον τοῦτο καὶ διὰ τῆς κοινῆς μεταχειρίσεως τῶν φλουριῶν 68/1 f.
- zur Angabe der Bedingungen, unter denen die vorher beschriebene Lösungsmethode zum Ziel führt:
  καὶ ταῦτα μὲν οὕτως, ὁπόταν (ὅταν) ... 25/8.39, 123/1, 134/35
  καὶ τοῦτο γίνεται οὕτως, ὅταν ... 120/32
- als Hinweis darauf, dass eine Lösungsmethode aufgrund praktischer Erfahrung besser zu verstehen ist:
  ... ὡς εἰδέναι ἔχεις διὰ τῆς πείρας σαφέστερον 53/8 f., 184/17
- zur abschließenden Feststellung, dass die beschriebene Lösungsmethode auf Aufgaben gleichen oder ähnlichen Typs übertragbar ist:
  ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν (...) διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως (...) ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον 57/6 f., 70/2 f., 72/27 f. u. o.
- zur Einleitung einer Probe:
  ἡ δὲ ἀπόδειξις (καὶ μαρτυρία) ..., ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον, ἔστι αὕτη 7/38, 27/36 u. ö.
  ἡ δὲ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον, γίνεται ... 16/35 f.
  ἡ δὲ ἀπόδειξις (...), ὅτι ἐστὶ ὀρθὸν τὸ ζητούμενον, ἔστι αὕτη 70/16, 81/23
- zum Abschluss einer Probe:
  καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις (...), ὅτι ἐγένετο καλῶς ~ ὁ ἐξελθὼν (...) πολλ(α)πλασιασμός 10/15 f., 12/18 f., ~ ὁ τούτων διαμερισμός 28/10 f. und besonders häufig ~ τὸ ζητούμενον 73/29 f., 87/39 f., 92/22 f. u. o.
  καὶ αὕτη ἐστὶ ἡ μαρτυρία, ὅτι ἐγένετο καλῶς ... 29/26 f.
- zu Beginn eines Beispiels:
  Ἵνα δὲ σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, φέρε εἴπωμεν τοῦτο καὶ δι' ὑποδείγματος 4/26 f., 50/20 f. u. ö.
  Ἵνα δὲ γένηται σαφέστερον τὸ λεγόμενον, ἔστω ... 42/37, ganz ähnlich 66/6 u. ö.
- zu Beginn wichtiger Bemerkungen zur Lösungsmethode:
  Δεῖ δὲ καὶ τοῦτο εἰδέναι ... 16/6, 46/3, 53/26 u. ö.

2.5 Allgemeine Hinweise zur Edition

2.5.1 Zur Gestaltung des Textes und des textkritischen Apparats

Kapitelüberschriften und -nummern sowie Überleitungen zu neuen wichtigen Abschnitten innerhalb eines Kapitels sind fett wiedergegeben, Zwischenüberschriften teilweise gesperrt gedruckt. Dies entspricht im Wesentlichen dem Textbild im Original, wo der Autor an den betreffenden Stellen rote Tinte verwendet hat.

Auch die Rechendiagramme habe ich, soweit es möglich war, an den passenden Stellen in den Text eingebunden.

Die Kapitelnummern des Originals sind abgekürzte Ordinalzahlen, z. B. $\overset{ον}{α}$ für πρῶτον (sc. κεφάλαιον); diese Ordinalzahlen wurden der Einfachheit halber mit Kardinalzahlen wiedergegeben.

Abweichend vom Original habe ich regelmäßig Absätze nach Sinnabschnitten eingeführt, um die Übersichtlichkeit zu erhöhen.

Ohne Rücksicht auf die Eigenheiten und die Unzuverlässigkeit des Schreibers wurde eine sinnvolle Interpunktion eingeführt.

Bei der Groß- und Kleinschreibung habe ich mich im Großen und Ganzen an der Vorlage orientiert, nur bei den Volks- und Städtenamen Περσῶν 3/15, Λατίνων 3/17, Λατίνοις 6/22, 172/4, Λατινικῶς 109/29, Ἰταλικοῖς 3/17.21, Ἑλληνικὴν 3/22, Κωνσταντινουπόλεως 102/11 und bei Χριστοῦ 10/17 habe ich die Kleinschreibung des Autors aufgegeben. Umgekehrt wurde die Ziffer 3 (γ΄) stets kleingeschrieben, während der Autor hier im Unterschied zu allen anderen Ziffern generell die Großschreibung (Γ) wählt.

Im Rechenbuch werden nebeneinander das traditionelle milesische und das positionelle Zahlsystem mit griechischen Buchstabenziffern verwendet. Zur besseren Unterscheidung wurden bei mehrzifferigen Zahlen in positioneller Darstellung Leerzeichen gesetzt, in milesischer Darstellung hingegen nicht — vgl. z. B. die Schreibweisen α ε γ β΄ und ,αφλβ΄ 4/27 für die Zahl 1532. Dies entspricht in der Regel auch dem Schriftbild des Originals. Die Mischschreibweisen — z. B. τ ζ ε΄ 119/20, ,ϛψζα΄ 161/25 — habe ich im Text erhalten und im Apparat vermerkt.

Ansonsten war angesichts der teilweise eigenwilligen Schreibweise von Kardinalzahlen im Original eine Vereinheitlichung und Vereinfachung erforderlich: Über den Zahlbuchstaben deklinierbarer Zahlen tritt häufig die Flexionsendung auf, z. B. $\overset{ων}{κγ}$ 23/8, $\overset{αι}{,α}$ 108/14. Bei der traditionellen Schreibweise indeklinabler Zahlen wird gerne der Auslaut wiederholt, z. B. $\overset{ον}{ρ}$ 6/21, $\overset{α}{ρν}$ 8/13, $\overset{α}{ιβ}$ 9/12, bei längeren Zahlen am Ende einer Überstreichung, z. B. $\overline{τξε}^{ε}$ 34/34, $\overline{,αφξη}^{ω}$ 34/7. Daneben gibt es auch längere Zahlen mit Überstreichung, aber ohne Auslaut, und solche ohne Überstreichung. Die oben genannten Zahlen beispielsweise habe ich im Text stillschweigend in der vereinfachten Form κγ΄, ,α΄, ρ΄, ρν΄, ιβ΄, τξε΄ bzw. ,αφξη΄ wiedergegeben.

Bei den Brüchen mit Nennern zwischen 12 und 20 wurden die griechischen Bezeichnungen für die Nenner unabhängig von der Vorlage zusammengeschrieben, z. B. ϑ΄ ἑξακαιδέκατα 63/22, ιε΄ ἑπτακαιδέκατα 54/32, bei Nennern ab 20 hingegen wurde einheitlich — ebenfalls unabhängig vom Original — die Getrenntschreibung gewählt, z. B. ἕνα εἰκοστὸν πρῶτον 72/25, κε΄ τριακοστὰ

πέμπτα 54/34.

Der textkritische Apparat ist anfangs noch recht ausführlich gehalten, um den Leser in die Schreibgewohnheiten des Autors einzuführen. Ständig wiederkehrende sprachliche Phänomene (vgl. die Abschnitte 2. 1 – 2. 3) wurden später in der Regel nicht mehr kommentiert. Doch hielt ich es für geboten, manche sprachliche Besonderheiten wiederholt in den Apparat aufzunehmen, wenn sie zwischendurch länger nicht aufgetreten waren, z. B. ἄρξου] sic C 143/TA 2 nach ἄρξου] hic et aliubi pro ἄρξαι C 6/TA 1.

2. 5. 2 Kürzungen und Sigla

Sämtliche Kürzungen von normalen Wörtern wurden im Text aufgelöst, ungewöhnliche oder seltene Kürzungen sind zudem im Apparat vermerkt, z. B. $\overset{ου}{\chi\bar{υ}}$ 10/17 = Χριστοῦ, ἆι 13/12 = ἀριθμῶν, ὅπερ ῏ 33/5 = ὅπερ ἐστὶ, ganz ähnlich 36/25, $\overset{α}{\bar{ν}}$ 128/20 = ἰνδικτιῶνα. Den mit der Zahl δέκα zusammengesetzten Imperativ $\overset{α}{\bar{ι}}$πλασίασον 126/4 u. ö. = δεκαπλασίασον habe ich ebenfalls aufgelöst.

Bei der bunten Vielfalt der Abkürzungen von Zahlwörtern im Original war eine Normalisierung und Vereinfachung erforderlich. Die Kürzungen von Zahlsubstantiven wurden grundsätzlich aufgelöst, z. B. μονάδα statt $\overset{δα}{\bar{α}}$ 109/22, δεκάδος statt $\overset{α}{\bar{ι}}$δος 102/4 f., ἑκατοντάδας statt $\overset{ον}{\bar{ρ}}$ταδας 5/4, ἑκατοντάδα statt $\overset{δα}{\bar{ρ}}$ 109/22, χιλιάδος statt ,$\overset{ας}{\bar{αδ}}$ 11/33, χιλιάδα statt ,$\overset{δα}{\bar{α}}$ 109/22. Bei den Zahladverbien wurden die Kürzungen in vereinfachter Form übernommen, z. B. δ΄κις, ε΄κις 15/3 statt $\overset{α}{\bar{δ}}$κις, $\overset{α}{\bar{ε}}$κις, ,α΄κις 49/28 statt $\overset{α}{\bar{α}}$κις und ρ΄κις 97/40, 99/19 statt $\overset{ον}{\bar{ρ}}$τάκις (teilweise mit Vermerk im Apparat). Lediglich die Kürzungen $\overset{ης}{\bar{β}}$ 16/32 und $\overset{ης}{\bar{γ}}$ 11/11 wurden regelmäßig ohne Kommentar mit δίς bzw. τρίς aufgelöst. Abgekürzte Ordinalzahlen habe ich in den Diagrammen erhalten, z. B. $\overset{ος}{\bar{α}}$, $\overset{ας}{\bar{β}}$, $\overset{ος}{\bar{γ}}$ 149/Diagramme, im fortlaufenden Text aber generell ausgeschrieben, also etwa εἰκοστὸν πέμπτον μέρος 41/19 statt $\overset{ον}{\bar{κε}}$ μέρος, τῇ τριακοστῇ τρίτῃ ἡμέρᾳ 85/37.38.42 statt τὴ $\overset{η}{\bar{λγ}}$ ἡμέρα. Die Beispiele sind im Allgemeinen im Apparat vermerkt. Bei der Schreibweise der Brüche bin ich im Wesentlichen den wechselnden Formen und Kürzungen des Autors gefolgt, so bei $\frac{\alpha}{\beta}$ 53/31 und ϛ″ 32/16 für $\frac{1}{2}$, bei $\frac{\alpha}{\gamma}$ 53/33 und γ″ 53/25 für $\frac{1}{3}$ und bei den entsprechenden Varianten für $\frac{1}{4}$ und $\frac{1}{5}$. Abkürzungen wie δ΄ $\overset{α}{\bar{ις}}$ κατα 66/14 f. habe ich natürlich mit δ΄ ἑξακαιδέκατα aufgelöst. Solche Fälle sind im Apparat vermerkt.

Kürzungen oder Sigla vom Maßeinheiten wurden im fortlaufenden Text ebenfalls stets aufgelöst und nur beim ersten Mal im Apparat vermerkt, z. B.: ὑπέρπυρα, ὑπέρπυρον etc. ubique notata ⸗, ⸗ 32/TA 1, κουκκιὰ] hic et passim ⸗ C 39/TA 1, φλουριά] hic et passim $\overset{α}{\bar{φ}}$ C 51/TA 1, οὐγγίαι] hic et passim $\overset{αι}{\bar{ογγ}}$ C 53/TA 1, λίτραι] hic et passim $\overset{αι}{\bar{λ}}$ C 100/TA 1, ῥέτουλα] hic et passim $\overset{τλ}{\bar{ρ}}$ C 102/TA 1, δεκάρι] $\overset{ω}{\bar{ι}}$ C 108/TA 2, χιλιάς] ,$\overset{ας}{\bar{α}}$ C 108/TA 2, μονάδα] $\overset{δα}{\bar{α}}$ C 109/TA 1, τουρν(ε)σ(ίων), τουρν(έ)σ(ια)] $\overset{νσ}{\bar{π}}$ hic et passim C 145/TA 1, ἐξάγιον, ἐξάγια] hic et aliubi $\overset{γ}{\bar{ξ}}$ vel $\overset{γ}{\bar{ξ}}$ C 165/TA 1. Eine Ausnahme habe ich – in Analogie zu den Zahladverbien – bei ιβ΄γγίν 110/30.35, 111/12 gemacht und die Auflösung δωδεκαουγγίν im Apparat vermerkt.

In den Rechendiagrammen hingegen wurden aus Platzgründen die Kürzungen

und Sigla für Maßeinheiten in der Regel beibehalten, teilweise in vereinfachter Form, z. B. ῆ, ⁝ 40/oberes Diagramm = ὑπέρπυρα bzw. κουκκιά, φ 52/oberes Diagramm = φλουριά, ₸ 68/unteres Diagramm oder ₸ν(έ)σι(α) 138/oberes Diagramm = τουρνέσια, ℔ 100/Diagramme = λίτραι, ρτλ 101/Diagramm = ῥέτουλα, ϭϭ 158/unteres Diagramm = ἡμέρας, ς̅ 165/unteres Diagramm = ἐξάγια, ο̅ 166/unteres Diagramm = οὐγγίαι. Auch die in den Diagrammen häufig auftretende Abkürzung τζ̅ 68/unteres Diagramm = τζάκισμα wurde beibehalten. Die Kürzungen in den Diagrammen sind nur gelegentlich aufgelöst, z. B. χιλιάς, δεκάρι 108/Diagramm, οὐγγίαι 115/mittleres Diagramm.

2. 5. 3 Zeichenerklärung für den Text und den kritischen Apparat

C	= Cod. Vind. phil. gr. 65
< >	= zu ergänzen
[ ]	= zu tilgen
( )	= vom Schreiber als selbstverständlich ausgelassene Silben oder Buchstaben
{ }	= vom Schreiber selbst getilgt
fol., f.	= folio
‖	= Ende einer Seite im Original
ϥ	= Null

Beispiele:

γί<νεται> 137/2, δέ<δωκεν> 146/4, τζα<κίσματα> 170/10

αἱ [ἐ] ρ΄ λίτραι 109/20, πρὸς[αι] χάριν 175/19, [ἐ]προσέθηκας 79/4

βούλ(ει) 6/24, πολλ(α)πλασίασον 7/23 f., μαρτ(υ)ρίας 12/22, ἀνάπ(α)λ(ιν) 100/36, die *nomina sacra* στ(αυ)ροειδῶς 16/42 - 17/1, ἄν(θρωπ)οι 51/4 und πν(ευμ)άτων 88/25 (vgl. auch χῦ̅ 10/17 = Χριστοῦ)

{χρήσασθαι ταύτην καὶ ἐπὶ ζῴων καὶ} 98/14, {αἱ δὲ ζ΄ οὐγγίαι ἐστὶ ἔλαττο τῶν θ΄ οὐγγίας β΄.} 180/28 f.

II TRANSKRIPTION

α **Προοίμιον** f. 15r

Ἡ τῆς ἀριθμητικῆς μέθοδός τε καὶ μεταχείρισις δύο κανόνας περιεκτικοὺς ἔχει καὶ οὐ πλείονας· τὰ μὲν ἐλάττονα πολλαπλασιαζόμενα γίνεσθαι μεῖζον τὸ ἀποτέλεσμα, ὅπερ ἦν πρότερον, τὰ δὲ μείζονα μέρη διατεμνόμενά τε καὶ μεριζόμενα ἐλάττονα πάντως γίνεσθαι τοῦ πρώτου μεγέθους καὶ τῆς τούτου ποσότητος. τοῦτο τοίνυν οὕτως ἔχοντος πολλοὶ μὲν πολλάκις μεθόδους προχειροτάτας καὶ ἀσφαλεῖς ἐπειράσαντο ἐξευρεῖν καὶ ἐπινοῆσαι, ὥστε ἀσφαλῶς ὁμοῦ καὶ προχείρως διερευνᾶν τοῖς ἐπιζητουμένοις αὐτῶν μέρεσι, κἄντε πρὸς τὸ μεῖζον ἀφορῶσι κἄντε πρὸς τὸ ἔλαττο. ἡ πεῖρα δὲ τῶν πραγμάτων καὶ ὁ μακρὸς χρόνος ὁ πάντα δυνάμενος ἐξευρεῖν μὲν καὶ ἐμφανίζειν τὰ μήπω ὄντα, τὰ ὄντα δὲ πάλιν λήθῃ παραδοῦναι καὶ ὑποκρύψαι δυνάμενος τὰ γενόμενα ὡς μὴ ὄντα, καθὼς καὶ σοφός τις λέγει

ἅπας ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τὰ κρυπτὰ
καὶ φανέντα κρύπτεται,

ἔδειξεν ἡμᾶς προχειροτ(ά)την καὶ ἀσφαλῆ μέθοδον, ἥτις εὑρίσκετο μὲν παρὰ τῶν πάντα καλῶς εἰδότων καὶ λίαν σοφωτάτων Περσῶν, πρὸς ἡμᾶς δὲ οὐκ ἔφθασε γενέσθαι γνώριμος αὕτη ἡ μέθοδος, ἀλλ᾽ ἐπὶ πολὺ λανθάνουσα ταῖς δυτικαῖς ἡμῶν μέρεσι τέως δήλη ἐγένετο πρός τινας τῶν ἀπὸ τοῖς Ἰταλικοῖς μέρεσι ὄντων Λατίνων· πρὸς ἐκείνους δὲ συναλλάξεως χάριν καὶ πραγματείας ἕνεκεν παραγενομένους καὶ τῇ συναναστροφῇ καὶ πυκνῇ τούτων ἐκεῖσε ἀφίξει παραγενομένους ἐγνωρίσθη καὶ δήλη ἐγένετο. οἶμαι δέ, ὅτι οὐ πλείους τῶν ἑκατὸν χρόνων εὑρέθη αὕτη ἡ μέθοδος καὶ γνώριμος γέγονε πρός τινας τῶν τοῖς Ἰταλικοῖς μέρεσι ὄντων, ἐλάνθανε δὲ πάλιν ἡμᾶς τοὺς τὴν Ἑλληνικὴν γλῶτταν ἐπισταμένους τὸ τῇδε ἐγχείρημα. νῦν δὲ καὶ ἡμᾶς ὁ χρόνος δῆλον τοῦτο ἐποίησε. ἵνα δὲ μή, ὡς ἤδη φθάσαντες εἴπομεν, λήθῃ παραδοῦναι πάλιν ἡμᾶς ταύτη(ν) παρασκευάσῃ ὁ πάντα δυνάμενος χρόνος οὕπω καλῶς ἐν ἡμῖν παγεωθεῖσα καὶ πλατυνθεῖσα ἡ μέθοδος, μᾶλλον δὲ καὶ ἄγνωστος τοῖς πολλοῖς ἔτι οὖσα, ἔδοξε ἡμῖν δίκαιον εἶναι καὶ ἀναγκαῖον μάλιστα διαγράψασθαι ταύτην, ὡς ἂν καὶ τοῖς μήπω εἰδόσι καὶ βουλ(ο)μένοις ταύτην μαθεῖν γνώριμος γένηται.

β **Περὶ τῶν δέκα σημείων, δι᾽ ὧν πᾶς ψῆφος γίνεται**

Δεῖ τοῦτο πρῶτον γινώσκειν, ὅτι αὕτη ἡ μέθοδός τε καὶ μεταχείρισις δέκα ψήφων μόνον σημεῖα χρᾶται καὶ οὐ πλείονα, μετὰ τῶν δέκα δὲ τούτων σημείων δυνάμεθα, εἰ δυνατόν ἐστι τὴν ἡμῶν φαντασίαν κατέχειν τὴν δηλουμένην ποσότητα, ἐξαριθμῆσαι ὡς

---

cap. 1 et 2 ed. Heiberg

3 μεῖζον] μείζων **C** 4 ὅπερ] **Heiberg ed.** ἤπερ μέρη] **hic et passim** μέροι **C** 4/5 πάντως] πάντος **C** 12/13 **Sophocles, Aias 646–647:** ἅπανθ᾽ ὁ μακρὸς κἀναρίθμητος χρόνος / φύει τ᾽ ἄδηλα καὶ φανέντα κρύπτεται 15 οὐκ ἔφθασε] οὐ κεύθασὲ **C** 16 ἐπὶ πολὺ] ἐπὶ πολλὰ **C** ταῖς δυτικαῖς ... μέρεσι] **sic C** 22 τῇδε] τίδε **C** 23 ἤδη] **hic et passim** εἴ δη **C** 24 παρασκευάσῃ] παρασκεβάσι **C** 26 ὡς ἂν] ὅσαν **C** 28 πᾶς ψῆφος] **sic C** 23/24 **Sophocles, Fragm. 954:** χρόνος πάντα ἐς λήθην ἄγει

εἰπεῖν καὶ τὴν ψάμμον αὐτήν· μέχρι τοσούτου προβαίνειν δύνανται ταῦτα τὰ δέκα σημεῖα. εἰσὶ δὲ τὰ δέκα ταῦτα σημεῖα ὅμοια, μᾶλλον δὲ ταὐτὰ τὰ τὴν κοινὴν καὶ πολ(ι)τευομένην δηλοῦσαν ἡμῖν μέθοδον μέχρι τῶν ἐννέα σημείων. τὸ δὲ δέκατον ἔχει σημεῖον, ὅπερ εἰώθαμεν γράφειν, ὅτε βουλόμεθα σημειώσασθαι οὐδέν· ἔστι δὲ τὸ παρὸν υ΄. ἵνα δὲ καὶ σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, διαχαράττω σοι ταῦτα καὶ ἐκτίθεμαι, ὡς ὁρᾷς,

α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄ θ΄ υ΄

καὶ τὸ μὲν πρῶτον ἤγουν τὸ ἄλφα δηλοῖ ἕνα, ὡς καὶ ἐπὶ τῆς κοινῆς καὶ πολιτευομένης μεθόδου οὕτως λαμβάνεται, τὸ δὲ βῆτα δηλοῖ δύο καὶ ἑξῆς ὁμοίως μέχρι τῆς θήτας, ἥτις δηλοῖ ἐννέα· τὸ δὲ ἐλάχιστον καὶ ἔσχατον πάντων σημεῖον, ὅπερ ἐστὶ τὸ παρὸν υ΄, οὐδὲν δύναται δηλῶσαι, ἀλλ᾽ ἔστι καὶ αὐτὸ μὲν δηλωτικὸν τῶν προτιθεμένων αὐτῷ σημείων, αὐτὸ δὲ καθ᾽ αὑτὸ τὸ υ΄ οὐ δύναται δηλῶσαί τι· τὸ γὰρ οὐδὲν οὐδενός ἐστι δηλωτικόν. διὸ καὶ οὐδὲν γράφεται· ἐν ᾧ γὰρ τόπῳ τὸ υ΄ εὑρίσκεται, οὐδενός ἐστι δηλωτικόν, καθὼς ἀκολούθως ἐροῦμεν σαφέστερον.

γ **Περὶ τῶν τῆς μονάδος τόπων δεκάδος τε καὶ ἑκατοντάδος καὶ χιλιάδος καὶ ὅσο ἄλλον ἐφεξῆς μεῖζον πέφυκε γίνεσθαί τε καὶ ὀνομάζεσθαι**

Ὁ πρῶτος τόπος, ὅς ἐστι ἡ τελευταία ψῆφος, δηλοῖ τὰς μονάδας, τουτέστι ἕνα καὶ δύο καὶ τρία μέχρι τῶν ἐννέα· ὁ δεύτερος δὲ τόπος δηλοῖ τὰς δεκάδας, τουτέστι ι΄ καὶ κ΄ καὶ λ΄ μέχρι τῶν ϛ΄· ὁ τρίτος δὲ τόπος δηλοῖ τὰς ἑκατοντάδας, τουτέστι ρ΄ καὶ σ΄ καὶ τ΄ μέχρι τῶν ϡ΄· ὁ τέταρτος δὲ τόπος δηλοῖ τὰς χιλιάδας, τουτέστι ,α΄ καὶ ,β΄ καὶ ,γ΄ μέχρι τῶν ,θ΄. αἱ γὰρ ,ι΄ ἐστὶ μυριὰς καὶ ἐπέχουσι τόπον πέ[ν]μπτον, καὶ ὡς ἐν προχείρῳ εἰπεῖν· οἱ τόποι ἐστὶ ἐκεῖνοι οἱ παραδηλοῦντες ἡμῖν τὰς μονάδας τε καὶ δεκάδας καὶ ἑκατοντάδας καὶ χιλιάδας καὶ ὅσα ἂν ἕτερα μείζονα μέρη πέφυκε γίνεσθαί τε καὶ ὀνομάζεσθαι.

δ **Περὶ τοῦ πῶς ἔστι ἐκτεῖναι ψήφους δηλωτικὰς μέχρι χιλ(ι)άδων καὶ μυριάδων δεκάδας**

Ἵνα δὲ σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, φέρε εἴπωμεν τοῦτο καὶ δι᾽ ὑποδείγματος. ἔστω ὅτι βούλ(ει) σημειώσασθαι ,αφλβ΄· θὲς οὖν ταύτας τὰς ψήφους α ε γ β΄, καὶ ἰδοὺ ταῦτα δηλῶσι, ἅπερ ζητεῖς. καὶ τὸ μὲν β΄ εὑρισκόμενον εἰς τὸν ἔσχατον τόπον, ὡς ἀκολούθως ἀναγινώσκομεν, πρῶτον δὲ μάλιστα τόπον, ὡς εἰώθαμεν ἀριθμεῖν ἐπὶ τῆς τῇδε μεταχειρίσεως, δηλοῖ δύο. εἰ δὲ ὁ αὐτὸς πρῶτος τόπος, ὅστις ‖ ἔχει τὸ β΄, εἶχεν ἂν γ΄, ἐδήλου τρία καὶ ἑξῆς ὁμοίως μέχρι τῆς θήτας, ἥτις δηλοῖ ἐννέα. τὸ δὲ γ΄, ὅπερ προΐσταται τῆς βήτας, εἰς δεύτερον τόπον εὑρισκόμενον, ἥτις ἐστὶ τόπος δεκάδος, δηλοῖ τριάκοντα· τρία γὰρ δηλοῖ τὸ γ΄ εἰς πρῶτον τόπον τῆς μονάδος εὑρισκόμενον. ἐπεὶ δὲ εἰς τόπον δεύτερον, ἥτις ἐστὶ τῆς δεκάδος, ἵσταται, δηλοῖ τρεῖς δεκάδας, τουτέστι λ΄· σῴζει γὰρ τὴν οἰκείαν εἰκόνα καὶ δηλοῖ τρία οὐ μονάδος, ἀλλὰ δεκάδος, τουτέστι λ΄. εἰ δὲ ὁ αὐτὸς δεύτερος τόπος, ὅστις ἔχει τὸ γ΄, εἶχε ϛ΄, ἐδή- f. 15v

---

1 δύνανται] δύνονται **C** 2/3 πολ(ι)τευομένην] πολτὲβομένην **C** 5 διαχαράττω σοι] διὰ χαράτο συ **C** 6 ἐκτίθεμαι] ἐκτίθειμοι **C** 14 δηλωτικόν] δηλωτικός **C** 15 τῶν ... τόπων] τὸν ... τόπου **C** 19 τρίτος] **hic et passim** τρίττος **C** 20 τέταρτος] **hic et passim** τέτταρτος **C** 21 ἐπέχουσι] **hic et passim pro** ἐπέχουσι **C** 22 ἐν προχείρῳ] ἐμπροχείρω **C** ἐστὶ] **ex corr. C** 25 ἐκτεῖναι] ἐκθίναι **C, fort.** ἐκθεῖναι 27 βούλ(ει)] **hic et passim** βουλ΄ **C** 28 δηλῶσι] **hic et passim pro** δηλοῦσι **C** 30 ὅστις] ὥστης **C** 32.34 **et aliubi** ἥτις] **sic C**

λου ἂν ἓξ δεκάδας, τουτέστι ξ΄, καὶ ἑξῆς ὁμοίως μέχρι τῆς θήτας, τουτέστι μέχρι τῶν ἐννέα, ἐδήλου ἂν ϛ΄. τὸ δὲ ε΄ δηλοῖ πέντε, ἀλλ᾽ ἐπεὶ εἰς τρίτον τόπον ἵσταται, σῴζει τὴν οἰκείαν εἰκόναν καὶ δηλοῖ πέντε ἑκατοντάδας, τουτέστι φ΄. εἰ δὲ ὁ αὐτὸς τρίτος τόπος εἶχεν δ΄, ἐδήλου ἂν τέσσαρας ἑκατοντάδας, τουτέστι υ΄. εἰ δὲ εἶχε ϛ΄, ἐδήλου ἂν χ΄, καὶ ἑξῆς ὁμοίως μέχρι τῶν ἐννέα, ἐδήλου ἂν ϡ΄. ὥσπερ γὰρ τὰ ἐν τῷ πρώτῳ τόπῳ, ἥτις ἐστὶ τῆς μονάδος, εὑρισκόμενα σημεῖα δηλῶσι μονάδας, τουτέστι α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ μέχρι τῶν θ΄, οὕτως καὶ εἰς δεύτερον τόπον, ἥτις ἐστὶ τῶν δεκάδων, τὰ αὐτὰ σημεῖα εὑρισκόμενα ἐδήλου ἂν ι΄ κ΄ λ΄ μ΄ ν΄ ξ΄. τὰ αὐτὰ δὲ σημεῖα, τουτέστι τὸ α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄, εἰς τόπον τρίτον, ἥτις ἐστὶ τῆς ἑκατοντάδος, εὑρισκόμενα ἐδήλει ἂν ρ΄ σ΄ τ΄ υ΄ φ΄ χ΄. ὁ δὲ τέταρτος τόπος, ὅστις ἔχει τὸ α΄, τουτέστι τὰ παρόντα σημεῖα α ε γ β΄, ἅπερ δηλῶσι ,αφλβ΄, δηλοῖ μὲν τὸ α΄ ἕνα εἰς τόπον μονάδας εὑρισκόμενον, εἰς τόπον δὲ πάλ(ιν) δεύτερον, ἥτις ἐστὶ δεκάδος, εὑρισκόμενον τὸ α΄ δηλοῖ ι΄, εἰς τρίτον δὲ τόπον εὑρισκόμενον, ἥτις ἐστὶ ἑκατοντάδος, δηλοῖ ρ΄· νῦν δὲ εἰς τόπον τέταρτον εὑρισκόμενον, ἥτις ἐστὶ χιλιάδος, δηλοῖ ,α΄. ἐὰν δὲ εἰς τὸν αὐτὸν τέταρτον τόπον, ὃν ἐστι τὸ α΄, ἦν β΄, ἐπεὶ χιλ(ι)άδος τόπος ἐστί, ἐδήλου ἂν ,β΄· εἰς τὸν αὐτὸν δὲ τέταρτον τόπον τῆς χιλ(ι)άδος, ὅπερ ἂν εὑρεθῇ, τουτέστι γ΄ ἢ δ΄ ἢ ε΄ μέχρι τῶν θ΄, δηλῶσι ,γ΄ καὶ ,δ΄ καὶ ,ε΄ καὶ ἑξῆς ὁμοίως μέχρι τῶν ,θ΄. αἱ δὲ ,ι΄ ἐστὶ μία μυριὰς καὶ ἔχει λόγον πρὸς τὰ ,α΄, ὃν ἔχουσι τὰ ι΄ πρὸς τὸ α΄. καθὼς γὰρ τίθεμεν τὸ α΄ εἰς τόπον πρῶτον, ἥτις ἐστὶ τῆς μονάδος καὶ δηλοῖ ἕνα, ἐπὰν δὲ βουλ(ώ)μεθα σημειώσασθαι ι΄, τίθεμεν τὸ α΄ εἰς δεύτερον τόπον οὕτως κείμενον α ι΄ καὶ δηλοῖ ι΄. οὕτως εἰς τόπον τέταρτον εὑρισκόμενον τὸ α΄ δηλοῖ ,α΄. ἐπὰν δὲ βουλ(ώ)μεθα σημειώσαθαι δέκα χιλ(ι)άδας, τίθεμεν τὸ α΄ εἰς πέμπτον τόπον καὶ δηλοῖ δέκα μὲν χιλιάδας, μίαν δὲ μυριάδαν. ταὐτὸν γὰρ εἰπεῖν δέκα χιλ(ι)άδας καὶ μίαν μυριάδαν· σῴζει γὰρ τὸ α΄ τὴν ἰδίαν εἰκόναν καὶ δηλοῖ καὶ α΄ καὶ ι΄ καὶ ρ΄ καὶ ,α΄ καὶ μύρια εἰς τόπον πρῶτον καὶ δεύτερον καὶ τρίτον καὶ τέταρτον καὶ πέμπτον εὑρισκόμενον. ἐὰν δὲ εἰς πέμπτον τόπον ἦν τρία οὕτως κείμενα γ ι ι ι ι΄, τὰ γ΄ δηλῶσι ⟨γ΄⟩ καὶ λ΄ καὶ τ΄ καὶ ,γ΄ καὶ τρὶς μύρια εἰς πρῶτον τόπον καὶ δεύτερον καὶ τρίτον καὶ τέταρτον καὶ πέμπτον εὑρισκόμενα· σῴζει γὰρ τὴν ἰδίαν εἰκόναν πανταχοῦ εὑρισκόμενα. ἐπὶ μὲν γὰρ τῆς δεκάδος τόπον εὑρισκόμενα τὰ γ΄ δηλῶσι λ΄, ἐπὶ δὲ τὸν τῆς ἑκατοντάδος τόπον, ἥτις ἐστὶ τρίτος τόπος, εὑρισκόμενα τὰ γ΄ δηλῶσι τρεῖς ἑκατοντάδας, τουτέστι τ΄, ὥσπερ καὶ τρεῖς δεκάδαι ἐστὶ λ΄. ἐπὶ δὲ τὸν τέταρτον τόπον, ἥτις ἐστὶ χιλ(ι)άδος, εὑρισκόμενα τὰ γ΄ δηλῶσι τρεῖς χιλιάδας. ἐπὶ δὲ τὸν πέμπτον τόπον, ἥτις ἐστὶ δεκάδα χιλ(ι)άδος, ταὐτὸν δέ ἐστι μυριάδος τόπος, εὑρισκόμενα τὰ γ΄ δηλῶσι λ΄ χιλ(ι)άδας – ταὐτὸν δ᾽ εἰπεῖν τρεῖς μυριάδας καὶ λ΄ χιλ(ι)άδας –, ἅπερ λ΄ χιλ(ι)άδαι οὕτως κείμεναι γ ι ι ι ι΄ ἐστὶ ψῆφοι ἀριθμῶν πέντε. ἐπεὶ οὖν ὁ πρῶτος τόπος ἔχει σημεῖον ι΄, δηλοῖ οὐδέν· τὸ γὰρ οὐδέν, ὡς εἴπομεν, οὐδενός ἐστι δηλωτικόν. ὡσαύτως ἐπεὶ καὶ ὁ δέυτερος τόπος ἔχει ι΄, δηλοῖ οὐδέν· ὡσαύτως καὶ ὁ τρίτος καὶ ὁ τέταρτος, ἐπεὶ ἔχουσι ι΄, οὐδενός ἐστι δηλωτικοί. τοῦτο δὲ μόνον δηλῶσι ἡμῖν τὰ τέσσερα οὐδέν, ὅτι τὰ γ΄, ἅπερ ἐστὶ πρὸ τῶν τεσσάρων οὐδέν, εἰς τόπον πέμπτον εὑρισκόμενα δηλῶσι τρεῖς μυριάδας, ἅπερ ἐστὶ λ΄ χιλ(ι)άδαι. κόψε οὖν ἕνα ι΄ καὶ γράψον τέσσερα γράμματα γ ι ι ι΄. νῦν δέ, ἐπεὶ τέσσερα γράμματά εἰσι, τὰ γ΄ δηλῶσι ,γ΄. κόψε πάλιν ἕνα ι΄ καὶ γράψον τρία γράμματα γ ι ι΄. νῦν δέ, ἐπεὶ τρία γράμματά εἰσι, τὰ γ΄ δηλῶσι τ΄. κόψε πάλιν ἕνα ι΄

---

4 ἑκατοντάδας] ϙταδας **C** 10 ἐδήλει ἂν] **pro** ἐδήλου ἂν 11 ,αφλβ΄] ,αφ **C** 15 ὃν ἐστι **sic C** 39 πρὸ τῶν] πρωτων **C**

καὶ γράψον δύο γράμματα γ μ΄. νῦν δέ, ἐπεὶ δύο γράμματά εἰσι, τὰ γ΄ δηλῶσι λ΄. κόψε πάλιν καὶ τὸ ἕνα μ΄ καὶ γράψον μόνα τὰ γ΄. νῦν δὲ ἓν γράμμα ἐναπομεῖναν δηλοῖ τρία εἰς τόπον μονάδος εὑρισκόμενον. εἰ δὲ βούλει σημειώσασθαι τ΄ χιλ(ι)άδας, ἅπερ ἐστὶ λ΄ μυριάδαι, γράψον ἓξ γράμματα γ μ ͵μ μ μ΄, σημείωσαι δὲ τὸν τέταρτον τόπον τῆς χιλ(ι)άδος μετὰ κοκκίδος τινός. ἐπεὶ δὲ ἔχεις πρὸ τῆς χιλ(ι)άδος, ἥτις ἐστὶ ὁ τέταρτος τόπος, ὃν καὶ ἐσημειώσω μετὰ κοκκίδος, γράμματα δύο, ἀπὸ τῆς κοκκίδος μέχρι τοῦ γ΄ εἰσὶ γράμματα τρία καὶ τόποι τρεῖς. ὁ δὲ τρίτος τόπος, ὅστις ἔχει τὸ γ΄, ἔστι τόπος ἑκατοντάδος, ὥσπερ καὶ ὁ τέταρτος ὁ ἔχων τὴν κοκκίδα ἐστὶ χιλιάδος. τὸ γ΄ δέ, ἐπεὶ ἀπὸ τῆς κοκ<κ>ίδος ἐστὶ εἰς τόπον τρίτον, δηλοῖ τ΄ χιλ(ι)άδας, τουτέστι μυριάδας λ΄· καὶ ἰδοὺ τὸ μ΄, εἰ καὶ καθ᾽ αὑτὸ οὐ δηλοῖ τινα ψῆφον, ἀλλ᾽ ὅμως δηλωτικὸν ἡμῖν καὶ αἴτιον γίνεται δεκάδων τε καὶ ἑκατοντάδων, χιλ(ι)άδων τε καὶ μυριάδων καὶ ὅσο μεῖζο πέφυκε γίνεσθαι. ἐὰν δὲ ὁ αὐτὸς ἕκτος τόπος, ὅστις νῦν ἔχει γ΄, εἶχε δ΄, ἐδήλου ἂν τετρακοσίας χιλ(ι)άδας· εἰ δὲ εἶχε ε΄, ἐδήλου ἂν πεντακοσίας χιλ(ι)άδας καὶ ἑξῆς ὁμοίως μέχρι τῶν θ΄, ἐδήλου ἂν ͵θ΄ χιλ(ι)άδας.

ἱκανῶς δὲ οἶμαι τὰς ψήφους καὶ τοὺς τόπους τῶν δηλωτικῶν χιλ(ι)άδων τε καὶ μυριάδων παραδηλώσαντες πρὸς τὸν ὀξέως ἔχοντα ἐπιβαλέσθαι τῷ πράγματι· ἀναγκαῖον ὅμως, καὶ σαφέστερον ὑμῖν ἐκτιθέναι δι᾽ ὑποδειγμάτων τοὺς τόπους τῶν χιλ(ι)άδων τε καὶ μυριάδων καὶ ὅσο μεῖζο πέφυκε γίllνεσθαί τε καὶ ὀνομάζεσθαι, ὡς ἂν γνώριμοι γένωνται καὶ τοῖς μὴ δυναμένοις ὀξέως ἐπιβαλ(έσθαι). f. 16r

ε Περὶ τοῦ πῶς ἔστι ἐκτεῖναι ψήφους δηλωτικὰς μέχρι χιλ(ι)άδας χιλ(ι)άδων, ἅπερ παρὰ Λατίνοις καλῶνται μιλ(ι)ούνια, παρ᾽ ἡμῖν δὲ νοῶνται ρ΄ μυριάδαι

Ἀριθμός τις μέγιστος παρὰ Λατίνοις εὑρίσκεται, ὅστις παρ᾽ αὐτοῖς μὲν λέγεται μιλιούνιον, παρ᾽ ἡμῖν δὲ νοεῖται ρ΄ μυριάδαι, τουτέστι χίλ(ι)αι χιλ(ι)άδαι. ἔστω δέ, ὅτι σημειώσασθαι βούλ(ει) ιε΄ μιλ(ι)ούνια καὶ υλβ΄ χιλ(ι)άδας καὶ ωξζ΄· θὲς οὖν ταύτας τὰς ψήφους α ε δ γ β η ς ζ΄. αὗται οὖν αἱ ὀκτὼ ψῆφοι δηλοῦσι, ἅπερ ζητεῖς σημειώσασθαι. σημείωσαι δὲ τὸν τέταρτον τόπον τῆς χιλ(ι)άδος διὰ ψηφῖδός τινος. ἄρξου δὲ ἀπὸ τοῦ τετάρτου τόπου τῆς χιλ(ι)άδος, ἐφ᾽ οὗ καὶ τὴν ψηφῖδα ἄνωθεν ἔθηκας, καὶ σκόπει, ποῦ ἂν ᾖ ὁ τῆς χιλ(ι)άδος τόπος ἀπὸ τῆς ψηφῖδος ἀρξάμενος, τουτέστι ἀπὸ τοῦ παρόντος σημείου β΄. εὑρήσεις δέ, ὅτι τὸ ε΄ ἀπὸ τῆς β΄ ἐπέχει τόπον τέταρτον, τουτέστι χιλιάδος, καὶ σημείωσαι τὸ ε΄ διὰ δύο – ὡς ὁρᾷς – ψηφίδων. δηλοῖ δὲ ὁ ἕβδομος τόπος, ὅστις ἔχει τὸ ε΄, πέντε χιλ(ι)άδας χιλ(ι)άδων, τουτέστι πέντε μιλ(ι)ούνια. ἐὰν δὲ καὶ τρίτος τόπος χιλ(ι)άδος ὑπῆρχεν, τουτέστι πλεῖον τῶν δέκα ψήφων, ἐσημειώσω ἂν καὶ τὸν τρίτον τόπον τῆς χιλ(ι)άδος ἀπὸ τοῦ ε΄ ἀρξάμενος, ὅστις ἐστὶ ὁ δέκατος, διὰ τριῶν ψηφίδων, καὶ ἐδήλου ἂν ὁ τόπος ὁ ἔχων τὰς τρεῖς ψηφῖδας, τουτέστι ὁ δέκατος, χιλίας χιλιάδας χιλ(ι)άδων, τουτέστι ͵α΄ μιλ(ι)ούνια. αἱ γὰρ ψηφῖδαι δηλοποιοῦσαι τὰς χιλ(ι)άδας τῶν χιλ(ι)άδων σαφέστερον ἡμῖν παραδηλοῦσι τὴν ζητουμένην ποσότητα τῶν δηλωτικῶν ψήφων, ὧν ἐπιζητῶμεν εἰδεῖν.

αἱ δὲ ὀκτὼ αὗται ψῆφοι α ε δ γ β η ς ζ΄, ἃς καὶ ἄνωθεν ἔγραψας – τὰ μὲν ζ΄, ἐπεὶ εἰς πρῶτον τόπον τῆς μονάδος ἵσταται, δηλοῖ ἑπτά, τὰ δὲ ς΄, ἐπεὶ εἰς δεύτερον τόπον τῆς δεκάδος ἵσταται, δηλοῖ ξ΄, καὶ ἰδοὺ ταῦτα τὰ δύο γράμματα ς ζ΄ δηλοῦσι ξζ΄. τὰ δὲ η΄, ἐπεὶ εἰς τρίτον τόπον, ἥτις ἐστὶ τῆς ἑκατοντάδος, ἵσταται, δηλοῖ ω΄. διὰ γοῦν τῶν τριῶν τούτων η ς ζ΄ ἔχεις ωξζ΄. τὰ δὲ β΄, ἐπεὶ εἰς τέταρτον τόπον, ὅστις ἐστὶ χιλ(ι)άδος, εὑρίσκεται, δηλοῖ ͵β΄· ἔχεις διὰ τῶν δ΄ τούτων β η ς ζ΄

8/9 χιλιάδος] ͵ᾱδος C 27 ἄρξου] hic et aliubi pro ἄρξαι C

,βωξζ΄. τὰ δὲ γ΄, ἐπεὶ εἰς πέμπτον τόπον, ὅστις ἐστὶ μυριάδος, εὑρίσκεται, δηλοῖ τρεῖς μυριάδας, τουτέστι ,λ΄· ἔχεις διὰ τῶν ε΄ τούτων γ β η ς ζ΄ ,λ,βωξζ΄. τὰ δὲ δ΄, ἐπεὶ ἀπὸ τῶν β΄ ἐπέχει τρίτον τόπον, τουτέστι ἑκατοντάδος, δηλοῖ ,υ΄, ταὐτὸν γὰρ εἰπεῖν μ΄ μυριάδας· ἔχεις διὰ τῶν ἓξ τούτων δ γ β η ς ζ΄ ,υ,λ,βωξζ΄. τὰ δὲ ε΄ ἀπὸ τῆς β΄ ἐπέχει τόπον τέταρτον, ὅς ἐστι δηλωτικὸς χιλ(ι)άδας χιλ(ι)άδων, τουτέστι πέντε μιλ(ι)ούνια· ἔχεις διὰ τῶν ζ΄ τούτων ε δ γ β η ς ζ΄ μιλ(ι)ούνια ε΄ καὶ ,υ,λ,βωξζ΄. τὸ δὲ α΄ ἀπὸ τὸ ε΄, ὅπερ δηλοῖ πέντε μιλ(ι)ούνια, ἐπέχει τόπον δεύτερον, ὅς ἐστι δεκάδος, καὶ δηλοῖ δέκα μιλ(ι)ούνια. τὸ δὲ α΄ μετὰ τοῦ ε΄ οὕτως κείμενα α ε΄ δηλοῦσι ιε΄ μιλ(ι)ούνια. ἔχεις διὰ τῶν η΄ τούτων α ε δ γ β η ς ζ΄ μιλ(ι)ούνια ιε΄ καὶ ,υ,λ,β΄ καὶ ωξζ΄· καὶ ἰδοὺ εὗρες, ὅτι τὰ ὀκτὼ ταῦτα γράμματα δηλοῦσι, ὅνπερ ἐξαρχῆς ἐζήτησας ἐκτιθέναι ψῆφον.

ἔστι δὲ καὶ ἕτερος μείζων ἀριθμός, ὅστις καλεῖται λεγεών, τουτέστι χίλιαι χιλ(ι)άδαι χιλ(ι)άδων, ἅπερ ἐστὶ ,α΄ μιλ(ι)ούνια. ἔστω γὰρ ὅτι ζητεῖς σημειώσασθαι ιβ΄ λεγεῶνας καὶ ρν΄ μιλ(ι)ούνια καὶ ,φ,μ,γ΄ καὶ ψξη΄· θὲς οὖν ταύτας τὰς ψήφους α β α ε ε δ ζ ς η΄. αὗται αἱ ια΄ ψῆφοι δηλοῦσι, ἅπερ ζητεῖς σημειώσασθαι, τουτέστι λεγεῶνας ιβ΄ μιλ(ι)ούνια ρν΄ καὶ ,φ,μ,γ΄ καὶ ψξη΄.

ς Περὶ τοῦ πῶς ἔστι πολλ(α)πλασιάσαι δεκάδα μετὰ μονάδας, τουτέστι ιε΄ μετὰ τῶν ς΄

Καιρὸς ἤδη λοιπὸν πρὸς τὸ ἑξῆς προχωρῆσαι καὶ τῆς εἰς τὸν πολλ(α)πλασιασμὸν ὑποθέσεως ἅψασθαι. ἔστω ὅτι ζητεῖς ς΄κις ιε΄ πολλ(α)πλασιαζόμενα πόσα γίνονται. δεῖ οὖν τοῦτο πρῶτον εἰδέναι, ὅτι σχῆμα ἔστι, ὅπερ εἰώθαμεν λέγειν δίπλευρον, δι' οὗ πᾶς πολλ(α)πλασιασμὸς γίνεται. ἔστι δὲ τὸ παρόν· θὲς ἄνωθεν μὲν τὰ ιε΄, ἐκ πλαγίου δὲ τὰ ς΄ οὕτως γὰρ ἐπὶ τῆς παρούσης μεταχειρίσεως χρὴ ποιεῖν,

α ε
ϑ υ | ς
α
ς
ς

ἄνωθεν μὲν κεῖσθαι τὰ μείζονα, ἐκ πλαγίου δὲ τὰ ἐλάττονα. πολλ(α)πλασίασον δὲ τὰ ἐκ πλαγίου ς΄ μετὰ τῶν ἄνωθεν ε΄· ς΄κις οὖν ε΄ γίνονται λ΄, ἅπερ ἐστὶ δεκάδαι τρεῖς, καὶ ἐπεὶ οὐδὲν περιττεύει ἐκ τῶν λ΄, ὥστε εἶναι λβ΄ ἢ λγ΄, ἀλλὰ μόνον δεκάδων δηλωτικά ἐστι τὰ λ΄, κράτει παρὰ σεαυτῷ γ΄ ἀντὶ τῶν λ΄ καὶ θὲς εἰς τὸν τῆς μονάδος τόπον οὐδέν, ὅπερ ἐστὶ τὸ παρὸν σημεῖον υ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ς΄ μετὰ τοῦ ἄνωθεν α΄, ὅπερ δηλοῖ δέκα· ς΄κις οὖν α΄ γίνονται ς΄, ἔστι δὲ ταῦτα δεκάδαι ς΄, τουτέστι ξ΄. ἕνωσον ταύτας τὰς ς΄ δεκάδας μετὰ τῶν γ΄ δεκάδων, ὧν παρὰ σεαυτῷ κρατεῖς ἀντὶ τῶν λ΄, καὶ γίνονται ὁμοῦ δεκάδαι ϑ΄. θὲς οὖν εἰς τὸν τῆς δεκάδος τόπον, ὅστις ἐστὶ ὁ δεύτερος, τὰς ϑ΄ δεκάδας, καὶ ἰδοὺ ἡ ϑῆτα αὐτή, ἅπερ δηλοῖ ἐννέα εἰς τόπον μονάδος εὑρισκομένη, νῦν οὖσα εἰς δεύτερον τόπον, ἥτις ἐστὶ τῆς δεκάδος, δηλοῖ δεκάδας ϑ΄, τουτέστι ϙ΄. τὰ δὲ ϑ΄ μετὰ τοῦ υ΄ οὕτως κείμενα ϑ υ΄ δηλῶσι ϙ΄· καὶ ἰδοὺ τὰ ιε΄ μετὰ τῶν ς΄ πολλ(α)πλασιαζόμενα διὰ τῆς παρούσης μεταχειρίσεως εὗρες, ὅτι γίνονται ϙ΄.

ζ Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως, ἐὰν καλῶς ἢ οὐ καλῶς ἐγένετο τὸ ζητούμενον

Ἡ δὲ ἀπόδειξις καὶ μαρτυρία τούτων, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον, ἔστι αὕτη. ζήτει πρῶτον, ὃν ἂν ἀριθμὸν ἄνωθεν τῆς εὐθείας γραμμῆς πολλ(α)πλασιάζῃς, ἥτις νῦν ἐστι α ε΄. ἄφελε τὰ α ε΄, ὁσάκις χωρεῖ, ἐπὶ τῶν ζ΄· δὶς οὖν ζ΄ γίνονται ιδ΄, περιττεύει || α΄ μέχρι τῶν ιε΄. μέρισον καὶ τὸ ἐκ πλαγίου, ὅπερ ἐστὶ ς΄, ἐπὶ τῶν ζ΄. ἐπεὶ δὲ τὰ ς΄ ἐστὶ ἔλαττο τῶν ζ΄, οὐ δύνανται διαμερισθῆναι ὑπὸ τῶν ζ΄ ἐλάττονα f. 16v


---

7 ἀπὸ τὸ ε΄] sic C pro ἀπὸ τοῦ ε΄ 39 ἥτις] sic C 41 ς΄, ἐπὶ τῶν] difficile lectu

ὄντα· μένοσι δὲ πάλιν ς΄. πολλ(α)πλασίασον δὲ ταῦτα τὰ ς΄ τὰ ἐκ πλαγίου ὄντα μετὰ τοῦ α΄, ὅπερ ἀπέμεινεν ἐκ τῶν ιε΄· ς΄κις οὖν α΄ γίνονται ς΄. θὲς ταῦτα ἐντὸς κύκλου τινός, ὡς ὁρᾷς· (ς). μέρισον καὶ τὸν ἐξελθόντα τέλειον ἀριθμόν, τουτέστι τὰ παρόντα θ υ΄, ἅπερ δηλῶσι ς΄, ἐπὶ τῶν ζ΄. ἄφελε οὖν ἐκ τοῦ πρώτου γράμματος, τῆς θήτας δηλονότι, ζ΄ καὶ ἀπομένοσι β΄. τὰ β΄ ταῦτα μετὰ τοῦ ἐφεξῆς γράμματος, ὅπερ ἐστὶ υ΄, οὕτως κείμενα β υ΄ δηλῶσι κ΄. μέρισον καὶ ταῦτα ἐπὶ τῶν ζ΄· δὶς οὖν ζ΄ γίνονται ιδ΄, περιττέυοσι καὶ ς΄ μέχρι τῶν κ΄. θὲς καὶ ταῦτα ἐντὸς κύκλου τινός· (ς). ἐπεὶ δὲ αἱ δύο τούτων ἀποδείξεις εὑρέθησαν ὅμοιαι ἔχουσα ἑκάστη σημεῖον τὰ ς΄, ὁ ἐξελθὼν τέλειος πολλ(α)πλασιασμός, τουτέστι τὰ θ υ΄, ἐξῆλθον καλῶς τε καὶ ἀληθῶς. εἰ δὲ εὑρίσκοντο ἄνισαι αἱ δύο τούτων ἀποδείξεις, ὥστε ἡ μὲν εἶναι ς΄, ἡ δὲ ἑτερόν τι σημεῖον ἀνόμοιον, ἦν ἂν καὶ τὰ ἐξελθόντα θ υ΄ οὐ καλῶς πολλ(α)πλασιαζόμενα.

η **Περὶ τοῦ πῶς ἔστι πολλ(α)πλασιάσαι ρν΄ μετὰ τῶν ζ΄**

Θὲς τὰ μὲν ρν΄ ὡς πλείονα ὄντα ἄνωθεν, τὰ δὲ ζ΄ ἐλάττονα ὄντα – θὲς ταῦτα ἐκ πλαγίου. πολλ(α)πλασίασον δὲ τὰ ἐκ πλαγίου ζ΄ μετὰ τοῦ ἄνωθεν υ΄. ζ΄κις οὖν υ΄ πάλιν ἐστὶ υ΄. θὲς οὖν κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς μονάδος τόπον υ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ζ΄ μετὰ τῶν ἄνωθεν ε΄, ὧνπερ δηλῶσι ν΄. ζ΄κις οὖν ε΄ γίνονται λε΄, καὶ τὰ μὲν ε΄ ἐστὶ πέντε δεκάδαι, τουτέστι ν΄. θὲς οὖν ε΄ εἰς δεύτερον τόπον, ἥτις ἐστὶ δεκάδος. κράτει δὲ παρὰ σεαυτῷ γ΄ ἀντὶ τῶν τ΄· τὰ γὰρ λ΄ τρεῖς ἑκατοντάδαι εἰσί, τουτέστι τ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ζ΄ μετὰ τοῦ ἄνωθεν α΄, ὅπερ δηλοῖ ρ΄· ζ΄κις οὖν α΄ γίνονται ζ΄, τουτέστι ἑκατοντάδαι ζ΄, ἅπερ ἐστὶ ψ΄. ἕνωσον ταύτας τὰς ζ΄ ἑκατοντάδας μετὰ τῶν γ΄ ἑκατοντάδων, ὧν κρατεῖς παρὰ σεαυτῷ, καὶ γίνονται δέκα ἑκατοντάδαι, τουτέστι χίλια. θὲς οὖν υ΄ εἰς τρίτον τόπον, ὅς ἐστι ἑκατοντάδος· θὲς δὲ πάλιν τὸ α΄, ὅπερ δηλοῖ ,α΄, εἰς τέταρτον τόπον, ὅστις ἐστὶ χιλιάδος. τὸ δὲ α΄ μετὰ τὸ υ΄ οὕτως κείμενα α υ΄ δηλῶσι δέκα· νῦν δὲ εἰς τέταρτόν τε καὶ τρίτον τόπον εὑρισκόμενα δηλῶσι δέκα ἑκατοντάδας, ἅπερ ἐστὶ ,α΄. καὶ ἰδοὺ τὰ ρν΄ μετὰ τῶν ζ΄ πολλ(α)πλασιαζόμενα γίνεται ὁ τέλειος τούτων πολλ(α)πλασιασμὸς ,αν΄.



θ **Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως**

Λάβε τὰ ἄνωθεν δύο πρῶτα γράμματα, ἅπερ οὕτως κείμενα α ε΄ δηλῶσι ιε΄. μέρισον ταῦτα, ὁσάκις χωρῶσι, ἐπὶ τῶν ζ΄· δὶς οὖν ζ΄ γίνονται ιδ΄, περισσεύει καὶ α΄. τοῦτο δὲ πάλιν τὸ α΄ μετὰ τοῦ ἐφεξῆς ἄνωθεν τρίτου γράμματος, ὅπερ δηλοῖ υ΄, οὕτως κείμενα α υ΄ δηλῶσι δέκα. ἄφελε καὶ ταῦτα ἐπὶ τῶν ζ΄· χωρεῖ δὲ ἅπαξ τὰ ζ΄ εἰς τὰ δέκα, περισσεύοσι δὲ καὶ γ΄. θὲς οὖν τὰ γ΄ ταῦτα ἰδίως. μέρισον δὲ καὶ τὸ ἐκ πλαγίου, ὅπερ ἐστὶ ζ΄, ἐπὶ τῶν ζ΄· χωρεῖ δὲ ἅπαξ τὸ ζ΄ εἰς τὰ ζ΄ καὶ ἀπομένει υ΄. πολλ(α)πλασίασον δὲ τὸ υ΄ μετὰ τῶν γ΄, ὧν ἰδίως κρατεῖς. τρὶς οὖν υ΄ πάλιν ἐστὶ υ΄. εἰ δὲ τὰ δύο ταῦτα μέρη τῶν ἄνωθεν καὶ ἐκ πλαγίου, τουτέστι τὰ γ΄ καὶ υ΄, πολλ(α)πλασιαζόμενα ἐγένοντο ἂν δέκα ἢ εἴκοσ(ι), διεμέρισας καὶ ταῦτα ἐπὶ τῶν ζ΄, καὶ τὰ περισσεύοντα κάτωθεν ὄντα τῶν ζ΄ – ἐκράτεις ἂν τοῦτο ἰδίως. νῦν δὲ τὰ γ΄ μετὰ τοῦ υ΄ πολλ(α)πλασιαζόμενα – ὁ τούτων πολλ(α)πλασιασμός ἐστι υ΄. θὲς τοῦτο ἐντὸς κύκλου τινός· (υ). λάβε δὲ καὶ ἀπὸ τοῦ τελείου ἀριθμοῦ, οὗ εὗρες, ὅτι ἐστὶ


---

26 μετὰ τὸ υ΄] **sic C**

α υ ε υ΄, τὰ πρῶτα δύο γράμματα, ἅπερ οὕτως κείμενα α υ΄ δηλῶσι δέκα. ἄφελε ἅπαξ ζ΄ καὶ περισσεύοσι καὶ γ΄ μέχρι τῶν δέκα. τὰ γ΄ δὲ ταῦτα μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα γ ε΄ δηλῶσι λε΄. μέρισον ταῦτα, ὁσάκις χωρῶσι, ἐπὶ τῶν ζ΄· χωρῶσι δὲ πεντάκις τὰ ζ΄ εἰς τὰ λε΄ καὶ ἀπομένει υ΄. τὸ δὲ υ΄ τοῦτο μετὰ τοῦ ἐφεξῆς ἐσχάτου γράμματος, ὅπερ ἐστὶ υ΄, οὕτως κείμενα υ υ΄ δηλῶσι πάλιν οὐδὲν καὶ οὐ δύνανται διαμερισθῆναι ἐπὶ τῶν ζ΄. θὲς οὖν ἐντὸς κύκλου τινὸς υ΄· ⓤ. ἐπεὶ δὲ καὶ ὁ τέλειος ἀριθμός, τουτέστι τὰ α υ ε υ΄ ἀπέδωκαν τελευταῖον σημεῖον τὸ υ΄, ὅπερ ἐστὶ ὅμοιον τῆς ἐντὸς κύκλου τεθειμένης πρώτης ἀποδείξεως, ἑκάστη τούτων ἀπόδειξις ἔχουσα σημεῖον ⓤ– δῆλον ἡμῖν γέγονε, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον. εἰ δὲ ἡ μὲν ἦν ἂν σημεῖον ⓤ, ἡ δὲ ἄλλο τι σημεῖον ἀνόμοιον, ὁ ἐξελθὼν τέλειος πολλ(α)πλασιασμός, τουτέστι τὰ α υ ε υ΄, οὐ καλῶς ἂν ᾖ πολλ(α)πλασιαζόμενα.

ι Περὶ τοῦ πῶς ἔστι πολλ(α)πλασιάσαι ρνγ΄ μετὰ τῶν ιβ΄

Θὲς ἄνωθεν μὲν τὰ ρνγ΄ ὡς πλείονα ὄντα, ἐκ πλαγίου δὲ τὰ ιβ΄. πολλ(α)πλασίασον δὲ τὰ ἐκ πλαγίου β΄ μετὰ τῶν ἄνωθεν γ΄· δὶς οὖν γ΄ γίνονται ς΄. θὲς οὖν κάτωθεν τῶν γ΄ εἰς τὸν τῆς μονάδος τόπον ς΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου β΄ μετὰ τῶν ἄνωθεν ε΄, ὧν δηλῶσι ν΄· δὶς οὖν ε΄ γίνονται α υ΄. θὲς οὖν εἰς τὸν τῆς δεκάδος τόπον υ΄, κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου β΄ μετὰ τοῦ ἄνωθεν α΄, ὅπερ δηλοῖ ρ΄· δὶς οὖν α΄ γίνονται β΄. ἕνωσον τὰ β΄ ταῦτα μετὰ τοῦ α΄, οὗ κρατεῖς ἰδίως ἀντὶ τῶν δέκα, καὶ γίνονται ὁμοῦ γ΄. ἔστι δὲ τὰ γ΄ ταῦτα τρεῖς ἑκατοντάδαι, τουτέστι τ΄. θὲς οὖν τὰ γ΄, ἅπερ δηλῶσι τ΄, κάτωθεν τοῦ α΄, τουτέστι εἰς τρίτον τόπον, ὅστις ἐστὶ ἑκατοντάδος· καὶ ἰδοὺ ἐτέλεσας τὸ ἐκ πλαγίου δεύτερον γράμμα, ὅπερ δηλοῖ β΄, μετὰ τῶν ἄνωθεν ρνγ΄ πολλ(α)πλασιαζόμενον. πολλ(α)πλασίασον δὲ πάλιν καὶ τὸ ἐκ πλαγίου πρῶτον γράμμα, τουτέστι τὸ α΄, ὅπερ δηλοῖ δέκα, μετὰ τῶν ἄνωθεν γ΄ τῶν εὑρισκομένων εἰς τὸν τῆς μονάδος τόπον· ‖ f. 17 r ἅπαξ οὖν γ΄ πάλιν ἐστὶ γ΄. τὰ δὲ γ΄ ταῦτα, ἐπεὶ δεκάδα πολλ(α)πλασιάζεις μετὰ μονάδος, ἔστι τρεῖς δεκάδαι, τουτέστι λ΄. πρόβηθι οὖν τὸν τῆς μονάδος τόπον καὶ θὲς γ΄ κάτωθεν εἰς δεύτερον τόπον, ἥτις ἐστὶ τῆς δεκάδας. πολλ(α)πλασίασον δὲ πάλιν τὸ ἐκ πλαγίου α΄, ὅπερ δηλοῖ δέκα, μετὰ τῶν ἄνωθεν ε΄, ὅπερ δηλοῖ ν· ἅπαξ οὖν ε΄ πάλιν ἐστὶ ε΄, τουτέστι πέντε ἑκατοντάδαι, ἅπερ ἐστὶ φ΄. θὲς οὖν ε΄ εἰς τρίτον μὲν τόπον τῶν ἄνωθεν γραμμάτων, εἰς δεύτερον δὲ τῶν γ΄, ὧν προέθηκας. πολλ(α)πλασίασον δὲ πάλιν τὸ ἐκ πλαγίου α΄, ὅπερ δηλοῖ δέκα, μετὰ τοῦ ἄνωθεν α΄, ὅπερ δηλοῖ ρ΄· ἅπαξ οὖν α΄ πάλιν ἐστὶ α΄. τοῦτο δὲ τὸ α΄ ἐστὶ ,α΄. θὲς οὖν α΄ εἰς τέταρτον μὲν τόπον τῶν ἄνωθεν γραμμάτων, εἰς τρίτον δὲ τῶν κάτωθεν δύο. καὶ ἰδοὺ ἐτέλεσας καὶ τὸ πρῶτον ἐκ πλαγίου γράμμα, ὅπερ δηλοῖ δέκα, μετὰ τῶν ἄνωθεν ρνγ΄ πολλ(α)πλασιαζόμενον. ἕνωσον δὲ τὰς δύο ψήφους, ἃς ἀπετέλεσας, καὶ θὲς κάτωθεν τῆς ἑτέρας εὐθείας γραμμῆς εἰς τόπον πρῶτον, ὅστις ἐστὶ μονάδος, ς΄. θὲς δὲ πάλιν εἰς τὸν τῆς δεκάδος τόπον, ὅστις ἐστὶ ὁ δεύτερος, γ΄. εἰς δὲ τὸν τρίτον τόπον, ὅστις ἐστὶ ἑκατοντάδος, θὲς η΄. εἰς δὲ τὸν τέταρτον τόπον, ὅστις ἐστὶ χιλιάδος, θὲς α΄. καὶ ἰδοὺ εὗρες, ὅτι τὰ ρνγ΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα γίνονται ,αωλς΄.



---


7 ἀπέδωκαν] ἀπέδοκαν **C pro** ἀπέδοσαν 10 ἄλλο τι] ἀλλ ὁτ τι **C** 25 ἐκ πλαγίου] ἐκ πλασιου **C** 27 πολλ(α)πλασιάζεις μετὰ **ex coni.: spatium complurium litt. miro modo corruptum**

ια Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Λάβε τὰ ἄνωθεν δύο πρῶτα γράμματα, ἅπερ οὕτως κείμενα α ε΄ δηλῶσι ιε΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περιττεύει α΄. τὸ α΄ δὲ τοῦτο μετὰ τοῦ ἄνωθεν ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα α γ΄ δηλῶσι ιγ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄, περιττεύοσι καὶ ς΄· θὲς ταῦτα ἰδίως. λάβε δὲ καὶ τὰ ἐκ πλαγίου δύο γράμματα, ἅπερ οὕτως κείμενα α β΄ δηλῶσι ιβ΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄, περισσεύοσι καὶ ε΄· θὲς καὶ ταῦτα τὰ ε΄ σύνεγγυς τῶν ς΄, ὧν κρατεῖς ἰδίως. πολλ(α)πλασίασον δὲ τὰ ς΄ μετὰ τῶν ε΄· ε΄κις οὖν ς΄ γίνονται λ΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄, περισσεύοσι καὶ β΄· θὲς ταῦτα ἐντὸς κύκλου· Ⓑ. λάβε δὲ τὰ πρῶτα δύο γράμματα τοῦ γεγονότος πολλ(α)πλασιασμοῦ τῶν α η γ ς΄, ἅπερ οὕτως κείμενα α η΄ δηλῶσι ιη΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄, περισσεύοσι καὶ δ΄. τὰ δὲ δ΄ μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα δ γ΄ δηλῶσι μγ΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει καὶ α΄. τὸ δὲ α΄ μετὰ τοῦ ἐφεξῆς τετάρτου γράμματος οὕτως κείμενα α ς΄ δηλῶσι ις΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄, περισσεύοσι καὶ β΄. θὲς ταῦτα ἐντὸς κύκλου· Ⓑ. καὶ ἰδοὺ ἐγένοντο αἱ μαρτ(υ)ρίαι τῶν δύο μερῶν ἴσαι καὶ ὅμοιαι, ἔχουσα ἑκάστη ἐντὸς κύκλου Ⓑ. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς ὁ ἐξελθὼν πολλ(α)πλασιασμός, ὅστις ἐστὶ ,αωλς΄.

ιβ Περὶ τοῦ πῶς ἔστι πολλ(α)πλασιάσαι τοὺς ἀπὸ Χριστοῦ γεννήσεως χρόνους, οἵτινές εἰσι ,αυλς΄, μετὰ τῶν τξε΄ ἡμερῶν τοῦ χρόνου καὶ εἰδέναι, πόσαι ἡμέραι γίνονται

Θὲς τοὺς μὲν ,αυλς΄ χρόνους ἄνωθεν, ἐκ πλαγίου δὲ τὰς τξε΄ ἡμέρας, ἃς ἔχει ὁ χρόνος. πολλ(α)πλασίασον δὲ τὸ ἐκ πλαγίου ἕσχατον γράμμα, ὅπερ ἐστὶ ε΄, μετὰ τοῦ ἄνωθεν τελευταίου γράμματος, ὅπερ ἐστὶ ς΄· ε΄κις οὖν ς΄ γίνονται γ μ΄. θὲς κάτωθεν τῶν ς΄ εἰς τὸν τῆς μονάδος τόπον μ΄, κράτει δὲ παρὰ σεαυτῷ γ΄ ἀντὶ τῶν λ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ε΄ μετὰ τῶν ἄνωθεν γ΄, ὧν δηλῶσι λ΄· ε΄κις οὖν γ΄ γίνονται ιε΄. ἕνωσον καὶ τὰ γ΄, ἅπερ ἰδίως παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ιη΄. θὲς τὰ μὲν η΄ εἰς δεύτερον τόπον, ὅστις ἐστὶ δεκάδος, κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασίασον δὲ πάλ(ιν) τὰ ἐκ πλαγίου ε΄ μετὰ τῶν ἄνωθεν δ΄, ὧν δηλῶσι υ΄· ε΄κις οὖν δ΄ γίνονται β μ΄. ἕνωσον καὶ τὸ α΄, ὅπερ ἰδίως παρὰ σεαυτῷ κρατεῖς ἀντὶ τῶν δέκα, καὶ γίνονται ὁμοῦ β α΄. θὲς α΄ εἰς τρίτον τόπον, ἥτις ἐστὶ ἑκατοντάδος, κράτει δὲ παρὰ σεαυτῷ β΄ ἀντὶ τῶν κ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ε΄ μετὰ τοῦ ἄνωθεν α΄, ὅπερ δηλοῖ ,α΄· ε΄κις οὖν α΄ γίνονται ε΄, ἔστι δὲ ταῦτα ,ε΄. ἕνωσον καὶ τὰ β΄, ἅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ ζ΄, τουτέστι ,ζ΄. θὲς εἰς τέταρτον τόπον, ὅστις ἐστὶ χιλ(ι)άδος, ζ΄. καὶ ἰδοὺ ἐτέλεσας τὸ ἐκ πλαγίου ἕσχατον γράμμα, τουτέστι τὰ ε΄.



πολλ(α)πλασίασον καὶ τὸ ἐκ πλαγίου δεύτερον γράμμα, τουτέστι τὰ ς΄, μετὰ τῶν ἄνωθεν ς΄, ἅπερ ἐστὶ τελευταῖον τῶν ἄνωθεν τεσσάρων γραμμάτων· ς΄κις οὖν ς΄ γίνονται λς΄, καὶ ἐπεὶ δεκάδα μετὰ μονάδος ἐπολλ(α)πλασίασας, πρόβηθι τὸν τῆς μονάδος τόπον καὶ θὲς ς΄ κάτωθεν τῶν η΄, ὅστις ἐστὶ τόπος δεκάδος τῶν ἄνωθεν δηλονότι γραμμάτων. κράτει δὲ παρὰ σεαυτῷ γ΄ ἀντὶ τῶν λ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ς΄ μετὰ τῶν ἄνωθεν γ΄· ς΄κις οὖν γ΄ γίνονται ιη΄. ἕνωσον καὶ τὰ γ΄, ἅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται κα΄. θὲς α΄ εἰς τόπον δεκάδος

---

17 Χριστοῦ] $\overset{ου}{\chi\bar{υ}}$ **C**

ἀπὸ τῶν ς΄, ὧν προέθηκας, ἑκατοντάδος δὲ τῶν ἄνωθεν γραμ<μ>άτων. κράτει δὲ παρὰ σεαυτῷ β΄ ἀντὶ τῶν κ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ς΄ μετὰ τῶν ἄνωθεν δ΄· ς΄κις οὖν δ΄ γίνονται κδ΄. ἕνωσον καὶ τὰ β΄, ἅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται κς΄. θὲς ς΄ εἰς τρίτον μὲν τόπον τῶν δύο γραμμάτων, ὧν προέθηκας, εἰς τέταρτον δὲ τῶν ἄνωθεν γραμμάτων. κράτει δὲ παρὰ σεαυτῷ β΄ ἀντὶ τῶν κ΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου ς΄ μετὰ τοῦ ἄνωθεν α΄· ς΄κις οὖν α΄ γίνονται ς΄. ἕν(ω)σον καὶ τὰ β΄, ἅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται η΄. θὲς ταῦτα εἰς τέταρτον μὲν τόπον, ὧν νῦν θέτεις γραμμάτων, εἰς πέμπτον δὲ τόπον τῶν ἄνωθεν, καὶ ἐτελέσθη καὶ τὸ ἐκ πλαγίου δεύτερον γράμμα.

πολλ(α)πλασίασον δὲ καὶ τὸ ἐκ πλαγίου πρῶτον γράμμα, τουτέστι τὰ γ΄, ἅπερ δηλῶσι τ΄, μετὰ τῶν ἄνωθεν ς΄, ὅπερ ἐστὶ ἔσχατον γράμμα· τρὶς οὖν ς΄ γίνονται ιη΄, καὶ ἐπεὶ νῦν ἑκατοντάδα πολλ(α)πλασιάζεις μετὰ μονάδος, τουτέστι τ΄ μετὰ τῶν ς΄, πρόβηθι τὸν τῆς δεκάδος τόπον καὶ θὲς τὰ μὲν η΄ εἰς τὸν τῆς ἑκατοντάδος τόπον τῶν ἄνωθεν, || δεκάδος δὲ τῶν κάτωθεν. κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. f. 17^{v}
πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου γ΄ μετὰ τῶν ἄνωθεν γ΄· τρὶς οὖν γ΄ γίνονται θ΄. ἕν(ω)σον καὶ τὸ α΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται α υ΄. θὲς υ΄ πρὸ τῶν η΄, τουτέστι εἰς τόπον χιλιάδος τῶν ἄνωθεν γραμμάτων. κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου γ΄ μετὰ τῶν ἄνωθεν δ΄· τρὶς οὖν δ΄ γίνονται ιβ΄. ἕνωσον καὶ τὸ α΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ιγ΄. θὲς γ΄ εἰς πέμπτον τόπον τῶν ἄνωθεν γραμμάτων. κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ἐκ πλαγίου γ΄ μετὰ τοῦ ἄνωθεν α΄· τρὶς οὖν α΄ γίνονται γ΄. ἕν(ω)σον καὶ τὸ α΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται δ΄. θὲς ταῦτα τὰ δ΄ εἰς ἕκτον μὲν τόπον τῶν ἄνωθεν γραμμάτων, εἰς τέταρτον δὲ τῶν κάτωθεν, ὧν νῦν θέτεις. καὶ ἰδοὺ ἐτέλεσας τὰ ἐκ πλαγίου τρία γράμματα, ἅπερ δηλῶσι τξε΄, πολλ(α)πλασιάσας ταῦτα μετὰ τῶν ἄνωθεν ,αυλς΄. ἕν(ω)σον δὲ τὰς τρεῖς τούτων ἐξελθούσας ψήφους, ἃς ἀπετέλεσας, καὶ θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς μονάδος τόπον υ΄. ἕν(ω)σον τὰ η΄ καὶ ς΄ καὶ γί<ν>ονται ιδ΄. θὲς δ΄ εἰς τόπον δεύτερον, ὅστις ἐστὶ δεκάδος. κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. ἕνωσον δὲ τὸ α΄ καὶ α΄ καὶ η΄ καὶ α΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ ια΄. θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τρίτον τόπον, ὅστις ἐστὶ ἑκατοντάδος, α΄. κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. ἕνωσον δὲ τὰ ζ΄ καὶ ς΄ καὶ α΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ ιδ΄. θὲς κάτωθεν εἰς τόπον τέταρτον, ὅστις ἐστὶ τῆς χιλιάδος, δ΄. κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. ἕνωσον δὲ τὰ η΄ καὶ γ΄ καὶ α΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ ιβ΄. θὲς κάτωθεν εἰς τόπον πέμπτον, ὅστις ἐστὶ μυριάδος, β΄. κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν δέκα. ἕνωσον δὲ τὰ δ΄ καὶ α΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ ε΄. θὲς ταῦτα κάτωθεν εἰς ἕκτον τόπον, ὅς ἐστι δεκάδα μὲν μυριάδος, ἑκατοντάδα δὲ χιλιάδος. καὶ ἰδοὺ εὗρες, ὅτι οἱ ,αυλς΄ χρόνοι γίνονται ἡμέραι φκδ΄ χιλ(ι)άδαι καὶ ρμ΄ ἡμέραι.

ιγ Περὶ τῆς τούτων μαρτ(υ)ρίας καὶ ἀποδείξεως

Λάβε ἐκ τῶν ἄνωθεν γραμμάτων δύο πρῶτα γράμματα, ἅπερ οὕτως κείμενα α δ΄ δηλῶσι ιδ΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ ἀπομένει υ΄. τὸ δὲ υ΄ μετὰ τοῦ ἑφεξῆς τρίτου γράμματος οὕτως κείμενα υ γ΄ δηλῶσι γ΄. οὐκ ἔχεις οὖν μερίσαι τὰ γ΄ ἐπὶ

---

33 χιλιάδος] $\overset{\circ\varsigma}{\alpha\delta}$ **C** 43 οὐκ ἔχεις] οὐ και χής **C**

τῶν ζ΄, λάβε δὲ τὰ δύο ἐφεξῆς τελευταῖα γράμματα, ἅπερ οὕτως κείμενα γ ς΄ δηλῶσι λς΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄, περισσεύει καὶ α΄ μέχρι τῶν λς΄. θὲς τὸ α΄ τοῦτο ἐκεῖσε ἰδίως. λάβε δὲ καὶ τὰ ἐκ πλαγίου πρῶτα δύο γράμματα, ἅπερ οὕτως κείμενα γ ς΄ δηλῶσι λς΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ ἀπομένει α΄. τοῦτο τὸ α΄ μετὰ τοῦ ἐκ πλαγίου τρίτου γράμματος οὕτως κείμενα ⟨α ε΄⟩ δηλῶσι ιε΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει καὶ α΄. θὲς τοῦτο ἐκεῖσε πλησίον, ἔνθα καὶ τὸ ἕτερον α΄ προέθηκας, καὶ πολλ(α)πλασίασον τὸ α΄ μετὰ τοῦ α΄· ἅπαξ οὖν α΄ πάλιν ἐστὶ α΄. θὲς οὖν τοῦτο ἐντὸς κύκλου· Ⓐ. λάβε δὲ τὰ πρῶτα δύο γράμματα τοῦ γεγονότος πολλ(α)πλασιασμοῦ τῶν ε β δ α δ ι΄, ἅπερ οὕτως κείμενα ε β΄ δηλῶσι νβ΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ γ΄ μέχρι τῶν νβ΄. τὰ δὲ γ΄ ταῦτα μετὰ τοῦ τρίτου γράμματος οὕτως κείμενα γ δ΄ δηλῶσι λδ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ ς΄ μέχρι τῶν λδ΄. τὰ δὲ ς΄ ταῦτα μετὰ τοῦ ἐφεξῆς τετάρτου γράμματος οὕτως κείμενα ς α΄ δηλῶσι ξα΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ ε΄ μέχρι τῶν ξα΄. τὰ δὲ ε΄ ταῦτα μετὰ τοῦ ἐφεξῆς πέμπτου γράμματος οὕτως κείμενα ε δ΄ δηλῶσι νδ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ ε΄. ταῦτα τὰ ε΄ μετὰ τοῦ τελευταίου γράμματος οὕτως κείμενα ε ι΄ δηλῶσι ν΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄, περισσεύει καὶ α΄ μέχρι τῶν ν΄. θὲς τοῦτο ἐντὸς κύκλου· Ⓐ. καὶ ἰδοὺ ἐγένοντο αἱ μαρτυρίαι τῶν δύο μερῶν ἔχουσα ἑκάστη ἐντὸς κύκλου Ⓐ. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς ὁ ἐξελθὼν τέλειος πολλ(α)πλασιασμός, ὅστις ἐστὶ ε β δ α δ ι΄. εἰ δὲ ἡ μὲν εἶχε α΄, ἡ δὲ ἄλλον τινὰ ἀνόμοιον ψῆφον, οὐκ ἂν ἐγένετο καλῶς ὁ ἐξελθὼν τέλειος πολλ(α)πλασιασμός.

Τὰς μαρτ(υ)ρίας δὲ τούτων καὶ ἀποδείξεις, ἃς ἐγγράφως ὑποτιθέμεθα, ἀγράφως εἰώθαμεν ἐκτελεῖν ἐν φαντασίᾳ μόνῃ τὰς συζυγίας τῶν δύο γραμμάτων λαμβάνοντες καὶ ἐπὶ τῶν ζ΄ μερίζοντες, καθὼς τοῦτο διὰ τῶν ὑποτιθεμένων ὑποδειγμάτων ὁρᾶται σαφέστερον.

ιδ Περιεκτικῶς περὶ πάντων τῶν πολλαπλασιαζομένων μερῶν

Ἀρκούντως ὑμῖν ἐν διαφόροις ὑποδείγμασι παραδηλώσαντες, πῶς ἄρα ἔξεστιν πολλ(α)πλασιάζειν πρὸς ἄλληλα δύο τινὰ μέρη καὶ εἰδέναι ἀσφαλῶς καὶ προχείρως τὸν ἐξ αὐτῶν γενόμενον τέλειον πολλ(α)πλασιασμόν, δέον ἡμῖν ἔδοξε εἶναι, καὶ περιεκτικῶς ὑμῖν ἐκτιθέναι καὶ διαγράψασθαι, πῶς ἄρα ἔχεις πολλ(α)πλασιάζειν τοὺς παρατυχόντας δύο τινὰς ἀριθμοὺς τεχνικῶς διὰ τοῦ διπλεύρου σχήματος καὶ εἰδέναι ἀσφαλῶς καὶ προχείρως τὸν ἐξ αὐτῶν γενόμενον τέλειον πολλ(α)πλασιασμόν.

καὶ πρῶτον μέν, ὡς καὶ ἐν τοῖς ὑποδείγμασι εἴπομεν, τὸ μεῖζον μὲν μέρος τῶν δύο πολλ(α)πλασιαζομένων μερῶν ἄνωθεν τῆς εὐθείας γραμμῆς τίθεσο, ὅσον ἄρα καὶ ᾖ, ἐκ πλαγίου δὲ τὸ ἔλαττον, ὡς καὶ ἐν τοῖς ὑποδείγμασι ὁρᾶται τοῦτο σαφέστατα. ἔπειτα πολλ(α)πλασίασον τὸ ἐκ πλαγίου ἀνώτατον γράμμα, ὅπερ ἐστὶ μονάδος γράμμα, μετὰ τοῦ ἄνωθεν τελευταίου γράμματος, ὅπερ εἰς τόπον μονάδος εὑρίσκεται, καὶ τὸν ἐκ τούτων γενόμενον πολλ(α)πλασιασμόν – τὸν μὲν κάτωθεν τῆς δεκάδος ὄντα ἁπλὸν ἀριθμὸν εἰς τὸν τῆς μονάδος τόπον τίθεσο, ἀντὶ δὲ τῶν δεκάδων τοσαύτας μονάδας λάμβανε, τουτέστι α΄ ἀντὶ τῶν ι΄ καὶ β΄ ἀντὶ τῶν κ΄ καὶ γ΄ ἀντὶ τῶν λ΄ καὶ ἑξῆς ὁμοίως, καὶ κράτει ταύτας παρὰ σεαυτῷ. πολλ(α)πλασίαζε δὲ πάλιν μετὰ ‖ f. 18r τοῦ αὐτοῦ πλαγίου γράμματος τῆς μονάδος τὸ ἄνωθεν ὂν πρὸ τοῦ τελευταίου γράμ-

---

17 αἱ] ἑ **C** 22 ἐγγράφως] ἐγκραφὼς **C** 23 ἐν φαντασίᾳ] ἐμφαντασήα **hic et passim C** 27 ἔξεστιν] ἔξεσθιν **C** 39 ἁπλὸν] **sic C pro** ἁπλοῦν

ματος τὸ εἰς τόπον δεκάδος εὑρισκόμενον· καὶ τὸν ἐκ τούτων γενόμενον πολλ(α)πλασιασμὸν ἕνωσον μετὰ τῶν μονάδων, ὧν κρατεῖς ἰδίως ἀντὶ τῶν δεκάδων, καὶ τὰ μὲν ἐκ τῶν δεκάδων περισσεύοντα κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τόπον δεκάδος τίθεσο, ἀντὶ δὲ τῶν δεκάδων τοσαύτας μονάδας κράτει παρὰ σεαυτῷ. κατὰ τὸν ὅμοιον δὲ τρόπον πολλ(α)πλασίασον μετὰ τοῦ αὐτοῦ πλαγίου γράμματος τῆς μονάδος τὸ ἄνωθεν γράμμα τὸ εἰς τόπον ἑκατοντάδος εὑρισκόμενον, ὅστις ἐστὶ τρίτος. ὡσαύτως καὶ τὸ εἰς τέταρτον καὶ πέμπτον καὶ ὅσο ἂν ἄλλο ἄνωθεν ἔχῃς μέχρι καὶ τοῦ τελευταίου μὲν γράμματος ἀπὸ τοῦ τέλους, πρώτου δὲ ἀπὸ τῆς ἀρχῆς, πολλ(α)πλασίασον μετὰ τοῦ ἐκ πλαγίου ἀνωτάτου γράμματος τῆς μονάδος καὶ τίθεσο κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τοὺς οἰκείου<ς> τόπους ἀκολούθως τὰ ἔλαττον ὄντα τῶν δεκάδων, ἀντὶ δὲ τῶν δεκάδων τοσαύτας μονάδας λάμβανε καὶ κράτει ταύτας παρὰ σεαυτῷ· καὶ μετὰ τῶν πολλ(α)πλασιαζομένων ἀριθμῶν ἕνωσον τὰς μονάδας, ἃς ἀντὶ τῶν δεκάδων παρὰ σεαυτῷ κρατεῖς, μέχρις ἂν οὕτω ποιῶν τελέσῃς πάντα τὰ ἄνωθεν γράμματα, ὅσα καὶ ℩.

μετὰ δὲ τὸ τελέσαι τὸ ἐκ πλαγίου ἀνώτατον γράμμα τὸ εἰς τόπον μονάδος ἐγκείμενον μετὰ τῶν ἄνωθεν πάντων γραμμάτων πάλιν ἄρξου τὸ ἐκ πλαγίου κατωτέρω δεύτερον γράμμα, ὅπερ εἰς δεκάδος τόπον ἵσταται, καὶ πολλ(α)πλασίαζε τοῦτο μετὰ τῶν ἄνωθεν πάντων γραμμάτων, καθ' ὃν τρόπον καὶ ἐπὶ τοῦ πρώτου ἐποίησας. τὰς δὲ ἐπερχομένας ψήφους τῶν δεκάδων τε καὶ μονάδων – ἐπεὶ μετὰ τὸ ἐκ πλαγίου εἰς τόπον δεκάδος εὑρισκόμενον γράμμα πολλ(α)πλασιάζεις, πρόβηθι τὸν τῆς μονάδος τόπον καὶ ἄρξου γράφειν ταῦτα ἀπὸ τὸν τῆς δεκάδος τόπον, ὅς ἐστι ὁ δεύτερος, μέχρις ἂν ἀκολούθως οὕτως ποιῶν τελέσῃς τὸ ἐκ πλαγίου δεύτερον γράμμα τὸ εἰς τόπον δεκάδος εὑρισκόμενον μετὰ τῶν ἄνωθεν πάντων γραμμάτων, καθὼς καὶ ἐπὶ τοῦ πρώτου οὕτως ἐποίησας.

ὡσαύτως δὲ πάλιν καὶ τὸ ἐκ πλαγίου τρίτον γράμμα, ὅπερ εἰς τὸν τῆς ἑκατοντάδος τόπον ἵσταται, κατὰ τὸν ὅμοιον τρόπον μετὰ τῶν ἄνωθεν πάντων γραμμάτων πολλ(α)πλασίαζε, τὰς δὲ ἐξερχομένας μονάδας τε καὶ δεκάδας – ἐπεὶ μετὰ ἑκατοντάδος γράμμα πολλ(α)πλασιάζεις, πρόβηθι καὶ τὸν τῆς μονάδος τόπον καὶ τὸν τῆς δεκάδος καὶ ἄρξου ἀπὸ τοῦ τρίτου τόπου, ὅς ἐστι ἑκατοντάδος, γράφειν ταύτας ἀκολούθως, μέχρις ἂν τελέσῃς τὰ ἄνωθεν πάντα γράμματα.

ὡσαύτως ἐὰν ἐκ πλαγίου καὶ τέταρτον γράμμα ἔχῃς πολλ(α)πλασιάσαι μετὰ τῶν ἄνωθεν γραμμάτων· ἐπεὶ τὸ τέταρτον γράμμα ἐστὶ χιλιάδος, τὰς ἐπερχομένας μονάδας τε καὶ δεκάδας – πρόβηθι καὶ τὸν τῆς μονάδος τόπον καὶ τὸν τῆς δεκάδος καὶ τὸν τῆς ἑκατοντάδος καὶ ἄρξου γράφειν ταύτας ἀκολούθως ἀπὸ τοῦ τετάρτου τόπου, ὅς ἐστι τῆς χιλιάδος, μέχρις ἂν τελέσῃς πάντα τὰ ἄνωθεν γράμματα.

ἐὰν δὲ καὶ πέμπτον ἐκ πλαγίου γράμμα ἔχῃς πολλ(α)πλασιάσαι μετὰ τῶν ἄνωθεν γραμμάτων· τὰς ἐπερχομένας μονάδας τε καὶ δεκάδας – πρόβηθι τὸν τῆς μονάδος καὶ δεκάδος καὶ ἑκατοντάδος καὶ χιλ(ι)άδος τόπον καὶ ἄρξου γράφειν ταύτας ἀκολούθως ἀπὸ τοῦ πέμπτου τόπου, ὅς ἐστι μυριάδος, μέχρις ἂν τελέσῃς πάντα τὰ ἄνωθεν γράμματα.

μετὰ δὲ τὸ πολλ(α)πλασιάσαι τὰ ἐκ πλαγίου πάντα γράμματα μετὰ τῶν ἄνωθεν πάντων γραμμάτων ἕνωσον ταῦτα πάντα ἀπὸ τοῦ τέλους ἀρξάμενος, ὅς ἐστι τόπος μονάδος, καὶ τὰς μὲν μονάδας, ἃς περισσεύοσι ἐκ τῶν δεκάδων, κάτωθεν τῆς ἑτέρας

---

3 κάτωθεν] κάκωθεν **C** 7 εἰς τέταρτον καὶ πέμπτον **sc.** τόπον 10 τὰ ἔλαττον ὄντα] **sic C** 12 ἀριθμῶν **ex coni.**] αἳ **C** 35 χιλιάδος] ˏαδ^{ος} **C**

εὐθείας γραμμῆς κατ᾽ εὐθεῖαν ἑκάστης τάξεως τίθεσο. ἀντὶ δὲ τῶν δεκάδων κράτει παρὰ σεαυτῷ τοσαύτας μονάδας. ἑνώσας δὲ τὰς μον(ά)δας, ἃς κρατεῖς ἀντὶ τῶν δεκάδων, μετὰ τῶν ἑτέρων ψήφων, ὧν οὔπω ἕνωσας, τὰς μὲν μονάδας τίθεσο κάτωθεν κατ᾽ εὐθεῖαν, ὧν ἀκολούθως ζητεῖς ψήφων, ἀντὶ δὲ τῶν δεκάδων τοσαύτας μονάδας κράτει παρὰ σεαυτῷ, μέχρις ἂν οὕτω ποιῶν ἑνώσῃς ἀκολούθως πάσας τὰς ψήφους αὐτῶν, ἃς ἐπολλ(α)πλασίασας· καὶ ποιήσεις ἕνα τέλειον ἀριθμὸν τὰς καταμέρος πολλ(α)πλασιασθείσας ψήφους αὐτῶν. οὕτω δὲ ποιῶν εὑρήσεις καλῶς πᾶν ζητούμενον πολλ(α)πλασιασμὸν δύο τινῶν ἀριθμῶν.

ιε

Περιεκτικῶς περὶ μαρτ(υ)ρίας καὶ ἀποδείξεως πάντων τῶν πολλ(α)πλασιαζομένων μερῶν

Τὴν εἰς τὸν πολλ(α)πλασιασμὸν μέθοδόν τε καὶ μεταχείρισιν ἀποδώσαντες φέρε λοιπὸν καὶ περὶ τῆς πάντων μαρτυρίας καὶ ἀποδείξεως σαφέστερον εἴπωμεν καὶ περιεκτικῶς ἐκδηλώσωμεν, πῶς ἄρα λαμβάνειν ἔχεις καλῶς τὰς μαρτυρίας πάντων τῶν ἐξελθόντων τελείων ἀριθμῶν.

ζήτει πρῶτον, ὃν ἀριθμὸν πολλ(α)πλασιάζεις ἄνωθεν τῆς εὐθείας γραμμῆς, καὶ λάμβανε ἐξ αὐτοῦ τὰ πρῶτα δύο γράμματα καὶ σκόπει, πόσα δηλῶσι. μέριζε δὲ τὰ δηλούμενα, ὁσάκις ἂν χωρῶσι, ἐπὶ τῶν ζ΄. καὶ εἰ μὲν ἐξέλθῃ τὸ τέλος τούτων μηδὲν ἔχοντα περισσὸν κάτωθεν τῶν ζ΄, ἀντὶ [ἀρι] ἀριθμοῦ τινος κράτει ι΄· εἰ δὲ περισσεύῃ ἀριθμὸς ἐλάττω<ν> τῶν ζ΄, κράτει τοῦτον. λάβε δὲ ἐφεξῆς ἀκολούθως καὶ ἕτερον γράμμα καὶ σκόπει τὰ δύο ταῦτα – τὸ ἐκ τῶν ζ΄ ἔλαττο δηλονότι καὶ ὅπερ ἄλλο προσέλαβες –, πόσα δηλῶσι, καὶ μέριζε ταῦτα πάλιν ἐπὶ τῶν ζ΄. καὶ εἰ μὲν περισσεύσῃ τι κάτωθεν τῶν ζ΄, κράτει τοῦτο καὶ λάβε πάλιν ἕτερον γράμμα ἐφεξῆς ἀκολούθως καὶ μέρισον ταῦτα πάλιν ἐπὶ τῶν ζ΄. εἰ δὲ τὰ δύο γράμματα τελεσθῶσι δι᾽ ὅλου οὐκ ἔχοντα ἔλαττόν τι τῶν ζ΄, ἀντὶ ἄλλου τινὸς ἀριθμοῦ κράτει ι΄, ὡς εἴπομεν. ἀπὸ δὲ τὸ ι΄ οὐ δύνασαι ἀφελεῖν ζ΄· ἄφες οὖν τὸ ι΄ ὡς ἄχρηστον καὶ λάβε ἐφεξῆς ἕτερα δύο γράμματα καὶ σκόπει, πόσα δηλῶσι, καὶ μέρισον ταῦτα ἐπὶ τῶν ζ΄. οὕτως δὲ ποιῶν ἀρξάμενος ἀπὸ τοῦ πρώτου καὶ δευτέρου γράμματος τέλεσον πάντα τῆς ἄνωθεν εὐθείας γραμμῆς μέχρι καὶ τοῦ τελευταίου γράμματος ‖ καὶ τέλος πάντων. εἰ μὲν περισ<σ>εύσῃ τι κάτωθεν τῶν ζ΄, γράψον τοῦτο ἰδίως. εἰ δὲ εἰς ἴσα ζ΄ καταλήξῃ τὸ τέλος αὐτῶν μηδὲν ἔχοντα περισσόν, ἀντὶ ἄλλου τινὸς ἀριθμοῦ γράψον ι΄. f. 18v

ἔπειτα καὶ ἐπὶ τῶν ἐκ πλαγίου τιθεμένων ἀριθμῶν τὰ ὅμοια ποίησον εἰς πάντα τὰ εὑρισκόμενα γράμματα, ἀρξάμενος ἀπὸ τῶν δύο γραμμάτων – τοῦ πρώτου δηλονότι καὶ τοῦ δευτέρου –, μέχρις ἂν τελέσῃς πάντα ἀπὸ τῆς ἀρχῆς μέχρι καὶ τοῦ τελευταίου, ἐπὶ τῶν ζ΄ διαμερίζων ταῦτα, καθὼς καὶ τὰ ἄνωθεν ὄντα τῆς εὐθείας γραμμῆς οὕτως εἴπομεν ποιεῖν, καὶ τέλος πάντων. εἰ μὲν περισ<σ>εύσῃ τι κάτωθεν τῶν ζ΄, γράψον τοῦτο πλησίον, οὗ ἔγραψας ἰδίως ἐκ τῆς τελευταίας συζυγίας τῶν ἄνωθεν τελευταίων δύο γραμμάτων. εἰ δὲ οὐκ ἔχοσι περιττὸν ἔλαττον τῶν ζ΄, ἀντὶ ἀριθμοῦ τινος γράψον ι΄.

τὰ ἐξελθόντα δὲ ἐκ τῶν ἄνωθεν τῆς εὐθείας γραμμῆς καὶ τῶν ἐκ πλαγίου τελευταῖα κάτωθεν τῶν ζ΄ δύο γράμματα, ἅπερ πλησίον ἰδίως εἴπομεν γράψαι – πολλ(α)πλασίασον τὰ δύο ἐξελθόντα μέρη αὐτῶν πρὸς ἄλληλα· καὶ εἰ μὲν τὸ μὲν μέρος ἔχει ι΄, τὸ δὲ ἄλλο τινὰ ἀριθμόν, τουτέστι ι΄ μετὰ γ΄ ἢ μετὰ δ΄ ἢ μετὰ ε΄, πολλ(α)πλασι-

---

3 ἕνωσας] **pro** ἥνωσας **hic et passim C** 7/8 πᾶν ... πολλ(α)πλασιασμὸν] **sic C 17.18.21/22.23 etc. εἰ c. coni.** 36 τελευταίας] τελευθέας **C**

αζόμενα πάλιν ι΄ γίνεται. εἰ δὲ τὸ μὲν ἔχει α΄, τὸ δὲ β΄ ἢ γ΄ καὶ ἑξῆς ὁμοίως, ἅπαξ β΄ πάλιν ἐστὶ β΄ καὶ ἅπαξ γ΄ πάλιν ἐστὶ γ΄ καὶ ἑξῆς ὁμοίως. εἰ δὲ τὸ μέν ἐστι δ΄, τὸ δὲ ε΄, δ΄κις ε΄ γίνονται κ΄ καὶ ε΄κις ϛ΄ γίνονται λ΄ καὶ ἑξῆς ὁμοίως. εἰ μὲν οὖν τὰ τελευταῖα κάτωθεν τῶν ζ΄ δύο γράμματα τῶν ἄνωθεν καὶ τῶν ἐκ πλαγίου πολλ(α)πλασιαζόμενα – ὁ τούτων πολλ(α)πλασιασμὸς γένηται ἐλάττων τῶν ζ΄, ὡς τὸ ἅπαξ τὰ β΄ πάλιν β΄ καὶ ἅπαξ τὰ γ΄ πάλιν γ΄ – θὲς ταῦτα ἐντὸς κύκλου τινός, ὡς ἐν τοῖς ὑποδείγμασί ἐστι κείμενον. εἰ δὲ γένηται πλέων τῶν ζ΄, ὡς τὸ δ΄κις ε΄ γίνονται κ΄ καὶ ε΄κις ϛ΄ γίνονται λ΄ καὶ ἑξῆς ὁμοίως, μέρισον καὶ ταῦτα ἐπὶ τῶν ζ΄, καὶ τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ – θὲς τοῦτο ἐντὸς κύκλου. εἰ δὲ ὅλα διαιρεθῶσι εἰς ζ΄ μηδὲν ἔχοντα περισσόν, ἀντὶ ἄλλου ψήφου γράψον ἐντὸς κύκλου ι΄.

ἔπειτα, ὡς ἐποίησας ἐπὶ τῶν ἄνωθεν τῆς εὐθείας γραμμῆς καὶ ἐπὶ τῶν πλαγίων γραμμάτων, μερίσας ταῦτα ἀνὰ δύο γραμμάτων ἐπὶ τῶν ζ΄, οὕτως καὶ ἐπὶ τὸν ἐξελθόντα τέλειον ἀριθμόν τὸν ἐκ τῶν δύο πολλ(α)πλασιασθέντα ποίησον κατὰ τὸν ὅμοιον τρόπον· καὶ μέρισον πάντα τὰ αὐτοῦ γράμματα ἀνὰ δύο ἐπὶ τῶν ζ΄ ἀπὸ τῶν πρώτων ἀρξάμενος μέχρι καὶ τοῦ τελευταίου γράμματος. τὸ δὲ ἔσχατον τούτων πάντων καὶ τελευταῖον, κἄντε εἰς ι΄ καταλήξῃ, κἄντε ἔχῃ τι ἔλαττο τῶν ζ΄ – χρὴ εἶναι ἴσον καὶ ὅμοιον τὸ ἐκ τοῦ τελείου ἀριθμοῦ ἐξερχόμενον γράμμα ὥσπερ ἐκεῖνο, ὅπερ ἐντὸς κύκλου προὔθηκας. καὶ εἰ μὲν β΄ δηλοῖ ὁ ἐν ἐκείνῳ κείμενος ψῆφος, καὶ οὗτος β΄ χρὴ δηλεῖν. καὶ ὡς ἐν συντόμῳ εἰπεῖν· καὶ ἐπὶ τῶν δύο ἐξελθόντων μερῶν τῶν ἐντὸς κύκλων ὄντων εἷς καὶ ὁ αὐτὸς ὁμοίως ψῆφος δεῖ εἶναι καὶ οὐκ ἀνόμοιος καὶ διαφέρων εἷς ὑπὲρ τοῦ ἑτέρου. εἰ οὖν οὕτως ἔχοσι αἱ δύο μαρτυρίαι, ἤδη ἐγένετο καλῶς ὁ ἐξελθὼν τέλειος ἀριθμὸς ὁ ἐκ τῶν ἄνωθεν καὶ ἐκ τῶν πλαγίων πολλ(α)πλασιασθείς. εἰ δὲ ἡ μὲν ἔχει γ΄, ἡ δὲ δ΄, ἢ καὶ ἡ μὲν οὕτως, ἡ δὲ οὐχ οὕτως, διαφέρουσαι ἀλλήλων αἱ μαρτ(υ)ρίαι τούτων καὶ ἀποδείξεις, καὶ ὁ ἐξελθὼν τέλειος ἀριθμὸς οὐ καλῶς ἐγένετο πολλ(α)πλασιαζόμενος.

Χρὴ δὲ ὥς, ὅταν δύο τινὰ γράμματα βούλ(ῃ) συνάπτειν, πρὸς τὸ μερίζειν ταῦτα ἐπὶ τῶν ζ΄· εἰ μὲν τὸ πρῶτον γράμμα κάτωθέν ἐστι τῶν ζ΄, τουτέστι ϛ΄ ἢ ε΄, λάβε καὶ τὸ ἀκόλουθον ἕτερον γράμμα καὶ τὸν ἐξ αὐτῶν δηλούμενον ἀριθμὸν ἐπὶ τῶν ζ΄ μέρισον· εἰ δὲ τὸ πρῶτον γράμμα δηλοῖ πλείω τῶν ζ΄, τουτέστι θ΄ ἢ καὶ η΄, ἄφελε ἀπὸ τοῦ αὐτοῦ πρώτου γράμματος ἅπαξ ζ΄, καὶ τὸ ἐναπομεῖναν – κἄντε β΄ ἐστὶ κἄντε α΄ – λάβε καὶ τὸ ἀκόλουθον ἐφεξῆς δεύτερον γράμμα καὶ ἕνωσον, ὅπερ ἀπέμεινε ἐκ τῶν θ΄ ἢ τῶν η΄, μετὰ τοῦ ἐφεξῆς ἀκολο<ύ>θου γράμματος καὶ μέρισον ταῦτα ἐπὶ τῶν ζ΄.

ἔστω γὰρ ὅτι βούλ(ει) μερίσαι ἐπὶ τῶν ζ΄ ταῦτα τὰ δύο γράμματα θ η΄, ἅπερ δηλῶσι ϙη΄. ιδ΄κις οὖν ζ΄ γίνονται ϙη΄, περισσεύει ι΄, καὶ ἰδοὺ ἐμέρισας δυσχερῶς τὰ θ η΄ ἐπὶ τῶν ζ΄ καὶ ἀπέμεινε ι΄. ἄφελε ἀπὸ τοῦ πρώτου γράμματος, ὅπερ ἐστὶ θ΄, ἅπαξ ζ΄ καὶ περισσεύοσι β΄· τὰ β΄ ταῦτα μετὰ τῶν η΄ οὕτως κείμενα β η΄ δηλῶσι κη΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄· δ΄κις οὖν ζ΄ γίνονται κη΄, ἀπομένει ι΄. καὶ ἰδοὺ νῦν ἀφεῖλες ταῦτα ἐπὶ τῶν ζ΄ προχειρότ(α)τα ἢ πρότερον, ὅτε ἦν θ η΄. καὶ γὰρ καὶ ἀπὸ τῶν θ η΄ ἀπέμεινε ι΄ καὶ ἀπὸ τῶν β η΄ ἀπέμεινε ι΄.

ὅταν οὖν τὸ πρῶτον γράμμα, ὃ ζητεῖς διαμερίσαι, ἐστὶ πλεῖο τῶν ζ΄ ἢ καὶ ζ΄, ἄφελε ἅπαξ ζ΄ ἐξ αὐτοῦ. καὶ εἰ μὲν πλεῖό ἐστι τῶν ζ΄, ὥστε ἐναπομεῖναί τι ἐξ αὐτοῦ, λάβε καὶ τὸ ἐφεξῆς ἀκόλουθον γράμμα καὶ ἕνωσον μετὰ τοῦ ἐναπομείναντος γράμματος

---

10 ἄλλου ψήφου] **sic C** ἐλάττων] ἔλαττο **C** 19 δηλεῖν] **pro** δηλοῦν **hic et passim C** 30 κἄντε ... ἐστὶ] **sic C**

κάτωθεν τῶν ζ΄ καὶ μέρισον τὰ δύο γράμματα ἐπὶ τῶν ζ΄, ὡς εἰώθαμεν ποιεῖν καὶ ἐπὶ τῶν ἄλλων, ὧν προείπομεν. εἰ δ' ἔστι ζ΄ καὶ ἀφελόμενος ζ΄ ἀπομένει υ΄, πρόβηθι καὶ λάβε ἕτερα δύο γράμματα καὶ τὰ δηλούμενα ἐπὶ τῶν ζ΄ μέρισον, μέχρις ἂν οὕτω ποιῶν τελέσῃς πάντα τὰ ἀπὸ τῆς ἀρχῆς μέχρι τοῦ τέλους γράμματα, καθὼς σαφέστερον ἄνωθεν δεδηλώκαμεν.

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὡς, ὅταν ἐπὶ τῶν ζ΄ δύο τινὰ γράμματα διαμερίζωμεν ἐν φαντασίᾳ μόνῃ, ἐν τῷ ἡμετέρῳ νῷ εἰώθαμεν διαμερίζειν ταῦτα οὕτως· ἀπὸ μὲν τῶν α δ΄ ἀπομένει υ΄, ἀπὸ δὲ τῶν α ε΄ περισσεύει α΄, ἀπὸ τῶν β υ΄ περισσεύοσι ς΄, ἀπὸ δὲ τῶν [τῶν] β α΄ περισσεύει υ΄, ἀπὸ τῶν β ε΄ ἔχεις δ΄, ἀπὸ δὲ τῶν β ζ΄ ἔχεις ς΄, ἀπὸ τῶν γ υ΄ ἔχεις β΄, ἀπὸ δὲ τῶν γ δ΄ ἔχεις ς΄, ἀπὸ τῶν δ υ΄ ἔχεις ε΄, ἀπὸ δὲ τῶν δ ε΄ ἔχεις γ΄, καὶ ἑξῆς ὁμοίως οὕτως || εἰώθαμεν διαμερίζειν μέχρι τῶν ξθ΄. οὐδὲ γὰρ ἐπὶ πλέον δύνανται δηλεῖν τὰ δύο διαμεριζόμενα ἐπὶ τῶν ζ΄ γράμματα, ἀλλὰ μέχρι τῶν ξθ΄ προβαίνει ὁ μείζων τούτων ἀριθμός. πειράσας γὰρ σμικρόν τι τῷ σῷ λογισμῷ, διὰ τῆς πείρας γενήσεταί σοι ἐπὶ πάντων τῶν ἀνὰ δύο γραμμάτων περιττεῦον κάτωθεν τῶν ζ΄ γνώριμον. οὐδὲ γὰρ ποσάκις διαμερίσαι ἔστι ἐπὶ τῶν ζ΄ ζητοῦμεν, τοῦτο γὰρ οὐδεμία ἡμῖν χρεία, ἀλλὰ μόνον τὸ περισσεῦον ἐκ τῶν δύο γραμμάτων κάτωθεν τῶν ζ΄ – τοῦτο ἡμῖν ἐστι χρεία εἰδέναι, καθὼς τὸ περὶ τούτου σαφέστερον δεδηλώκαμεν. πειράσας δὲ τῷ σῷ λογισμῷ διὰ τῆς πείρας εἰδέναι ἔχεις καλῶς τὰ ἐκ τῶν ζ΄ περισσεύοντα. εἰδὼς δὲ διὰ τῆς πείρας λαμβάνειν καλῶς τὰ ἐπὶ τῶν ζ΄ περισσεύοντα προχείρως ἔχεις λαμβάνειν τὰς μαρτυρίας τούτων καὶ ἀποδείξεις, ἐὰν καλῶς ἢ οὐ καλῶς ἐγένετο ὁ ἐξελθὼν ἐκ τῶν δύο ἀριθμῶν πολλ(α)πλασιασμός. f. 19r

ις Περὶ ἑτέρας μεταχειρίσεως πολλ(α)πλασιασμοῦ, ἥτις ὀνομάζεται οἶκος, ἐφ' ἧς καὶ η΄ μετὰ τῶν κα΄ πολλ(α)πλασιάζονται καὶ ἑξῆς ὁμοίως

Ἔστι δὲ καὶ ἑτέρα τις μεταχείρισις πολλ(α)πλασιασμοῦ, ἥτις ὀνομάζεται οἶκος διὰ τὸ τετραγωνικῶς συνλαμβάνειν τὰς ψήφους, καθὼς διὰ τῆς δηλωθησομένης μεταχειρίσεως εἰδέναι ἔχεις σαφέστερον.

ἔστω ὅτι ζητεῖς η΄ μετὰ τῶν κα΄ πολλ(α)πλασιαζόμενα, πόσα γίνονται. θὲς ἄνωθεν μὲν εἰς τόπον μονάδος τὰ η΄, κάτωθεν δὲ θὲς τὰ κα΄. πολλ(α)πλασίασον δὲ τὰ η΄ μετὰ τοῦ α΄· η΄κις οὖν α΄ γίνονται η΄. θὲς τὰ η΄ ταῦτα κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τόπον μονάδος. πολλ(α)πλασίασον δὲ τὰ κάτωθεν β΄, ἅπερ δηλῶσι κ΄, μετὰ τῶν ἄνωθεν η΄· δὶς οὖν η΄ γίνονται ις΄. θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς μὲν τὸν δεύτερον τόπον, ὅς ἐστι δεκάδος, τὰ ς΄, εἰς δὲ τὸν τρίτον, ὅς ἐστι ἑκατοντάδος, ἀντὶ τῶν ι΄ θὲς α΄. καὶ ἰδοὺ τὰ η΄ μετὰ τῶν κα΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι ρξη΄. ἡ δὲ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον, γίνεται ὡς καὶ ἐπὶ τῆς πρώτης μεταχειρίσεως, καθὼς τὸ περὶ ταύτης ἐκεῖσε σαφέστερον εἴπομεν.

η | α υ
β α | υ
α ς η

ιγ΄ μετὰ τῶν ιε΄ πολλ(α)πλασιαζόμενα

Θὲς ἄνωθεν μὲν τὰ ιγ΄, κάτωθεν δὲ τὰ ιε΄. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν γ΄ μετὰ τῶν κάτωθεν ε΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς μονάδος τόπον τὰ ε΄·θὲς δὲ ἰδίως α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασίασον δὲ στ(αυ)–

α γ | α ς
α ε | α
α θ ε


---

16 ἀλλὰ μόνον] **fortasse** ἄλλῃ μόνον 20/21 ἐὰν **c. ind.** 25 συνλαμβάνειν] **sic C pro** συλλαμβάνειν 35 ρξη΄] ρξς΄ **falso C**

ροειδῶς τὰ τέσσερα [γρά] γράμματα· ἅπαξ οὖν γ΄ πάλιν ἐστὶ γ΄ καὶ ἅπαξ ε΄ στ(αυ)-ροειδῶς πάλιν ἐστὶ ε΄. γ΄ δὲ καὶ ε΄ καὶ α΄, ὅπερ ἰδίως ἀντὶ τῶν δέκα ἔθηκας, γίνονται ὁμοῦ θ΄· θὲς ταῦτα κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς δεκάδος τόπον. πολλ(α)πλασίασον δὲ τὸ ἄνωθεν α΄ μετὰ τοῦ κάτωθεν α΄· ἅπαξ οὖν α΄ πάλιν ἐστὶ α΄. θὲς τοῦτο κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς ἑκατοντάδος τόπον. καὶ ἰδοὺ τὰ ιγ΄ μετὰ τῶν ιε΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι ρϛε΄.


κε΄ μετὰ τῶν κε΄ πολλ(α)πλασιαζόμενα

Θὲς ἄνωθεν μὲν κε΄, κάτωθεν δὲ πάλιν κε΄. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν ε΄ μετὰ τῶν κάτωθεν ε΄· ε΄κις οὖν ε΄ γίνονται κε΄. θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς ε΄, θὲς δὲ ἰδίως β΄ ἀντὶ τῶν κ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)-ροειδῶς τὰ ἄνωθεν καὶ κάτωθεν τέσσερα γράμματα· δὶς οὖν ε΄ γίνονται ι΄ καὶ πάλιν δὶς τὰ ε΄ στ(αυ)ροειδῶς γίνονται ι΄. ι΄ δὲ καὶ ι΄ καὶ β΄, ἅπερ ἰδίως ἀντὶ τῶν κ΄ ἔθηκας, γίνονται ὁμοῦ κβ΄. θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τόπον δεκά-δος β΄, θὲς δὲ ἰδίως β΄ ἀντὶ τῶν κ΄. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν β΄ μετὰ τῶν κάτωθεν β΄· δὶς οὖν β΄ γίνονται δ΄. ἔνωσον καὶ τὰ β΄, ἅπερ ἰδίως ἀντὶ τῶν κ΄ ἔθηκας, καὶ γίνονται ὁμοῦ ϛ΄. θὲς ταῦτα κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς ἑκατοντάδος τόπον. καὶ ἰδοὺ τὰ κε΄ μετὰ τῶν κε΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλα-σιάζοσι χκε΄.




μγ΄ μετὰ τῶν ξε΄ πολλ(α)πλασιαζόμενα

Θὲς ἄνωθεν μὲν τὰ μγ΄, κάτωθεν δὲ τὰ ξε΄. πολλ(α)πλασίασον δὲ τὰ γ΄ μετὰ τῶν ε΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς ε΄, θὲς δὲ ἰδίως α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασί-ασον δὲ στ(αυ)ροειδῶς τὰ τέσσερα γράμματα· τρὶς οὖν ϛ΄ γίνον-ται ιη΄ καὶ δ΄κις ε΄ γίνονται κ΄. ιη΄ δὲ καὶ κ΄ καὶ α΄, ὅπερ ἰδίως ἀντὶ τῶν δέκα ἔθηκας, γίνονται ὁμοῦ λθ΄. θὲς κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς δεκάδος τόπον τὰ θ΄, θὲς δὲ ἰδίως γ΄ ἀντὶ τῶν λ΄. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν δ΄ μετὰ τῶν κάτωθεν ϛ΄· δ΄κις οὖν ϛ΄ γίνονται κδ΄. ἔνωσον καὶ τὰ γ΄, ἅπερ ἰδίως ἀντὶ τῶν λ΄ ἔθηκας, καὶ γίνονται ὁμοῦ κζ΄. θὲς ταῦτα κάτωθεν τῆς εὐθείας γραμμῆς εἰς τὸν τῆς ἑκατοντάδος καὶ χιλιάδος τόπον. καὶ ἰδοὺ τὰ μγ΄ μετὰ τῶν ξε΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι ,βψϛε΄.



λζ΄ μετὰ τῶν πε΄ πολλ(α)πλασιαζόμενα

Θὲς ἄνωθεν μὲν τὰ λζ΄, κάτωθεν δὲ τὰ πε΄. πολλ(α)πλασίασον δὲ τὰ ζ΄ μετὰ τῶν ε΄· ε΄κις οὖν ζ΄ γίνονται λε΄. θὲς κάτωθεν ε΄, θὲς δὲ ἰδίως γ΄ ἀντὶ τῶν λ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ τέσ-σερα γράμματα· ζ΄κις οὖν η΄ γίνονται νϛ΄, τρὶς δὲ ε΄[κις] γίνονται ιε΄. νϛ΄ δὲ καὶ ιε΄ καὶ γ΄, ἅπερ ἰδίως ἀντὶ τῶν λ΄ ἔθηκας, γίνονται ὁμοῦ οδ΄. θὲς κάτωθεν εἰς τὸν τῆς δεκά-δος τόπον δ΄, θὲς δὲ ἰδίως ζ΄ ἀντὶ τῶν ο΄. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν γ΄ μετὰ τῶν κάτωθεν η΄· τρὶς οὖν η΄ γίνονται κδ΄. ἔνωσον καὶ τὰ ζ΄, ἅπερ ἰδίως ἀντὶ τῶν ο΄ κρατεῖς, καὶ γίνονται ὁμοῦ λα΄. θὲς ταῦτα κάτωθεν εἰς τὸν τῆς ἑκατοντάδος καὶ χιλιάδος τόπον. καὶ ἰδοὺ τὰ λζ΄ μετὰ τῶν πε΄ || πολλ(α)πλασιαζόμενα πολλ(α)πλασι-άζοσι ,γρμε΄. f. 19^{v}



---

38 οδ΄] ζδ **C**

ιε΄ μετὰ τῶν ρκγ΄ πολλ(α)πλασιαζόμενα

Θὲς ἄνωθεν μὲν τὰ ιε΄, κάτωθεν δὲ τὰ ρκγ΄. ἐπεὶ δὲ τὰ μὲν ἄνωθεν εἰσὶ γράμματα δύο, τὰ δὲ κάτωθεν εἰσὶ γράμματα τρία, θὲς πρὸ τῶν ιε΄ εἰς τρίτον τόπον, ὅς ἐστι ἑκατοντάδος, υ΄. πολλ(α)πλασίασον δὲ τὰ ε΄ μετὰ τῶν γ΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. θὲς κάτωθεν εἰς τὸν τῆς μονάδος τόπον ε΄, θὲς δὲ ἰδίως α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ τέσσερα γράμματα· δὶς οὖν ε΄ γίνονται ι΄, ἅπαξ δὲ γ΄ στ(αυ)ροειδῶς πάλιν ἐστὶ γ΄. ι΄ δὲ καὶ γ΄ καὶ α΄, ὅπερ ἰδίως ἀντὶ τῶν δέκα ἔθηκας, γίνονται ὁμοῦ ιδ΄. θὲς κάτωθεν εἰς τὸν τῆς δεκάδος τόπον δ΄, θὲς δὲ ἰδίως α΄ ἀντὶ τῶν δέκα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ δύο ἄκρα τῶν ἓξ γραμμάτων· ἅπαξ οὖν ε΄ πάλιν ἐστὶ ε΄, υ΄ δὲ τρὶς πάλιν ἐστὶ υ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ τῆς μέσης, τουτέστι τὰ κάτωθεν β΄ μετὰ τοῦ ἄνωθεν α΄· ἅπαξ οὖν β΄ πάλιν ἐστὶ β΄. ε΄ δὲ καὶ β΄ καὶ α΄, ὅπερ ἰδίως ἀντὶ τῶν δέκα ἔθηκας, γίνονται ὁμοῦ η΄. θὲς κάτωθεν εἰς τὸν τῆς ἑκατοντάδος τόπον η΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὸ κάτωθεν α΄, ὅπερ δηλοῖ ρ΄, μετὰ τοῦ ἄνωθεν α΄, ὅπερ δηλοῖ ι΄· ἅπαξ οὖν α΄ πάλιν ἐστὶ α΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὸ ἄνωθεν υ΄ μετὰ τῶν κάτωθεν β΄· υ΄ οὖν δὶς πάλιν ἐστὶ υ΄. πολλ(α)πλασίασον πάλιν τὸ υ΄ καὶ μετὰ τοῦ κάτωθεν κατ᾽ εὐθεῖαν α΄· ἅπαξ οὖν υ΄ πάλιν ἐστὶ υ΄. α΄ δὲ καὶ υ΄ καὶ υ΄ ὁμοῦ πάλιν ἐστὶ α΄. θὲς τοῦτο κάτωθεν εἰς τὸν τῆς χιλιάδος τόπον. καὶ ἰδοὺ τὰ ιε΄ μετὰ τῶν ρκγ΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι ,αωμε΄.

ρκε΄ μετὰ τῶν σνζ΄ πολλ(α)πλασιαζόμενα


Θὲς ἄνωθεν μὲν τὰ ρκε΄, κάτωθεν δὲ τὰ σνζ΄. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν ε΄ μετὰ τῶν κάτωθεν ζ΄· ε΄κις οὖν ζ΄ γίνονται λε΄. θὲς κάτωθεν ε΄, θὲς δὲ ἰδίως γ΄ ἀντὶ τῶν λ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ τέσσερα γράμματα· ε΄κις οὖν ε΄ γίνονται κε΄, δὶς δὲ ζ΄ γίνονται ιδ΄. κε΄ δὲ καὶ ιδ΄ καὶ γ΄, ἅπερ ἰδίως ἀντὶ τῶν λ΄ ἔθηκας, γίνονται ὁμοῦ μβ΄. θὲς κάτωθεν εἰς τὸν τῆς δεκάδος τόπον β΄, θὲς δὲ ἰδίως δ΄ ἀντὶ τῶν μ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ δύο ἄκρα τῶν ἓξ γραμμάτων· δὶς οὖν ε΄ γίνονται ι΄, ἅπαξ δὲ ζ΄ πάλιν ἐστὶ ζ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ τῆς μέσης· δὶς οὖν ε΄ γίνονται ι΄. ι΄ δὲ καὶ ζ΄ καὶ ι΄ καὶ δ΄, ἅπερ ἰδίως ἀντὶ τῶν μ΄ ἔθηκας, γίνονται ὁμοῦ λα΄. θὲς κάτωθεν εἰς τὸν τῆς ἑκατοντάδος τόπον α΄, θὲς δὲ ἰδίως γ΄ ἀντὶ τῶν λ΄. σημείωσον δὲ τὰ ἄνωθεν ε΄ καὶ κάτωθεν ζ΄ ὡς ἀργὰ νῦν ὄντα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ τῆς μέσης καὶ τὰ τῆς ἀρχῆς τέσσερα γράμματα· δὶς οὖν β΄ γίνονται δ΄, ἅπαξ δὲ ε΄ πάλιν ἐστὶ ε΄. δ΄ δὲ καὶ ε΄ καὶ γ΄, ἅπερ ἰδίως ἀντὶ τῶν λ΄ ἔθηκας, γίνονται ὁμοῦ ιβ΄. θὲς κάτωθεν εἰς τὸν τῆς χιλιάδος τόπον β΄, θὲς δὲ ἰδίως α΄ ἀντὶ τῶν δέκα. σημείωσον δὲ τὰ τῆς μέσης β΄ καὶ ε΄ ὡς ἀργὰ ὄντα. πολλ(α)πλασίασον δὲ τὸ ἄνωθεν α΄ μετὰ τῶν κάτωθεν β΄· ἅπαξ οὖν β΄ πάλιν ἐστὶ β΄. ἔνωσον καὶ τὸ α΄, ὅπερ ἰδίως ἀντὶ τῶν δέκα ἔθηκας, καὶ γίνονται ὁμοῦ γ΄. θὲς ταῦτα κάτωθεν εἰς πέμπτον τόπον, ὅς ἐστι μυριάδος. καὶ ἰδοὺ τὰ ρκε΄ μετὰ τῶν σνζ΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι ,λ,β΄ καὶ ρκε΄.

---

12 **ad** μέσης **in sup. marg. fol. 19^{v}**: τὰ ἐν τῷ μέσῳ ὄντα δύο γράμματα 14 **ad** τόπον η΄ **in sinistro marg. fol. 19^{v}**: σημείωσαι δὲ τὰ ἄνωθεν ε΄ καὶ κάτωθεν γ΄ διὰ κοκκίδων ὡς ἀργὰ νῦν ὄντα 17 δὶς] β **C** 22 ρκε΄] ρκγ΄ **falso C** 33 σημείωσον] **fort.** σημείωσαι


,ασλς΄ μετὰ τῶν ,γυνη΄ πολλ(α)πλασιαζόμενα

Θὲς ἄνωθεν μὲν τὰ ,ασλς΄, κάτωθεν δὲ τὰ ,γυνη΄. πολλ(α)πλασίασον δὲ τὰ ς΄ μετὰ τῶν η΄· ς΄κις οὖν η΄ γίνονται μη΄. θὲς κάτωθεν η΄, θὲς δὲ ἰδίως δ΄ ἀντὶ τῶν μ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ τέσσερα γράμματα· ε΄κις οὖν ς΄ γίνονται λ΄, τρὶς δὲ η΄ γίνονται κδ΄. λ΄ δὲ καὶ κδ΄ καὶ δ΄, ἅπερ ἰδίως ἀντὶ τῶν μ΄ ἔθηκας, ὁμοῦ γίνονται νη΄. θὲς κάτωθεν εἰς τὸν τῆς δεκάδος τόπον η΄, θὲς δὲ ἰδίως ε΄ ἀντὶ τῶν ν΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἄνωθεν ς΄ τῆς μονάδος μετὰ τῶν κάτωθεν δ΄ τῆς ἑκατοντάδος καὶ τὰ ἄνωθεν β΄ τῆς ἑκατοντάδος μετὰ τῶν κάτωθεν η΄ τῆς μονάδος· δ΄κις οὖν ς΄ γίνονται κδ΄, δὶς δὲ η΄ γίνονται ις΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ τῆς μέσης· τρὶς οὖν ε΄ γίνονται ιε΄. κδ΄ δὲ καὶ ις΄ καὶ ιε΄ καὶ ε΄, ἅπερ ἰδίως ἀντὶ τῶν ν΄ ἔθηκας, γίνονται ὁμοῦ ς υ΄. θὲς κάτωθεν εἰς τὸν τῆς ἑκατοντάδος τόπον υ΄, θὲς δὲ ἰδίως ς΄ ἀντὶ τῶν ξ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἄκρα· τρὶς οὖν ς΄ γίνονται ιη΄, ἅπαξ δὲ η΄ πάλιν ἐστὶ η΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς καὶ τὰ τῆς μέσης τῶν δύο ἄκρων τέσσερα γράμματα· τρὶς οὖν δ΄ γίνονται ιβ΄, δὶς δὲ ε΄ γίνονται ι΄. ιη΄ δὲ καὶ η΄ καὶ ιβ΄ καὶ ι΄ καὶ ς΄, ἅπερ ἰδίως ἀντὶ τῶν ξ΄ ἔθηκας, γίνονται ὁμοῦ νδ΄. θὲς κάτωθεν εἰς τὸν τῆς χιλιάδος τόπον δ΄, θὲς δὲ ἰδίως ε΄ ἀντὶ τῶν ν΄. σημείωσον δὲ τὰ ς΄ καὶ η΄ τελευταῖα γράμματα ὡς ἀργὰ ὄντα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἄκρα τῶν ἓξ γραμμάτων, ὧν ἀπέμειναν ἀσημείωτα· τρὶς οὖν γ΄ γίνονται θ΄, ἅπαξ δὲ ε΄ πάλιν ἐστὶ ε΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ τῆς μέσης· δὶς οὖν δ΄ γίνονται η΄. θ΄ δὲ καὶ ε΄ καὶ η΄ καὶ ε΄, ἅπερ ἰδίως ἀντὶ τῶν ν΄ ἔθηκας, γίνονται ὁμοῦ κζ΄. θὲς κάτωθεν εἰς πέμπτον τόπον ζ΄, θὲς δὲ ἰδίως β΄ ἀντὶ τῶν κ΄. σημείωσον δὲ τὰ γ΄ καὶ ε΄ ὡς ἀργὰ ὄντα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἐναπομείναντα τέσσερα γράμματα· δὶς οὖν γ΄ γίνονται ς΄, ἅπαξ δὲ δ΄ πάλιν ἐστὶ δ΄. ς΄ δὲ καὶ δ΄ καὶ β΄, ἅπερ ἰδίως ἀντὶ τῶν κ΄ ἔθηκας, γίνονται ὁμοῦ ιβ΄. θὲς κάτωθεν εἰς ἕκτον τόπον β΄, θὲς δὲ ἰδίως α΄ ἀντὶ τῶν δέκα. σημείωσον δὲ τὰ β΄ καὶ δ΄ ὡς ἀργὰ ὄντα. πολλ(α)πλασίασον δὲ τὰ πρῶτα δύο γράμματα, ἅπερ ἀπέμειναν ἀσημείωτα· ἅπαξ οὖν γ΄ πάλιν ἐστὶ γ΄. ἕνωσον καὶ τὸ α΄, ὅπερ ἰδίως ἀντὶ τῶν δέκα ἔθηκας, καὶ γίνονται ὁμοῦ δ΄. θὲς ταῦτα κάτωθεν εἰς τόπον ἕβδομον. καὶ ἰδοὺ τὰ ,ασλς΄ μετὰ τῶν ,γυνη΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσ(ι) δ β ζ δ υ η η΄, ἅπερ ἐστὶ μιλ(ι)ούνια δ΄ καὶ ,σ,ο,δ΄ καὶ πη΄.



τμ΄ μετὰ τῶν ‖ ,ι,β΄ καὶ τνς΄ πολλ(α)πλασιαζόμενα f. 20r

Θὲς ἄνωθεν μὲν τὰ τμ΄, κάτωθεν δὲ τὰς ,ι,β΄ καὶ τνς΄. πρόσθες δὲ ἄνωθεν πρὸ τῶν γ δ υ΄ δύο υ΄ υ΄, ἵνα καὶ τὰ ἄνωθεν γένωνται πέντε γράμματα ὥσπερ καὶ τὰ κάτωθεν. πολλ(α)πλασίασον δὲ τὸ υ΄ μετὰ τῶν ς΄· ς΄κις οὖν υ΄ πάλιν ἐστὶ υ΄. θὲς κάτωθεν υ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ τέσσερα γράμματα· δ΄κις οὖν ς΄ γίνονται κδ΄, ε΄κις δὲ υ΄ πάλιν ἐστὶ υ΄. κδ΄ δὲ καὶ υ΄ πάλιν ἐστὶ κδ΄. θὲς κάτωθεν εἰς τὸν τῆς δεκάδος τόπον δ΄, θὲς δὲ ἰδίως β΄ ἀντὶ τῶν κ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἓξ γράμματα· τρὶς οὖν ς΄ γίνονται ιη΄, τρὶς δε υ΄



35 τὰς ,ι,β΄] sc. χιλιάδας 42 ἐστὶ κδ΄] ἐστὶ υ falso C

πάλιν ἐστὶ μ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ τῆς μέσης· δ΄κις οὖν ε΄ γίνονται κ΄, ιη΄ δὲ καὶ μ΄ καὶ κ΄ καὶ β΄, ἅπερ ἰδίως ἀντὶ τῶν κ΄ ἔθηκας, γίνονται ὁμοῦ δ μ΄. θὲς κάτωθεν εἰς τὸν τῆς ἑκατοντάδος τόπον μ΄, θὲς δὲ ἰδίως δ΄ ἀντὶ τῶν μ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς ὀκτὼ γράμματα· μ΄ οὖν ς΄κις πάλιν ἐστὶ μ΄, δὶς δὲ μ΄ στ(αυ)ροειδῶς πάλιν ἐστὶ μ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς καὶ τὰ ἐν μέσῳ τέσσερα γράμματα· τρὶς οὖν ε΄ γίνονται ιε΄, τρὶς δὲ δ΄ γίνονται ιβ΄. μ΄ δὲ καὶ μ΄ καὶ ιε΄ καὶ ιβ΄ καὶ δ΄, ἅπερ ἰδίως ἀντὶ τῶν μ΄ ἔθηκας, γίνονται ὁμοῦ λα΄. θὲς κάτωθεν εἰς τὸν τῆς χιλιάδος τόπον α΄, θὲς δὲ ἰδίως γ΄ ἀντὶ τῶν λ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἄκρα· ἅπαξ οὖν μ΄ πάλιν ἐστὶ μ΄, μ΄ δὲ ς΄κις πάλιν ἐστὶ μ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς καὶ τὰ ἐν μέσῳ ἓξ γράμματα. μ΄ οὖν ε΄κις πάλιν ἐστὶ μ΄, δὶς δὲ δ΄ γίνονται η΄, τὰ ἐν μέσῳ δὲ τούτων· τρὶς τὰ γ΄ γίνονται ϑ΄. μ΄ δὲ καὶ μ΄ καὶ μ΄ καὶ η΄ καὶ ϑ΄ καὶ γ΄, ἅπερ ἰδίως ἀντὶ τῶν λ΄ ἔθηκας, γίνονται ὁμοῦ β μ΄. θὲς κάτωθεν εἰς πέμπτον τόπον μ΄, θὲς δὲ ἰδίως β΄ ἀντὶ τῶν κ΄. σημείωσον δὲ τὰ ἔσχατα δύο γράμματα, τὸ μ΄ καὶ ς΄, ὡς ἀργὰ ὄντα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ δύο ἄκρα τῶν ὀκτὼ γραμμάτων, ὧν ἀπέμειναν ἀσημείωτα· ἅπαξ οὖν δ΄ πάλιν ἐστὶ δ΄, μ΄ δὲ ε΄κις πάλιν ἐστὶ μ΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς καὶ τὰ ἐν μέσῳ τέσσερα γράμματα· δὶς οὖν γ΄ γίνονται ς΄, μ΄ δὲ τρὶς πάλιν ἐστὶ μ΄. δ΄ δὲ καὶ μ΄ καὶ ς΄ καὶ μ΄ καὶ β΄, ἅπερ ἰδίως ἀντὶ τῶν κ΄ ἔθηκας, γίνονται ὁμοῦ ιβ΄. θὲς κάτωθεν εἰς ἕκτον τόπον β΄, θὲς δὲ ἰδίως α΄ ἀντὶ τῶν δέκα. σημείωσον δὲ τὰ δ΄ καὶ ε΄ ὡς ἀργὰ ὄντα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἓξ γράμματα, ἅπερ ἀπέμειναν ἀσημείωτα. ἅπαξ οὖν γ΄ πάλιν ἐστὶ γ΄, μ΄ δὲ τρὶς πάλιν ἐστὶ μ΄, ὡσαύτως καὶ τὰ ἐν μέσῳ αὐτῶν· μ΄ τὰ β΄ πάλιν ἐστὶ μ΄. γ΄ δὲ καὶ μ΄ καὶ μ΄ καὶ α΄, ὅπερ ἰδίως ἀντὶ τῶν δέκα ἔθηκας, γίνονται ὁμοῦ δ΄. θὲς ταῦτα κάτωθεν εἰς ἕβδομον τόπον. σημείωσον δὲ τὰ γ΄ καὶ γ΄ ὡς ἀργὰ ὄντα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ἄνωθεν δύο μ μ΄ μετὰ τῶν κάτωθεν α β΄. ἅπαξ οὖν μ΄ πάλιν ἐστὶ μ΄, μ΄ δὲ δὶς πάλιν ἐστὶ μ΄, ὡσαύτως καὶ τὰ δύο πρῶτα· μ΄ τὸ α΄ πάλιν ἐστὶ μ΄. ἐπεὶ δὲ ταῦτα πάντα πολλ(α)πλασιάζοσι μ΄, ἐτελειώθη μέχρι τούτου ὁ πολλ(α)πλασιασμὸς αὐτῶν, ὅς ἐστι δ β μ α μ δ μ΄, ἅπερ δηλῶσι μιλ(ι)ούνια δ΄ καὶ ,σ,α΄ καὶ μ΄.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον πολλ(α)πλασιασμόν, ὃν ἂν ἔχῃς ζητῶν – διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως, ἥτις λέγεται οἶκος, ἔχεις εἰδέναι τὸν ζητούμενον πολλ(α)πλασιασμόν, πόσος γίνεται. ἡ δὲ ἀπόδειξις τούτων πάντων, ὅτι ἐγένετο καλῶς ὁ ζητούμενος πολλ(α)πλασιασμός, ἔστι ὁμοία τῆς πρώτης μεταχειρίσεως.

ἔξεστιν οὖν ἡμῖν πολλ(α)πλασιάζειν καὶ μετὰ τῆς πρώτης μεταχειρίσεως, ἥτις λέγεται τρίπλευρος, καὶ μετὰ τῆς παρούσης, ἥτις λέγεται οἶκος. σαφεστέρα δὲ οὖσα ἡ πρώτη μεταχείρισις τῆς παρούσης διὰ τῆς πρώτης μᾶλλον δεῖ πάντα πολλ(α)πλασιασμὸν ζητεῖν. παντα[τα]χοῦ γὰρ τὸ σαφὲς ἀναγκαῖον καὶ χρήσιμον, ἐνταῦθα δὲ μάλιστα τὴν σαφεστέραν καὶ πρόχειρον μεταχείρισιν ἀναγκαῖον ἐπιζητεῖν, ὡς ἂν δι᾽ αὐτῆς ἀσφαλῶς καὶ προχείρως τὸ ζητούμενον ἡμῖν γνώριμον γίνεσθαι.

ιζ Περὶ τοῦ ἐν φαντασίᾳ μόνῃ γενομένου πολλ(α)πλασιασμοῦ, ἐφ᾽ οὗ καὶ ιγ΄ μετὰ τῶν ιγ΄ πολλ(α)πλασιάζονται καὶ ἑξῆς ὁμοίως

Καιρὸς ἤδη λοιπὸν καὶ περὶ τοῦ ἐν φαντασίᾳ μόνῃ γενομένου πολλ(α)πλασιασμοῦ εἰπεῖν· εἰσὶ γὰρ πολλοὶ καὶ διάφοροι τρόποι δυνάμενοι πολλ(α)πλασιάσαι ἀγράφως ἐν

---

22 μ΄ τὰ β΄] **sic C** 34 τρίπλευρος] τρίπλευρον **C** 36 ἀναγκαῖον] ανανγκέον **C** ἐνταῦθα] **hic et aliubi** ἐν ταυτα **C** 37 ἀναγκαῖον] ἀναγγεον **C**

μόνῃ φαντασίᾳ καὶ δηλῶσαι ἡμῖν καλῶς τὸ ζητούμενον.
πρώτη δὲ μεταχείρισις ἀγράφου πολλ(α)πλασιασμοῦ, ἐν φαντασίᾳ δὲ μόνῃ γενομένου, ἐστὶ αὕτη. οἶδας τοίνυν καλῶς, ὅτι ι΄ μετὰ τῶν ι΄ πολλ(α)πλασιαζόμενα γίνονται ρ΄. ἔστω δὲ τοῦτο νενοημένον παρὰ σεαυτῷ, ὅτι ιγ΄ μετὰ τῶν ιγ΄ καὶ ιδ΄ μετὰ τῶν ιδ΄ καὶ ιγ΄ μετὰ τῶν ιβ΄ καὶ ιζ΄ μετὰ τῶν ιγ΄ καὶ ἑξῆς ὁμοίως πολλ(α)πλασιαζόμενα αἱ τούτων δεκάδαι πολλ(α)πλασιάζοσι ρ΄.
ζητεῖς δὲ νῦν πολλ(α)πλασιάσαι ιγ΄ μετὰ τῶν ιγ΄. τὰ ι΄ δὲ μετὰ τῶν ι΄ πολλ(α)πλασιαζόμενα, ὡς εἴπομεν, πολλ(α)πλασιάζοσι ρ΄. κράτει οὖν παρὰ σεαυτῷ ἕνεκεν τῶν δύο δεκάδων ρ΄. ἕνωσον δὲ τὰ γ΄ μετὰ τῶν γ΄ καὶ γίνονται ς΄. ἔστι δὲ ταῦτα δεκάδαι ς΄, τουτέστι ξ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρ΄ καὶ γίνονται ρξ΄. πολλ(α)πλασίασον δὲ τὰ γ΄ μετὰ τῶν γ΄· τρὶς οὖν γ΄ γίνονται θ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρξ΄ καὶ γίνονται ὁμοῦ ρξθ΄. καὶ ἰδοὺ ἐν μόνῃ τῇ σῇ φαντασίᾳ ἀγράφως εὗρες, ὅτι ιγ΄ μετὰ τῶν ιγ΄ πολλ(α)πλασιαζόμενα γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ρξθ΄.

ιδ΄ μετὰ τῶν ιδ΄ πολλ(α)πλασιαζόμενα

Τὰ ι΄ μετὰ τῶν ι΄ γίνονται ρ΄. ἕνωσον τὰ δ΄ μετὰ τῶν δ΄ καὶ γίνονται η΄, ἅπερ ἐστὶ π΄. ἕνωσον ταῦτα μετὰ τῶν ρ΄ καὶ γίνονται ρπ΄. πολλ(α)πλασίασον τὰ δ΄ μετὰ τῶν δ΄· δ΄κις οὖν δ΄ γίνονται ις΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρπ΄ καὶ γίνονται ρϛ΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ τῇ σῇ φαντασίᾳ, ὅτι ιδ΄ μετὰ τῶν ιδ΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι ρϛ΄.

ιγ΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα

Τὰ ι΄ μετὰ τῶν ι΄ γίνονται ρ΄. ‖ ἕνωσον τὰ γ΄ μετὰ τῶν β΄ καὶ γίνονται ε΄, ἅπερ ἐστὶ ν΄. ἕνωσον ταῦτα μετὰ τῶν ρ΄ καὶ γίνονται ρν΄. πολλ(α)πλασίασον τὰ γ΄ μετὰ τῶν β΄· τρὶς οὖν β΄ γίνονται ϛ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρν΄ καὶ γίνονται ρνϛ΄. καὶ ἰδοὺ τὰ ιγ΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα γίνονται ρνϛ΄. f. 20v

ιζ΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα

Τὰ ι΄ μετὰ τῶν ι΄ γίνονται ρ΄. ἕνωσον τὰ ζ΄ μετὰ τῶν β΄ καὶ γίνονται θ΄, ἅπερ ἐστὶ ϙ΄. ἕνωσον ταῦτα μετὰ τῶν ρ΄ καὶ γίνονται ρϙ΄. πολλ(α)πλασίασον τὰ ζ΄ μετὰ τῶν β΄· ζ΄κις οὖν β΄ γίνονται ιδ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρϙ΄ καὶ γίνονται ὁμοῦ σδ΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ τῇ σῇ φαντασίᾳ, ὅτι ιζ΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα γίνονται σδ΄.

ιη Περὶ τοῦ πῶς ἔστι καὶ ἄλλως πολλ(α)πλασιάσαι ἐν μόνῃ φαντασίᾳ, οὐκ ἀπὸ τῆς ἀρχῆς, ἀλλὰ ἀπὸ τοῦ τέλους μᾶλλον ἀρξάμενος

ιζ΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὰ β΄ μετὰ τῶν ζ΄· δὶς οὖν ζ΄ γίνονται ιδ΄. κράτει παρὰ σεαυτῷ δ΄, κράτει δὲ καὶ α΄ ἀντὶ τῶν ι΄. ἕνωσον τὰ β΄ μετὰ τῶν ζ΄ καὶ γίνονται θ΄. ἕνωσον ταῦτα μετὰ τοῦ α΄, οὗ κρατεῖς ἀντὶ τῶν ι΄. θ΄ οὖν καὶ α΄ γίνονται ι΄. πρόσθες ἀπὸ τῶν ἐκτὸς καὶ ἕτερα ι΄ καὶ γίνονται κ΄. δεκαπλασίασον ταῦτα καὶ γίνονται σ΄. ἕνωσον καὶ τὰ δ΄, ἅπερ ἰδίως κρατεῖς, καὶ γίνονται ὁμοῦ σδ΄. καὶ ἰδοὺ καὶ οὕτως ἐν μόνῃ τῇ σῇ φαντασίᾳ ἀγράφως εὗρες, ὅτι ιζ΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα γίνονται σδ΄, ὡς καὶ μετὰ τῆς πρώτης μεταχειρίσεως οὕτως εὗρες.

ιϛ΄ μετὰ τῶν ιδ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὰ δ΄ μετὰ τῶν ϛ΄· δ΄κις οὖν ϛ΄ γίνονται κδ΄. κράτει παρὰ σεαυτῷ δ΄, κράτει δὲ καὶ β΄ ἀντὶ τῶν κ΄. ἕνωσον τὰ δ΄ καὶ ϛ΄ καὶ γίνονται ι΄.

---

3 οἶδας] εἴδὰς **C** 15.21.26 Τὰ ι΄ μετὰ τῶν ι΄ **sc.** πολλαπλασιαζόμενα

ἕνωσον καὶ τὰ β΄, ἅπερ κρατεῖς ἀντὶ τῶν κ΄, καὶ γίνονται ιβ΄. πρόσθες ἀπὸ τῶν ἐκτὸς καὶ ἕτερα ι΄ καὶ γίνονται κβ΄. δεκαπλασίασον ταῦτα καὶ γίνονται σκ΄. ἕνωσον καὶ τὰ δ΄, ἅπερ ἰδίως κρατεῖς, καὶ γίνονται ὁμοῦ σκδ΄. καὶ ἰδοὺ τὰ ις΄ μετὰ τῶν ιδ΄ πολλ(α)πλασιαζόμενα γίνονται σκδ΄.

ιθ΄ μετὰ τῶν ιθ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὰ θ΄ μετὰ τῶν θ΄· θ΄κις οὖν θ΄ γίνονται πα΄. κράτει παρὰ σεαυτῷ α΄, κράτει δὲ καὶ η΄ ἀντὶ τῶν π΄. ἕνωσον τὰ θ΄ μετὰ τῶν θ΄ καὶ γίνονται ιη΄. ἕνωσον καὶ τὰ η΄, ἅπερ κρατεῖς ἀντὶ τῶν π΄, καὶ γίνονται κς΄. πρόσθες ἀπὸ τῶν ἐκτὸς καὶ ἕτερα ι΄ καὶ γίνονται λς΄. δεκαπλασίασον ταῦτα καὶ γίνονται τξ΄. ἕνωσον καὶ τὸ α΄, ὅπερ ἰδίως κρατεῖς, καὶ γίνονται ὁμοῦ τξα΄. καὶ ἰδοὺ τὰ ιθ΄ μετὰ τῶν ιθ΄ πολλ(α)πλασιαζόμενα γίνονται τξα΄.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν· διὰ τῶν δύο τούτων μεταχειρίσεων ἔχεις εἰδέναι ἐν μόνῃ τῇ σῇ φαντασίᾳ ἀγράφως δύο τινὰς πολλ(α)πλασιαζομένους ἀριθμοὺς κάτωθεν ὄντα τῶν κ΄. ἄνωθεν δὲ ὄντα τῶν κ΄, ὡς τὰ κα΄ μετὰ τῶν κβ΄ πολλ(α)πλασιαζόμενα καὶ ἑξῆς ὁμοίως, – οὐκ ἔχεις εἰδέναι καλῶς διὰ τῶν δύο τούτων μεταχειρίσεων τὸ ζητούμενον.

ιθ Περὶ τοῦ πῶς ἔστι καὶ ἄλλως ἐν φαντασίᾳ μόνῃ πολλ(α)πλασιάσαι καλῶς πᾶν ζητούμενον ἀριθμόν, κἄντε ἐλάττω ἐστὶ κἄντε καὶ πλείω τῶν κ΄

ιε΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν α β΄, ὅπερ ἐστὶ α΄, μετὰ τῶν α ε΄· ἅπαξ οὖν α ε΄ πάλιν ἐστὶ α ε΄. πρόσθες καὶ υ΄ εἰς τὰ α ε΄ καὶ γίνονται α ε υ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν α β΄, ὅπερ ἐστὶ β΄, μετὰ τῶν α ε΄· δὶς οὖν α ε΄ γίνονται γ υ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν α ε υ΄ καὶ γίνονται ὁμοῦ α η υ΄. καὶ ἰδοὺ τὰ ιε΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα γίνονται ρπ΄.

Καὶ τὸ ἀνάπαλι(ν) πολλ(α)πλασίασον μετὰ τοῦ πρώτου γράμματος τῶν α ε΄, ὅπερ ἐστὶ α΄, τὰ α β΄· ἅπαξ οὖν α β΄ πάλιν ἐστὶ α β΄. πρόσθες υ΄ καὶ γίνονται α β υ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν α ε΄, ὅπερ ἐστὶ ε΄, μετὰ τῶν α β΄· ε΄κις οὖν α β΄ γίνονται ς υ΄. ἕνωσον ταῦτα μετὰ τῶν α β υ΄ καὶ γίνονται ὁμοῦ πάλιν α η υ΄. καὶ ἰδοὺ ιβ΄ μετὰ τῶν ιε΄ καὶ τὸ ἀνάπαλι(ν) ιε΄ μετὰ τῶν ιβ΄ πολλ(α)πλασιαζόμενα – διὰ τῆς παρούσης μεταχειρίσεως εὕρες ἀγράφως διὰ μόνης φαντασίας, ὅτι ὁ τούτων πολλ(α)πλασιασμός ἐστι ρπ΄.

ιγ΄ μετὰ τῶν ιθ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν α γ΄, ὅπερ ἐστὶ α΄, μετὰ τῶν α θ΄· ἅπαξ οὖν α θ΄ πάλιν ἐστὶ α θ΄. πρόσθες υ΄ καὶ γίνονται α θ υ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν α γ΄, ὅπερ ἐστὶ γ΄, μετὰ τῶν α θ΄· τρὶς οὖν α θ΄ γίνονται ε ζ΄. ἕνωσον ταῦτα μετὰ τῶν α θ υ΄ καὶ γίνονται ὁμοῦ β δ ζ΄. καὶ ἰδοὺ τὰ ιγ΄ μετὰ τῶν ιθ΄ πολλ(α)πλασιαζόμενα γίνονται σμζ΄.

Καὶ τὸ ἀνάπαλι(ν) πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν α θ΄, ὅπερ ἐστὶ α΄, μετὰ τῶν α γ΄· ἅπαξ οὖν α γ΄ πάλιν ἐστὶ α γ΄. πρόσθες υ΄ καὶ γίνονται α γ υ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν α θ΄, ὅπερ ἐστὶ θ΄, μετὰ τῶν α γ΄· θ΄κις οὖν α γ΄ γίνονται α α ζ΄. ἕν<ω>σον ταῦτα μετὰ τῶν α γ υ΄ καὶ γίνονται ὁμοῦ πάλιν β δ ζ΄. καὶ ἰδοὺ ιγ΄ μετὰ τῶν ιθ΄ καὶ τὸ ἀνάπαλι(ν) ιθ΄ μετὰ τῶν ιγ΄

17/18 πᾶν ... ἀριθμόν] **sic C** 18 ἐλάττω **sc.** ἐλάττων πλείω **sc.** πλείων 31 ὁ τούτων] ουτων των **C**

πολλ(α)πλασιαζόμενα – διὰ μόνης φαντασίας εὕρες, ὅτι ὁ τούτων πολλ(α)πλασιασμός ἐστι σμζ΄.

κβ΄ μετὰ τῶν κγ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν β β΄, ὅπερ ἐστὶ β΄, μετὰ τῶν β γ΄· δὶς οὖν β γ΄ γίνονται δ ς΄. πρόσθες μ΄ καὶ γίνονται δ ς μ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν β β΄, ὅπερ ἐστὶ πάλιν β΄, μετὰ τῶν β γ΄· δὶς οὖν β γ΄ γίνονται πάλιν δ ς΄. ἕνωσον ταῦτα μετὰ τῶν δ ς μ΄ καὶ γίνονται ὁμοῦ ε μ ς΄. καὶ ἰδοὺ τὰ κβ΄ μετὰ τῶν κγ΄ πολλ(α)πλασιαζόμενα γίνονται φς΄.

Καὶ τὸ ἀνάπαλι(ν) πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν β γ΄, ὅπερ ἐστὶ β΄, μετὰ τῶν β β΄· δὶς οὖν β β΄ γίνονται δ δ΄. πρόσθες μ΄ καὶ γίνονται δ δ μ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν β γ΄, ὅπερ ἐστὶ γ΄, μετὰ τῶν β β΄· τρὶς οὖν β β΄ γίνονται ς ς΄. ἕνωσον ταῦτα μετὰ τῶν δ δ μ΄ καὶ γίνονται ὁμοῦ πάλιν ε μ ς΄. καὶ ἰδοὺ κβ΄ μετὰ τῶν κγ΄ καὶ τὸ ἀνάπαλ(ιν) κγ΄ μετὰ τῶν κβ΄ πολλ(α)πλα||σιαζό- f. 21r
μενα – διὰ μόνης φαντασίας εὕρες, ὅτι ὁ τούτων πολλ(α)πλασιασμός ἐστι φς΄.

κγ΄ μετὰ τῶν λε΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν β γ΄, ὅπερ ἐστὶ β΄, μετὰ τῶν γ ε΄· δὶς οὖν γ ε΄ γίνονται ζ μ΄. πρόσθες μ΄ καὶ γίνονται ζ μ μ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν β γ΄, ὅπερ ἐστὶ γ΄, μετὰ τῶν γ ε΄· τρὶς οὖν γ ε΄ γίνονται α α ε΄. ἕνωσον ταῦτα μετὰ τῶν ζ μ μ΄ καὶ γίνονται ὁμοῦ η α ε΄. καὶ ἰδοὺ κγ΄ μετὰ τῶν λε΄ πολλαπλασιαζόμενα γίνονται ωιε΄. καὶ τὸ ἀνάπαλι(ν) πολλ(α)πλασιαζόμενα τὰ λε΄ μετὰ τῶν κγ΄ τῷ τρόπῳ τούτῳ εὕρες, ὅτι πάλιν γίνονται ωιε΄.

νγ΄ μετὰ τῶν ρκ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν ε γ΄, ὅπερ ἐστὶ ε΄, μετὰ τῶν α β μ΄· ε΄κις οὖν α β μ΄ γίνονται ς μ μ΄. πρόσθες μ΄ καὶ γίνονται ς μ μ μ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν ε γ΄, ὅπερ ἐστὶ γ΄, μετὰ τῶν α β μ΄· τρὶς οὖν α β μ΄ γίνονται γ ς μ΄. ἕνωσον ταῦτα μετὰ τῶν ς μ μ μ΄ καὶ γίνονται ὁμοῦ ς γ ς μ΄. καὶ ἰδοὺ τὰ νγ΄ μετὰ τῶν ρκ΄ πολλ(α)πλασιαζόμενα γίνονται ,ςτξ΄.

Καὶ τὸ ἀνάπαλι(ν) πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν α β μ΄, ὅπερ ἐστὶ α΄, μετὰ τῶν ε γ΄· ἅπαξ οὖν ε γ΄ πάλιν ἐστὶ ε γ΄. ἐπεὶ δὲ τὸ α΄, ὅπερ πολλ(α)πλασιάζεις τὰ ε γ΄, ἔστι ἑκατοντάδος καὶ οὐ δεκάδας, πρόσθες δύο μ΄μ΄ καὶ γίνονται ε γ μ μ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν α β μ΄, ὅπερ ἐστὶ β΄, μετὰ τῶν ε γ΄· δὶς οὖν ε γ΄ γίνονται α μ ς΄. ἐπεὶ δὲ τὰ β΄, ἅπερ πολλ(α)πλασιάζεις τὰ ε γ΄, ἔστι δεκάδαι δύο, τουτέστι κ΄, πρόσθες ἕνα μ΄ καὶ γίνονται α μ ς μ΄. ἕνωσον ταῦτα μετὰ τῶν ε γ μ μ΄ καὶ γίνονται ὁμοῦ πάλιν ς γ ς μ΄. καὶ ἰδοὺ νγ΄ μετὰ τῶν ρκ΄ καὶ ρκ΄ μετὰ τῶν νγ΄ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι ἀμφότερα ,ςτξ΄.

ρλ΄ μετὰ τῶν ρν΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν α γ μ΄, ὅπερ ἐστὶ α΄, μετὰ τῶν α ε μ΄· ἅπαξ οὖν α ε μ΄ ἐστὶ πάλιν α ε μ΄. ἐπεὶ δὲ τὸ α΄ τὸ πολλ(α)πλασιάζον τὰ α ε μ΄ ἔστι ἑκατοντάδος, πρόσθες δύο μ΄μ΄ καὶ γίνονται α ε μ μ μ΄.πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν α γ μ΄, ὅπερ ἐστὶ γ΄, μετὰ τῶν α ε μ΄· τρὶς οὖν α ε μ΄ γίνονται δ ε μ΄. ἐπεὶ δὲ τὰ γ΄ ἐστὶ δεκάδαι, τουτέστι λ΄, πρόσθες ἕνα μ΄ καὶ γίνονται δ ε μ μ΄. ἕνωσον ταῦτα μετὰ τῶν α ε μ μ μ΄ καὶ γίνονται ὁμοῦ α ϑ ε μ μ΄. καὶ ἰδοὺ τὰ ρλ΄ μετὰ τῶν ρν΄ πολλ(α)πλασιαζόμενα γίνονται α ϑ ε μ μ΄, τουτέστι ,ι,ϑ΄

---

18 ααε΄] **error calculi, sc.** αμε΄ 19/20 **sequitur solutio falsa** ηαε΄ **nec non** ωιε΄ **pro** ημε΄ **et** ωε΄ 21 εὕρες] εὕρης **C** ωιε΄ **cf.** 20

καὶ φ΄. πολλ(α)πλασιαζόμενα δὲ καὶ τὰ ρν΄ μετὰ τῶν ρλ΄ τῷ τρόπῳ τούτῳ εὑρεθήσ<ε>ται πάλιν ὁ τούτων πολλ(α)πλασιασμὸς α θ ε μ μ΄.

,αρ΄ μετὰ τῶν ,ασ΄ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὸ πρῶτον γράμμα τῶν α α μ μ΄ μετὰ τῶν α β μ μ΄· ἅπαξ οὖν α β μ μ΄ πάλιν ἐστὶ α β μ μ΄. ἐπεὶ δὲ τὸ α΄ τὸ πολλ(α)πλασιάζον τὰ α β μ μ΄ ἐστὶ χιλιάδος, πρόσθες τρία μ΄μ΄μ΄ καὶ γίνονται α β μ μ μ μ μ΄. πολλ(α)πλασίασον καὶ τὸ δεύτερον γράμμα τῶν α α μ μ΄, ὅπερ ἐστὶ α΄, μετὰ τῶν α β μ μ΄· ἅπαξ οὖν α β μ μ΄ πάλιν ἐστὶ α β μ μ΄. ἐπεὶ δὲ τὸ α΄ τὸ πολλ(α)πλασιάζον τὰ α β μ μ΄ ἔστι ἑκατοντάδος, πρόσθες δύο μ΄μ΄ καὶ γίνονται α β μ μ μ μ΄. ἕνωσον ταῦτα μετὰ τῶν α β μ ϻ μ μ μ΄ καὶ γίνονται ὁμοῦ α γ β ϻ μ μ μ΄. καὶ ἰδοὺ τὰ ,αρ΄ μετὰ τῶν ,ασ΄ πολλ(α)πλασιαζόμενα γίνονται α γ β ϻ μ μ μ΄, τουτέστι α΄ μιλιούνιν καὶ ,τ,κ΄. πολλ(α)πλασιαζόμενα δὲ καὶ τὰ ,ασ΄ μετὰ τῶν ,αρ΄ τῷ τρόπῳ τούτῳ εὑρεθήσ<ε>ται πάλιν ὁ τούτων πολλ(α)πλασιασμὸς α γ β ϻ μ μ μ΄.

Ὡσαύτως δὲ καὶ πᾶν ἕτερον πολλ(α)πλασιασμὸν δύο τινῶν ἀριθμῶν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως – ἔχεις εἰδέναι ἀγράφως διὰ μόνης τῆς σῆς φαντασίας τὸν τούτων ζητούμενον πολλ(α)πλασιασμόν.

κ Περὶ τοῦ πῶς ἔστι καὶ ἄλλως ἐν μόνῃ φαντασίᾳ πολλ(α)πλασιάζειν, ὅταν ὁ ζητούμενος ἀριθμὸς ἔχῃ μ΄ σημεῖον

μ΄ μετὰ τῶν μ΄ πολλ(α)πλασιαζόμενα

Τὰ μ΄ οὕτως τιθέμενα δ μ΄ ἔχοσι ἕνα μ΄. λάβε τὸ μ΄ παρὰ σεαυτῷ, λάβε δὲ καὶ ἐκ τῶν ἑτέρων δ μ΄ τὸ μ΄ καὶ κράτει δύο μ΄μ΄ παρὰ σεαυτῷ. τὰ δὲ δ΄, ἅπερ ἀπέμειναν ἐκ τῶν δ μ΄, μετὰ τῶν ἑτέρων δ΄, ὧν ἀπέμειναν ἐκ τῶν ἑτέρων δ μ΄, πολλ(α)πλασιαζόμενα ἀμφότερα – δ΄κις δ΄ γίνονται α ς΄. πρόσθες καὶ τὰ δύο μ΄μ΄, ἅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ α ς μ μ΄. καὶ ἰδοὺ εὕρες ἐν μόνῃ τῇ σῇ φαντασίᾳ, ὅτι τὰ μ΄ μετὰ τῶν μ΄ πολλ(α)πλασιαζόμενα γίνονται ,αχ΄.

ρ΄ μετὰ τῶν σ΄ πολλ(α)πλασιαζόμενα

Τὰ μὲν ρ΄ οὕτως κείμενα α μ μ΄ ἔχοσι δύο μ΄μ΄, τὰ δὲ σ΄ οὕτως κείμενα β μ μ΄ ἔχοσι δύο μ΄μ΄. λάβε δὲ τῶν α μ μ΄ καὶ τῶν β μ μ΄ τὰ τέσσερα οὐδὲν μ΄μ΄μ΄μ΄ καὶ κράτει ταῦτα παρὰ σεαυτῷ. καὶ ἀπὸ μὲν τῶν α μ μ΄ ἀπομένει α΄, ἀπὸ δὲ τῶν β μ μ΄ ἀπομένοσι β΄. πολλ(α)πλασίασον τὸ α΄ μετὰ τῶν β΄· ἅπαξ οὖν β΄ πάλιν ἐστὶ β΄. πρόσθες καὶ τὰ τέσσερα μ΄μ΄μ΄μ΄, ἅπερ κρατεῖς παρὰ σεαυτῷ, καὶ γίνονται ὁμοῦ β μ μ μ μ΄, ἅπερ δηλῶσι ,κ΄. καὶ ἰδοὺ εὕρες ἐν μόνῃ τῇ σῇ φαντασίᾳ, ὅτι τὰ ρ΄ μετὰ τῶν σ΄ πολλ(α)πλασιαζόμενα γίνονται β μ μ μ μ΄, τουτέστι ,κ΄.

τ΄ μετὰ τῶν ,β΄ πολλ(α)πλασιαζόμενα

Τὰ μὲν τ΄ οὕτως κείμενα γ μ μ΄ ἔχοσι δύο μ΄μ΄, τὰ δὲ ,β΄ οὕτως κείμενα β μ μ μ΄ ἔχοσι τρία μ΄μ΄μ΄. λάβε οὖν τῶν γ μ μ΄ καὶ τῶν β μ μ μ΄ πέντε μ΄μ΄μ΄μ΄μ΄ καὶ κράτει ταῦτα παρὰ σεαυτῷ. καὶ ἀπὸ μὲν τῶν γ μ μ΄ ἀπομένοσι γ΄, ἀπὸ δὲ τῶν β μ μ μ΄ ἀπομένοσι β΄. πολλ(α)πλασίασον τὰ γ΄ μετὰ τῶν β΄· τρὶς οὖν β΄ γίνονται ς΄. πρόσθες καὶ τὰ πέντε μ΄μ΄μ΄μ΄μ΄, ἅπερ κρατεῖς παρὰ σεαυτῷ, καὶ γίνονται γράμματα ἓξ, ἅπερ οὕτως κείμενα ς μ ϻ μ μ μ΄ χιλιάδας χ΄ δηλῶσι. καὶ ἰδοὺ εὕρες ἐν μόνῃ φαντασίᾳ, ὅτι τὰ τ΄ μετὰ τῶν ,β΄ πολλ(α)πλασιαζόμενα γίνονται χιλιάδαι χ΄.

,γ΄ μετὰ τῶν ,δ΄ πολλ(α)πλασιαζόμενα

Τὰ μὲν ,γ΄ οὕτως κείμενα γ μ μ μ΄ ἔχοσι τρία μ΄μ΄μ΄, τὰ δὲ ,δ΄ οὕτως κείμενα

---

11 μιλιούνιν] μ̣ὴ̣ούνην **C** 14 πᾶν ἕτερον πολλπλασιασμὸν] **sic C**

δ υ υ υ΄ ἔχοσι καὶ αὐτὰ τρία υ΄υ΄υ΄. λάβε οὖν τὰ ς΄ οὐδὲν || υ΄υ΄υ΄υ΄υ΄υ΄ καὶ f. 21^{v}
κράτει ταῦτα παρὰ σεαυτῷ. καὶ ἀπὸ μὲν τῶν ,γ΄ ἀπομένοσι γ΄, ἀπὸ δὲ τῶν ,δ΄ ἀπομένοσι δ΄. πολλ(α)πλασίασον τὰ γ΄ μετὰ τῶν δ΄· τρὶς οὖν δ΄ γίνονται α β΄. πρόσθες καὶ τὰ ς΄ οὐδὲν υ΄υ΄υ΄υ΄υ΄υ΄, ἅπερ κρατεῖς παρὰ σεαυτῷ, καὶ γίνονται ὁμοῦ α ϐ υ υ ὐ υ υ υ΄, ἅπερ δηλῶσι μιλιούνια ιβ΄, τουτέστι ιβ΄ χιλιάδας χιλιάδων. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι τὰ ,γ΄ μετὰ τῶν ,δ΄ πολλ(α)πλασιαζόμενα γίνονται ιβ΄ χιλιάδαι χιλιάδων, τουτέστι ιβ΄ μιλιούνια.

καὶ ταῦτα μὲν οὕτως, ὁπόταν καὶ τὰ δύο πολλ(α)πλασιαζόμενα μέρη ἀμφότερα ἔχωσι ἀνὰ ἑνὸς γράμματος. εἰ δὲ τὸ μέν ἐστι ἄρτιος καὶ τέλειος ἀριθμὸς δεκάδος ἢ ἑκατοντάδος ἢ χιλιάδος ἢ μυριάδος καὶ ἑξῆς ὁμοίως, τὸ δέ ἐστι μεικτὸς καὶ ἀτελὴς ἀρι<ϑ>μός, ὥστε ἔχειν δεκάδα μετὰ μονάδος ὡς τὰ με΄ ἢ ἑκατοντάδα μετὰ δεκάδος ὡς τὰ σν΄ ἢ χιλιάδα μετὰ ἑκατοντάδος ὡς τὰ ,ατ΄ καὶ ἑξῆς ὁμοίως, τὸ μὲν διπλᾶς ἔχον τὰς σημασίας, τὸ δὲ εἰς ἓν πρῶτον γράμμα ἀναφερόμενον, ἔχεις καὶ τούτους πολλ(α)πλασιάσαι ἀγράφως ἐν μόνῃ τῇ σῇ φαντασίᾳ κατὰ τὸν ὅμοιον τρόπον καὶ εἰδέναι τὸν τούτων πολλ(α)πλασιασμόν, πόσος γίνεται.

ἔστω γὰρ ὅτι βούλ(ει) πολλ(α)πλασιάσαι λ΄ μετὰ τῶν με΄.

Τὰ μὲν λ΄ οὕτως κείμενα γ υ΄ ἔχοσι ἕνα υ΄, τὰ δὲ με΄ οὕτως κείμενα δ ε΄ οὐκ ἔχοσι υ΄. λάβε τοίνυν τὸ ἕνα υ΄ τῶν γ υ΄ καὶ κράτει τοῦτο παρὰ σεαυτῷ. ἀπομένοσι δὲ γ΄ ἀπὸ τῶν γ υ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ ε΄· τρὶς οὖν δ ε΄ γίνονται α γ ε΄. πρόσθες καὶ τὸ υ΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ α γ ε υ΄, ἅπερ δηλῶσι ,ατν΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι τὰ λ΄ μετὰ τῶν με΄ πολλ(α)πλασιαζόμενα γίνονται ,ατν΄.

ρ΄ μετὰ τῶν σν΄ πολλ(α)πλασιαζόμενα

Τὰ μὲν ρ΄ οὕτως κείμενα α υ υ΄ ἔχοσι δύο υ΄υ΄, τὰ δὲ σν΄ οὕτως κείμενα β ε υ΄ ἔχοσι ἕνα υ΄. λάβε ἀπὸ μὲν τῶν α υ υ΄ τὰ δύο υ΄υ΄, ἀπὸ δὲ τῶν β ε υ΄ τὸ ἕνα υ΄ καὶ κράτει παρὰ σεαυτῷ τρία υ΄υ΄υ΄. καὶ ἀπὸ μὲν τῶν α υ υ΄ ἀπομένει α΄, ἀπὸ δὲ τῶν β ε υ΄ ἀπομένοσι β ε΄, ἅπερ δηλῶσι κε΄. πολλ(α)πλασίασον τὸ α΄ μετὰ τῶν β ε΄· ἅπαξ οὖν β ε΄ πάλιν ἐστὶ β ε΄. πρόσθες καὶ τὰ τρία υ΄υ΄υ΄, ἅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ β ἐ υ υ υ΄, ἅπερ δηλῶσι ,κ,ε΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι τὰ ρ΄ μετὰ τῶν σν΄ πολλ(α)πλασιαζόμενα γίνονται ,κ,ε΄.

σ΄ μετὰ τῶν ,ατ΄ πολλ(α)πλασιαζόμενα

Τὰ μὲν σ΄ οὕτως κείμενα β υ υ΄ ἔχοσι δύο υ΄υ΄, τὰ δὲ ,ατ΄ οὕτως κείμενα α γ υ υ΄ ἔχοσι καὶ αὐτὰ δύο υ΄υ΄. λάβε τῶν β υ υ΄ καὶ τῶν α γ υ υ΄ τέσσερα υ΄υ΄υ΄υ΄ καὶ κράτει ταῦτα παρὰ σεαυτῷ. καὶ ἀπὸ μὲν τῶν β υ υ΄ ἀπομένοσι β΄, ἀπὸ δὲ τῶν α γ υ υ΄ ἀπομένοσι α γ΄, ἅπερ δηλῶσι ιγ΄. πολλ(α)πλασίασον τὰ β΄ μετὰ τῶν α γ΄· δὶς οὖν α γ΄ γίνονται β ς΄. πρόσθες καὶ τὰ υ΄υ΄υ΄υ΄, ἅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ β ς ὐ υ υ υ΄, ἅπερ δηλῶσι σξ΄ χιλιάδας. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι σ΄ μετὰ τῶν ,ατ΄ πολλ(α)πλασιαζόμενα γίνονται σξ΄ χιλ(ι)άδαι.

καὶ ταῦτα μὲν οὕτως, ὁπόταν τὰ δύο πολλ(α)πλασιαζόμενα μέρη – τὸ μέν ἐστι ἄρτιον εἰς ἓν πρῶτον γράμμα ἀναφερόμενον ὡς τὰ ρ΄ καὶ ,α΄ καὶ ἑξῆς ὁμοίως, τὸ δὲ διπλᾶς ἔχον τὰς σημασίας ὡς τὰ με΄ καὶ σν΄ καὶ ,ατ΄ καὶ ἑξῆς ὁμοίως, καθὼς καὶ ἀνωτέρω εἴπομεν.

ὅταν δὲ ἀμφότερα καὶ τὰ δύο πολλ(α)πλασιαζόμενα μέρη διπλᾶς ἔχοσι σημασίας οὐκ ἔχοντα σημεῖον υ΄, ὁ τούτων πολλ(α)πλασιασμὸς γίνεται οὕτως.

ἔστω γὰρ ὅτι ζητεῖς πολλ(α)πλασιάσαι κγ΄ μετὰ τῶν λϑ΄.

Τὰ μὲν οὖν κγ΄ οὕτως κείμενα β γ΄, τὰ δὲ λϑ΄ οὕτως κείμενα γ ϑ΄ ἀμφότερα οὐκ

ἔχοσι μ΄. σκόπει οὖν τὸν ὄντα ἐγγυτέρω τῶν δύο τούτων ἀριθμῶν πρὸς τὸ ἀπαρτίσαι τέλειον ἀριθμόν τε καὶ ἄρτιον εἰς ἓν πρῶτον γράμμα ἀναφερόμενον· καὶ τὰ μὲν κγ΄ ἀπολείπονται ζ΄ πρὸς τὸ γενέσθαι λ΄, ἅπερ ἐστὶ τέλειος ἀριθμός, τὰ δὲ λθ΄ λείπεται α΄ πρὸς τὸ γενέσθαι μ΄, ἅπερ ἐστὶ τέλειος ἀριθμός. καὶ ἰδοὺ τὰ λθ΄ ἐστὶ ἐγγυτέρω πρὸς τὸ γενέσθαι μ΄, τουτέστι τέλειος ἀριθμός. πρόσθες οὖν α΄ ἐπὶ τῶν λθ΄ καὶ γίνονται μ΄, ἅπερ οὕτως κείμενα δ μ΄ ἔχοσι ἕνα μ΄. λάβε τὸ ἕνα μ΄ τῶν μ΄ καὶ κράτει τοῦτο παρὰ σεαυτῷ καὶ ἀπομένοσι καὶ δ΄. πολλ(α)πλασίασον τὰ κγ΄ μετὰ τῶν δ΄· δ΄κις οὖν β γ΄ γίνονται θ β΄. πρόσθες καὶ τὸ ἕνα μ΄, ὅπερ παρὰ σεαυτῷ κρατεῖς, καὶ γίνονται ὁμοῦ θ β μ΄, ἅπερ δηλῶσι ͵ακ΄. ἐπεὶ οὖν προσέθηκας α΄ εἰς τὰ λθ΄ καὶ ἐγένοντο μ΄, ἄφελε ἅπαξ κγ΄ ἐκ τῶν ͵ακ΄ καὶ ἀπομένοσι ωςζ΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι τὰ κγ΄ μετὰ τῶν λθ΄ πολλ(α)πλασιαζόμενα γίνονται ωςζ΄.

ρο΄ μετὰ τῶν τπ΄ πολλ(α)πλασιαζόμενα

Τὰ τπ΄ ἐστὶ ἐγγυτέρω πρὸς τέλειον ἀριθμόν. πρόσθες οὖν β μ΄, ἵνα τὰ τπ΄ γίνωνται υ΄. καὶ τὰ μὲν υ΄ οὕτως κείμενα δ μ μ΄ ἔχοσι δύο μ΄μ΄, τὰ δὲ ρο΄ οὕτως κείμενα α ζ μ΄ ἔχοσι ἕνα μ΄. λάβε τοίνυν τὰ τρία μ΄μ΄μ΄ τῶν δ μ μ΄ δηλονότι καὶ τῶν α ζ μ΄ καὶ κράτει ταῦτα παρὰ σεαυτῷ. καὶ ἀπὸ μὲν τῶν δ μ μ΄ ἀπομένοσι δ΄, ἀπὸ δὲ τῶν α ζ μ΄ τὰ παρόντα δύο γράμματα α ζ΄, ἅπερ δηλῶσι ιζ΄. πολλ(α)πλασίασον τὰ α ζ΄ μετὰ τῶν δ΄· δ΄κις οὖν α ζ΄ γίνονται ς η΄. πρόσθες καὶ τὰ τρία μ΄μ΄μ΄ καὶ γίνονται ὁμοῦ ς ἡ μ μ μ΄, ἅπερ δηλῶσι ξη΄ χιλιάδας. ἐπεὶ οὖν προσέθηκας β μ΄ ἐπὶ τῶν τπ΄ καὶ ἐγένοντο υ΄, ἄφελε β μ΄κις ρο΄ ἐκ τῶν ξη΄ χιλ(ι)άδων, ὧν ἐποίησας. ἔχεις δὲ ἀφελεῖν ταῦτα οὕτως. τὰ μὲν β μ΄ ἔχοσι ἕνα μ΄, τὰ δὲ α ζ μ΄ ἔχοσι ἕνα μ΄. κράτει οὖν δύο μ΄μ΄ παρὰ σεαυτῷ καὶ ἀπομένοσι β΄ καὶ α ζ΄. πολλ(α)πλασίασον ταῦτα· δὶς οὖν α ζ΄ γίνονται γ δ΄. πρόσθες καὶ τὰ δύο μ΄μ΄ καὶ γίνονται ὁμοῦ γ δ μ μ΄, ἅπερ δηλῶσι ,γυ΄. ἄφελε οὖν ,γυ΄ ἐκ τῶν ξη΄ χιλ(ι)άδων καὶ ἀπομένοσι ξδ΄ χιλιάδαι καὶ χ΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι τὰ ρο΄ μετὰ τῶν τπ΄ πολλ(α)πλασιαζόμενα γίνονται ξδ΄ χιλιάδαι καὶ χ΄.

Ἔξεστιν οὖν ὑμῖν καὶ ἐγγράφως καὶ ἀγράφως ἐν μόνῃ φανIIτασίᾳ πολλ(α)πλασιάζειν διὰ τῶν διαφόρων τούτων μεταχειρίσεων, ὧν ἐκτιθέμεθα, καὶ εἰδέναι καλῶς τὸν ἐκ δύο τινῶν ἀριθμῶν γενόμενον πολλ(α)πλασιασμόν. εἰ γὰρ καὶ δυσχερῶς μὲν τὰ τοιαῦτα γράφονται, δυσχερεστέρως δὲ μᾶλλον νοοῦνται, νοούμενα δ᾽ ὅμως ῥᾳδίως εὑρίσκονται. πᾶσα γὰρ τούτων δυσχέρεια ἐπὶ τῆς καταλήψεως γίνεται· καταληφθέντων δὲ τῶν τρόπων τῆς τούτων εὑρέσεως τῇ πείρᾳ διδάσκαλον χρώμενοι ῥᾳδίως εὑρίσκονται. f. 22r

κα **Περὶ τῆς εἰς τὸν διαμερισμὸν εἰσόδου, ἐφ᾽ ἧς καὶ ξ΄ μετὰ τῶν θ΄ διαμερίζονται καὶ ἑξῆς ὁμοίως**


Τὸν τοῦ πολλ(α)πλασιασμοῦ ἤδη κανόνα ἱκανῶς παραδώσαντες, πῶς ἄρα ἔστι δύο τινὰ μέρη πρὸς ἄλληλα πολλαπλασιάζειν ἐγγράφως τε καὶ ἀγράφως ἐν μόνῃ φαντασίᾳ καὶ ποιεῖν γίνεσθαι μείζονα τὰ ἐλάττονα, φέρε εἴπωμεν καὶ πῶς ἔστι τὰ μείζονα διαμερ(ίζ)ειν, εἰς ὅσα ἂν μέρη βούλ(ῃ), καὶ ἐλάττονα ποιεῖν. τοῦτο δὲ δυσχερεστέρως πάνυ τοῦ πολλ(α)πλασιασμοῦ πέφυκε γίνεσθαι καὶ οὐδὲ ῥᾳδία καὶ ἱκανὴ ἡ δήλωσις τούτου διὰ χάρτης μόνον καὶ μέλανος, ἀλλὰ διὰ ζώσης μᾶλλον φωνῆς καὶ

---

27 ξδ΄ χιλιάδαι] $\overset{\eta\sigma}{\xi\delta}$ χιλιάδαι **C**, **i. e.** ἑξηκοντακαιτετράκις χιλιάδαι 28 ὑμῖν] **potius** ἡμῖν 33 διδάσκαλον] **sic C pro** διδασκάλῳ 37 ἐγγράφως] ἐνγράφως **C** 41 διὰ χάρτης **sic C**

πείρας τῆς προσηκούσης δήλη ὑμῖν μόλις γίνεται. πειράσωμαι δ᾽ ὅμως δι᾽ ὑποδειγμάτων διαφόρων, ὡς ἐφικτὸν ὑμῖν δηλῶσαι τὸν τρόπον τῆς τούτου μεταχειρίσεως. καὶ ὅπερ ἂν ἡμεῖς οὐ δυνησώμεθα δηλῶσαι ὑμᾶς, ὡς δυσχερὲς πάνυ καὶ πολ[λ]υγραφίας αἴτιον, παραχωρήσωμεν τῇ πείρᾳ τοῖς βουλ(ο)μένοις τοῦτο καλῶς εἰδεῖν γενέσθαι τούτων διδάσκαλος. αὕτη γὰρ αὐτὴ ἀληθὴς διδάσκαλος δυναμένη τὰ μηδ᾽ ὁπωσοῦν εὑρισκόμενα εἰς ἔργον δεῖξαι καὶ ἀναπλάσασθαι πολλῷ μᾶλλον τὰ ὄντα. καὶ διὰ τοσούτων ὑποδειγμάτων, ὧν ἔχομεν δεῖξαι, ῥᾳδία ὑμῖν γενήσεται ἡ διὰ τῆς πείρας κατάληψις τῶν οὐ δεδωκότων παρ᾽ ἡμῖν πρὸς ὑμᾶς.

Ἔστω τοίνυν ὅτι βούλ(ει) διαμερίσαι ξ΄ εἰ<ς> μέρη θ΄. θὲς ἄνωθεν μὲν τὰ ξ΄, κάτωθεν δὲ τὰ θ΄, ἅπερ θ΄ εἰώθαμεν καλεῖσθαι μεριστής· δι᾽ αὐτοῦ γὰρ μερίζονται τὰ ἄνωθεν πάντα, ὅσα καὶ ᾖ. εἰ μὲν οὖν τὸ πρῶτον ἄνωθεν γράμμα, ὅπερ ἐστὶ ς΄ καὶ δηλοῖ ξ΄, ἦν θ΄, ὥστε δηλεῖν Ϛ΄ εἰς τόπον δεκάδος εὑρισκόμενον, ἔθηκας ἂν τὰ κάτωθεν θ΄, ἅπερ ἐστὶ μεριστής, οὐκ εἰς τόπον μονάδος, καθὼς νῦν ἐστι κείμενα, ἀλλ᾽ εἰς τὸν τῆς δεκάδος τόπον, ὅς ἐστι κάτωθεν τῶν ς΄ τῶν δηλώντων ξ΄. ἐχώρει γὰρ ἀφαιρεθῆναι τὰ θ΄, ὁ μεριστής, εἰς τὰ ἄνωθεν αὐτοῦ ὄντα θ΄ τὰ δηλῶντα Ϛ΄. νῦν δὲ τὸ πρῶτον γράμμα ὂν ς΄– τεθειμένων κάτωθεν τούτου θ΄, οὐ χωρῶσι ἀφαιρεθῆναι τὰ θ΄ ἐκ τῶν ς΄ πλείονα ὄντα· διὸ καὶ τὸν τῆς δεκάδος τόπον ἐάσας προβαίνων ἀκολούθως θὲς τὰ θ΄, ἅπερ ἐστὶ ὁ μεριστὴς τῶν ξ΄, εἰς τόπον μονάδος, τουτέστι κάτωθεν τοῦ ι΄. τιθεμένων δὲ τῶν θ΄ κάτωθεν τοῦ ι΄ τὰ ς΄ ἐπέχουσι τόπον δεκάδος καὶ δηλῶσι ξ΄, ἀπὸ δὲ τῶν ξ΄ πολλάκις χωρῶσι ἀφαιρεθῆναι τὰ θ΄. ζήτει οὖν, ποσάκις χωρῶσι τὰ θ΄ εἰς τὰ ξ΄. ζ΄κις οὖν θ΄ γίνονται ς γ΄ καὶ οὐ χωρῶσι ζ΄κις τὰ θ΄ ἐπὶ τῶν ς ι΄. ς΄κις δὲ θ΄ γίνονται νδ΄, περισσεύοσι καὶ ς΄ μέχρι τῶν ξ΄. θὲς οὖν ς΄ κάτωθεν τῶν θ΄, ὧν ἔχεις μεριστὴν τῶν ξ΄, πρὸς δήλωσι(ν), ὅτι ἑξάκις ἐχώρεσαν τὰ θ΄ ἐπὶ τῶν ξ΄. τὰ δὲ ς΄, ἅπερ περισσεύοσι ἐκ τῶν ξ΄ – θὲς ταῦτα ἄνωθεν τοῦ ι΄. ὀβέλισον δὲ τὰ ς΄, ἅπερ δηλῶσι ξ΄, ὡσαύτως καὶ τὸ ι΄· κατελήφθησαν γὰρ τὰ ς ι΄ καὶ ἐγένοντο ς΄ μερισταὶ καὶ ἀπέμειναν καὶ ς΄ τὰ ἄνωθεν τοῦ ι΄ κείμενα, ἅπερ εἰώθαμεν καλεῖν τζάκισμα. ποίησον οὖν κεραίαν γραμμὴν καὶ θὲς ἄνωθεν μὲν τὰ ς΄, ἅπερ ἐστὶ – ὡς εἴπομεν – τζάκισμα, κάτωθεν δὲ τὰ θ΄, ἅπερ ἐστὶ – ὡς εἴπομεν – μεριστής. καὶ ἰδοὺ εὕρες, ὅτι τὰ ξ΄ ὑπὸ τῶν θ΄ διαμεριζόμενα γίνονται μέρη ς΄, ἕκαστον μέρος ἔχον ἀνὰ ἐννέα. περισσεύοσι δὲ καὶ ς΄, ἅπερ ἔχοσι λόγον πρὸς τὰ θ΄ – τὸν μεριστὴν δηλονότι – δίμοιρον, τουτέστι δύο τρίτα ἑνὸς ἀκεραίου· δὶς γὰρ γ΄ γίνονται ς΄ καὶ τρὶς γ΄ γίνονται θ΄. μεριζόμενα δὲ τὰ ξ΄ ὑπὸ τῶν θ΄ γίνονται μέρη ς΄ καὶ δύο τρίτα ἑνὸς ἀκεραίου.



κβ Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Ἡ δὲ ἀπόδειξις καὶ μαρτυρία αὐτῶν, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον, ἔστι αὕτη. ζήτει πρῶτον τὸ τζάκισμα, ὅπερ νῦν ἐστι ς΄, ὃ καὶ ἄνωθεν τῶν θ΄ ἔθηκας, καὶ ἄφελε τοῦτο ἐπὶ τῶν ζ΄, καθ᾽ ὃν τρόπον εἴπομεν καὶ ἐπὶ τοῦ πολλ(α)πλασιασμοῦ. ἐπεὶ δὲ νῦν ἔστι ἓν γράμμα καὶ οὐ πολλ<ὰ> καὶ οὐ δύνασαι μερίσαι τὰ ς΄ ὑπὸ τῶν ζ΄ ἐλάττονα ὄντα τῶν ζ΄, ποίησόν τινα σύμ<μ>ετρον κεραίαν γραμμὴν καὶ θὲς τὰ ς΄ ταῦτα περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς. ἔπειτα μέρισον καὶ τὸν μεριστὴν τὰ θ΄ δηλονότι


---

2 ἐφικτὸν ὑμῖν] εὐήκτὸν ἡμῖν **C** 10 μεριστής] **hic et passim** μερισθής **C** 14 οὐκ εἰς τόπον] οὐ χίσό πον **C** 19 προβαίνων] προβένον **C** 25 ἐχώρεσαν] **sic pro** ἐχώρησαν **hic et passim C**

ἐπὶ τῶν ζ΄. περισσεύοσι καὶ β΄ ἀπὸ τῶν θ΄. θὲς οὖν β΄ ἄνωθεν τῆς κεραίας γραμμῆς. ἔπειτα μέρισον καὶ τὸν ἐξελθόντα τέλειον διαμερισμόν, ὅστις νῦν ἐστι ς΄ τὰ κάτωθεν ὄντα τῶν θ΄, ἐπὶ τῶν ζ΄. ἐπεὶ δὲ ἓν γράμμα ἐστὶ ἔλαττο ὄντα τῶν ζ΄ καὶ οὐ δύναται μερισθῆναι ἐπὶ τῶν ζ΄, θὲς ς΄ κάτωθεν τῆς κεραίας γραμμῆς, τουτέστι κάτωθεν τῶν β΄. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν β΄ μετὰ τῶν κάτωθεν ς΄· δὶς οὖν ς΄ γίνονται α β΄. ἕνωσον καὶ τὰ ἐκ πλαγίου ς΄, ἅπερ ἐστὶ τοῦ τζακίσματος, καὶ γίνονται ὁμοῦ α η΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ δ΄. θὲς ταῦτα ἐντὸς κύκλου τινός· Ⓓ. μέρισον καὶ τὸν πρῶτον ἀριθμόν, τουτέστι τὰ ς μ΄, ἐπὶ τῶν ζ΄· ἀπὸ γοῦν τῶν ς μ΄ περισσεύοσι δ΄. θὲς καὶ ταῦτα ἐντὸς κύκλου τινός· Ⓓ. καὶ ἰδοὺ εὑρέθησαν αἱ δύο μαρτυρίαι ἴσαι καὶ ὅμοιαι, ἔχουσα ἑκάστη ἐντὸς κύκλου Ⓓ. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις τούτων, ὅτι ἐγένετο καλῶς ὁ τούτων διαμερισμός. εἰ δὲ ἡ μὲν εἶχεν οὕτως, ἡ δὲ ἄλλως πως, διαφέρουσαι ἀλλήλων αἱ μαρτυllρίαι αὐτῶν, οὐκ ἂν **f. 22^{v}** ἐγένετο καλῶς ὁ τέλειος διαμερισμός, τουτέστι τὰ ς΄ καὶ δύο τρίτα ἑνὸς ἀκεραίου.

κγ **πγ΄ μετὰ τῶν ε΄ διαμεριζόμενα**

Θὲς τὰ μὲν πγ΄ ἄνωθεν, τὰ δὲ ε΄ κάτωθεν τῶν η΄. εἰ γὰρ οὐκ ἐχώρει ἐκβληθῆναι τὰ ε΄, ἅπερ νῦν ἐστι μεριστὴς τῶν πγ΄, ἐκ τοῦ πρώτου γράμματος, ὅπερ ἐστὶ η΄ καὶ δηλοῖ π΄, ἔθηκας ἂν τὰ ε΄, ἅπερ ἐστὶ μεριστής, κάτωθεν τῶν γ΄, καθὼς οὕτως ἐποίησας ἐπὶ τῶν ξ΄, μερίζων ταῦτα διὰ τῶν θ΄. νῦν δέ, ἐπεὶ τὸ πρῶτον γράμμα ἐστὶ η΄, ὁ δὲ μεριστὴς ἐστι ε΄ καὶ δύνασαι ἀφελεῖν τὰ ε΄ ἐκ τῶν η΄, θὲς ε΄ – ὡς εἴπομεν – κάτωθεν τῶν η΄.



σκόπει οὖν, ποσάκις χωρῶσι τὰ ε΄, ἅπερ ἐστὶ μεριστής, ἐπὶ τῶν ἄνωθεν τούτου η΄· καὶ ὁσάκις χωρῶσι τὰ ε΄, ἅπερ ἐστὶ μεριστής, ἐπὶ τῶν ἄνωθεν η΄, τοσάκις γράψον κάτωθεν, ἢ ἅπαξ δηλονότι ἢ καὶ πολλ(ά)κις. νῦν δὲ ἅπαξ χωρῶσι τὰ ε΄ εἰς τὰ η΄. καὶ θὲς κάτωθεν τῶν ε΄, ἅπερ ἐστὶ μεριστής, α΄ πρὸς δήλωσι(ν), ὅτι ὁ μεριστής, τὰ ε΄ δηλονότι, ἅπαξ ἐχώρεσεν εἰς τὰ ἄνωθεν η΄. τὰ δὲ γ΄, ἅπερ περισσεύοσι ἐκ τῶν η΄ – θὲς ταῦτα ἄνωθεν τῶν η΄. ὀβέλισον δὲ τὰ η΄, τουτέστι σημείωσον ταῦ<τα> ὡς ἀργὰ νῦν ὄντα καὶ ἀνενέργητα. πρόβηθι οὖν πάλιν εἰς τὸ ἕτερον γράμμα, ὅπερ δηλοῖ γ΄, καὶ θὲς κάτωθεν τούτου ἕτερον μεριστήν, τουτέστι πάλιν ε΄, ἅπερ ἔθηκας καὶ κάτωθεν τῶν η΄. ὀβέλισον δὲ καὶ τὸν πρῶτον μεριστήν, τὰ ε΄ τὰ ὑπὸ τῶν η΄ κείμενα ὡς ἀργὸν νῦν ὄντα καὶ ἀνενέργητον. τὰ ἄνωθεν οὖν τῶν η΄ κείμενα γ΄, ἅπερ ἐπερίσσευσαν ἐκ τῶν η΄, μετὰ τῶν ἐφεξῆς γ΄ οὕτως κείμενα γ γ΄ δηλῶσι λγ΄· τὰ μὲν γάρ ἐστι εἰ<ς> δεκάδος τόπον καὶ δηλῶσι λ΄, τὰ δὲ εἰς μονάδος καὶ δηλῶσι γ΄, τὰ δὲ δύο ὁμοῦ δηλῶσι λγ΄. ἄφελε οὖν πάλιν τὸν δεύτερον μεριστήν, τὰ ε΄ δηλονότι, ἅπερ ἔθηκας κάτωθεν τῶν γ΄, ὁσάκις ἂν χωρῶσι, ἐπὶ τῶν λγ΄· ς΄κις δὲ ε΄ γίνονται λ΄, περισσεύοσι καὶ γ΄ μέχρι τῶν λγ΄. θὲς ς΄ κάτωθεν τοῦ δευτέρου μεριστοῦ, τουτέστι τῶν ε΄, πρὸς δήλωσι(ν), ὅτι ς΄κις ἐχώρεσαν τὰ ε΄ ἐπὶ τῶν ἄνωθεν λγ΄. ἀπομένοσι δὲ καὶ γ΄ <μ>έχρι τῶν λγ΄. ἐπεὶ δὲ εὗρες, ὅτι ς΄κις ε΄ – ταὐτὸν γὰρ εἰπεῖν ε΄κις ς΄ – γίνονται λ΄, ἔθηκας δὲ κάτωθεν τοῦ δευτέρου μεριστοῦ ς΄. ὀβέλισον τὰ γ΄, ἅπερ ἐστὶ ἄνωθεν τῶν η΄ καὶ δηλῶσι λ΄· τὰ γὰρ λ΄ συνελήφθησαν καὶ ἐφθάρησαν γενόμενα ἓξ πεντάδαι. τὰ γ΄ δέ, ἅπ<ερ> ἐστὶ ἄνωθεν τοῦ δευτέρου μεριστοῦ, τουτέστι τῶν ε΄ – ἄφες ταῦτα ἀσημείωτα· περισσεύοσι γὰρ ἐλάττω ὄντα τῶν

---

15 οὐκ ἐχώρει] οὐ καὶ χόρι **C** 25 ἅπερ] ὅπερ **C** 32 η΄] ε **falso C** 41 ἐφθάρησαν] εὐθαρίσαν **C**


ε΄, ὅνπερ ἐστὶ μεριστής, καὶ καλῶνται τζάκισμα· τὸ γὰρ τζάκισμα, ὡς ἂν εἴπῃ τις, δηλωτικὴ φωνή ἐστι, ὅτι ἐναπελείφθη τι μέρος ἔλαττο τοῦ διαμερίζοντος σώματος, ὃ καὶ μεριστὴν ὀνομάζομεν. καὶ ἀπέμεινε τζάκισμα τῷ μεριστῇ συγκρινόμενον. ὀβέλισον δὲ καὶ τὸν δεύτερον μεριστήν, ἐπειδὴ κἀκεῖνος ἀργὸς νῦν ἐστι οὐκ ἔχων ἐφεξῆς τι πλέον διαμερίσασθαι. θὲς οὖν ἄνωθέν τινος κεραίας γραμμῆς τὰ γ΄, ἅπερ ἐκ τῶν λγ΄ ἀπέμειναν καί ἐστι τζάκισμα, κάτωθεν δὲ τῆς κεραίας γραμμῆς θὲς τὰ ε΄, ἅπερ ἐστὶ μεριστής. καὶ ἰδοὺ εὗρες, ὅτι τὰ πγ΄ μετὰ τῶν ε΄ διαμεριζόμενα – γίνεται ὁ τέλειος τούτων διαμερισμὸς τὰ παρόντα δύο γράμματα α ς΄, ἅπερ δηλῶσι ις΄, ἕκαστον μέρος τῶν ις΄ ἔχον ἀνὰ ε΄· ε΄κις γὰρ ις΄ γίνονται π΄ καὶ περισσεύοσι καὶ γ΄ τζάκισμα. τὰ δὲ γ΄ τὸ τζάκισμα πρὸς τὰ ε΄ τὸν μεριστὴν συγκρινόμενα ἔχοσι λόγον τριῶν πέμπτων, καθὼς εἰς τὸ ἑξῆς δηλώσομεν ἔτι τοῦτο σαφέστερον.

κδ Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Θὲς τὸ τζάκισμα, τὰ γ΄ δηλονότι, ἅπερ ἔθηκας ἄνωθεν τῶν ε΄, περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς. θὲς δὲ πάλιν ἄνωθεν τῆς κεραίας εὐθείας γραμμῆς τὸν μεριστήν, τουτέστι τὰ ε΄. ζήτει δὲ καὶ τὸν τέλειον διαμερισμόν, ὅ ἐστι τὰ παρόντα δύο γράμματα α ς΄ τὰ δηλοῦντα ις΄. καὶ μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ β΄. θὲς τὰ β΄ ταῦτα κάτωθεν τῶν ε΄ καὶ τῆς κεραίας εὐθείας γραμμῆς. καὶ πολλ(α)πλασίασον τὰ ἄνωθεν ε΄ μετὰ τῶν κάτωθεν β΄· δὶς οὖν ε΄ γίνονται ι΄. ἕνωσον καὶ τὸ τζάκισμα, τουτέστι τὰ γ΄, ἅπερ ἔθηκας περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς, καὶ γίνονται ὁμοῦ ιγ΄. ἄφελε καὶ ταῦτα ἐπὶ τῶν ζ΄ καὶ ἀπομένοσι ς΄. θὲς ταῦτα ἐντὸς κύκλου τινός· Ⓢ. ζήτει δὲ καὶ τὸν πρῶτον ἀριθμόν, ὃν ἔθηκας πρὸς τὸ διαμερίσαι ἐπὶ τῶν ε΄, τουτέστι τὰ πγ΄, καὶ ἄφελε καὶ ταῦτα ἐπὶ τῶν ζ΄. ἄφελε οὖν ἅπαξ ζ΄ ἐκ τοῦ πρώτου γράμματος, ὅπερ ἐστὶ η΄, καὶ ἀπομένει α΄. τὸ δὲ α΄ μετὰ τοῦ ἐφεξῆς γράμματος οὕτως κείμενα α γ΄ δηλῶσι ιγ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι πάλιν ς΄. θὲς καὶ ταῦτα ἐντὸς κύκλου· Ⓢ. καὶ ἰδοὺ ἐγένοντο αἱ δύο μαρτυρίαι τούτων ἴσαι καὶ ὅμοιαι, ἔχουσα ἑκάστη ἐντὸς κύκλου ἀνὰ ς΄. καὶ αὕτη ἐστὶ ἡ μαρτυρία, ὅτι ἐγένετο καλῶς ὁ τούτων διαμερισμός. εἰ δὲ ἡ μὲν εἶχε ς΄, ἡ δὲ ἄλλον τινὰ ἀριθμόν, οὐκ ἂν ἐγένετο καλῶς ὁ τούτων διαμερισμός.

κε ωις΄ μετὰ τῶν ς΄ διαμεριζόμενα

Θὲς ἄνωθεν μὲν τὰ ωις΄, κάτωθεν δὲ τοῦ πρώτου γράμματος, ὅπερ ἐστὶ η΄, θὲς τὸν μεριστήν, τουτέστι τὰ ς΄. δύνασαι γὰρ ἀφελεῖν τὰ ς΄ ἐκ τῶν ἄνωθεν η΄. ἄφελε οὖν ἅπαξ τὸν μεριστήν, ὅς ἐστι ς΄, ἐκ τῶν ἄνωθεν η΄ καὶ θὲς κάτωθεν τῶν η΄ καὶ τῶν ς΄ α΄ πρὸς δήλωσιν, ὅτι ἅπαξ ἐχώρεσαν τὰ ς΄ πρὸς τὰ η΄. περισσεύοσι καὶ β΄. θὲς τὰ β΄ ἄνωθεν τῶν η΄, ὀβέλισον δὲ καὶ τὰ η΄ καὶ τὰ ς΄ τὸν μεριστήν. θὲς οὖν πάλιν ἕτερον μεριστήν, ς΄ δηλονότι, κάτωθεν τοῦ α΄, ὅπερ δηλοῖ δέκα. τὰ β΄ δέ, ἅπερ ἔθηκας ἄνωθεν τῶν η΄, μετὰ τοῦ α΄, ὅπερ ἐστὶ ἄνωθεν τοῦ δευτέρου μεριστοῦ, τῶν ς΄ δηλονότι, οὕτως κείμενα β α΄ δηλῶσι κα΄. ‖ ἄφελε οὖν τὰ ς΄, ἅπερ ἐστὶ μεριστής, ὁσάκις ἂν χωρῶσι, ἐπὶ τῶν ἄνωθεν κα΄· τρὶς οὖν ς΄ γίνονται ιη΄. θὲς κάτωθεν κατ᾽ εὐθεῖαν τοῦ δευτέρου μεριστοῦ, ὅς ἐστι ς΄, γ΄ πρὸς δήλωσι(ν), ὅτι τρὶς ἐχώρεσαν τὰ ς΄ πρὸς τὰ κα΄· τρὶς γὰρ ς΄ γίνονται ιη΄, περισσεύοσι καὶ γ΄ μέχρι τῶν κα΄. θὲς ἄνωθεν τῶν ς΄ καὶ τοῦ α΄ τὰ γ΄, ἅπερ περισσεύοσι. ὀβέλισον δὲ τὰ β΄, ἅπερ ἐστὶ ἄνωθεν τῶν η΄ καὶ δηλῶσι κ΄, ὡσαύτως ὀβέλισον καὶ τὸ α΄, ὅπερ ἐστὶ εἰς τόπον δεκάδος καὶ δηλοῖ δέκα, καὶ



f. 23r

τὰ κάτωθεν τούτου ς΄, ἅπερ ἐστὶ δεύτερος μεριστής. πρόβηθι οὖν δύο γράμματα καὶ θὲς εἰς τὸν τῆς μονάδος τόπον κάτωθεν τῶν ς΄ ἕτερον τρίτον μεριστήν, τουτέστι πάλιν ς΄. ἔστι οὖν ἄνωθεν τοῦ α΄ κείμενα γ΄ ἀσημείωτα, ἔστι καὶ ἄνωθεν τῶν ς΄, τοῦ τρίτου μεριστοῦ, πάλιν ς΄. τὰ ἄνωθεν οὖν γ΄ εἰς τόπον δεκάδος ἀπὸ τοῦ τρίτου μεριστοῦ λαμβανόμενα δηλῶσι λ΄, τὰ δὲ ς΄, ἅπερ ἐστὶ ἄνωθεν τῶν ς΄, μετὰ τῶν γ΄, ὧν δηλῶσι λ΄, οὕτως κείμενα γ ς΄ δηλῶσι λς΄. ἄφελε ταῦτα, ὁσάκις ἂν χωρῶσι, ἐπὶ τῶν ς΄· ς΄κις οὖν ς΄ γίνονται λς΄ καὶ ἀπομένει υ΄. θὲς οὖν κάτωθεν κατ᾽ εὐθεῖαν τῶν ς΄, τουτέστι τοῦ τρίτου μεριστοῦ τοῦ εἰς τόπον μονάδος εὑρισκομένου, ς΄ πρὸς δήλωσι(ν), ὅτι ς΄κις ἐχώρεσαν τὰ ς΄, ὁ μεριστής, εἰς τὰ λς΄. ὀβέλισον δὲ τὰ γ΄, ἅπερ ἐστὶ ἄνωθεν τοῦ α΄ καὶ δηλῶσι λ΄· ὀβέλισον δὲ καὶ τὰ ς΄ καὶ τὰ κάτωθεν ς΄, ἅπερ ἐστὶ τρίτος μεριστής. θὲς οὖν ἄνωθεν κεραίας τινὸς γραμμῆς υ΄, κάτωθεν δὲ ταύτης τὸν μεριστήν, τουτέστι ς΄. ἔχεις οὖν τζάκισμα ἀντὶ ἄλλης τινὸς ψήφου υ΄· οὐδὲ γὰρ περισσεύει τι ἐκ τῶν ωις΄ ὥστε ἐναπομεῖναι τζάκισμα, ἀλλὰ συνελήφθησαν πάντα καὶ ἐγένοντο μέρη ρλς΄, ἕκαστον μέρος τῶν ρλς΄ ἀνὰ ς΄. ς΄κις γὰρ ρλς΄ ωις΄ γίνονται.

ὥσπερ γὰρ διαμεριζόμενα τὰ ωις΄ μετὰ τῶν ς΄ γίνεται ὁ τούτων τέλειος διαμερισμὸς ρλς΄, οὕτως πάλιν πολλ(α)πλασιαζόμενα τὰ ρλς΄ μετὰ τῶν ς΄ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς εἰς τὴν προτέραν πάλιν ἀποκατάστασιν, τουτέστι ωις΄. ἐὰν γὰρ διαμερίσῃς ρ΄ μετὰ τῶν δ΄, γίνεται ὁ τούτων διαμερισμὸς κε΄. πολλ(α)πλασιαζόμενα δὲ τὰ κε΄ μετὰ τῶν δ΄ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς πάλιν ρ΄. καὶ τὸ ἀνάπαλι(ν) πολλ(α)πλασιαζόμενα τὰ κε΄ μετὰ τῶν δ΄ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ρ΄, μεριζόμενα δὲ τὰ ρ΄ μετὰ τῶν δ΄ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν κε΄. ὁ γὰρ μεριστὴς γενόμενος πολλ(α)πλασιαστὴς τοῦ ἐξελθόντος τελείου διαμερισμοῦ ἐπιστρέφει πάλιν τὸν διαμερισμὸν εἰς τὴν προτέραν ἀποκατάστασιν, ὥσπερ καὶ τὸ ἀνάπαλι(ν) γενόμενος ὁ πολλ(α)πλασιαστὴς μεριστὴς τῶν πολλ(α)πλασιασθέντων ἐπιστρέφει τὸν πολλ(α)πλασιασμὸν εἰς τὴν προτέραν ἀποκατάστασιν.

κς Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Θὲς τὸ τζάκισμα, ὅπερ ἔθηκας ἄνωθεν τῶν ς΄, ὧν ἔχεις μεριστήν, τουτέστι τὸ υ΄, περὶ τὸ τέλος τῆς ἑτέρας κεραίας γραμμῆς, ἄνωθεν δὲ ταύτης θὲς τὸν μεριστήν, τουτέστι τὰ ς΄. λάβε δὲ τὰ δύο πρῶτα γράμματα τοῦ τελείου διαμερισμοῦ τῶν ρλς΄ δηλονότι, ἅπερ οὕτως κείμενα α γ΄ δηλῶσι ιγ΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι ς΄. ἕνωσον ταῦτα μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος, ἅπερ οὕτως κείμενα ς ς΄ δηλῶσι ξς΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι γ΄· θὲς ταῦτα κάτωθεν τῶν ς΄ καὶ τῆς ὧν ἔθηκας ἄνωθεν τῆς κεραίας γραμμῆς. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν ς΄ μετὰ τῶν κάτωθεν γ΄· τρὶς οὖν ς΄ γίνονται ιη΄. ἕνωσον καὶ τὸ υ΄, ὅπερ ἐστὶ περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς, καὶ, ἐπεὶ υ΄ ἐστί, πάλιν ἐστὶ ιη΄. ἄφελε καὶ ταῦτα ἐπὶ τῶν ζ΄ καὶ ἀπομένουσι δ΄. θὲς ταῦτα ἐντὸς κύκλου τινός· (δ). λάβε δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ πρώτου ἀριθμοῦ, οὗ ἐμέρισας, τουτέστι τῶν ωις΄, ὅπερ ἐστὶ η΄, καὶ ἄφελε ἅπαξ ζ΄ ἐξ αὐτοῦ, καὶ ἀπομένει α΄. ἕνωσον δὲ τοῦτο μετὰ τοῦ ἐφεξῆς δευτέρου γράμματος, ἅπερ οὕτως κείμενα α α΄ δηλῶσι ια΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄


---

23 πολλ(α)πλασιαστὴς] **hic et ubique** πολλ(α)πλασιασθὴς **C** 33/34 κάτωθεν τῶν ς΄ καὶ τῆς ὧν ἔθηκας ἄνωθεν τῆς κεραίας γραμμῆς] **textus corruptus hoc modo corrigi potest:** κάτωθεν τῶν ς΄, ὧν ἔθηκας ἄνωθεν τῆς κεραίας γραμμῆς, καὶ τῆς κεραίας γραμμῆς

καὶ ἀπομένοσι δ΄. ἕνωσον ταῦτα μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος, ἅπερ οὕτως κείμενα δ ς΄ δηλῶσι μς΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι δ΄. θὲς ταῦτα ἐντὸς κύκλου· (δ). καὶ ἰδοὺ ἐγένοντο αἱ δύο μαρτυρίαι αὐτῶν ὅμοιαι ἔχουσα ἑκάστη ἐντὸς κύκλου ἀνὰ δ΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς ὁ τέλειος διαμερισμός, τουτέστι τὰ ρλς΄.

κζ ρν΄ μετὰ τῶν ιβ΄ διαμεριζόμενα

Θὲς τὰ μὲν ρν΄ ἄνωθεν, τὰ ιβ΄ δέ, ἅπερ ἐστὶ μεριστής, – θὲς ταῦτα κάτωθεν τῶν πρώτων δύο γραμμάτων, ὧν δηλῶσι ιε΄. ἔστι δ᾽ ὅμως ρν΄ μετὰ τοῦ ι΄ οὕτως κείμενα α ε ι΄· χωρῶσι γὰρ ἀφαιρεθῆναι ὁ μεριστής, τὰ ιβ΄ ἐκ τῶν ἄνωθεν αὐτῶν ιε΄, διὸ καὶ κάτωθεν τῶν ιε΄ τὰ ιβ΄ ἔθηκας. ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ α΄, ἐκ τοῦ ἄνωθεν α΄, ὁσάκις ἂν χωρῇ· χωρεῖ δὲ ἅπαξ τὸ α΄ πρὸς τὸ ἄνωθεν α΄. θὲς οὖν κάτωθεν κατ᾽ εὐθεῖαν α΄ πρὸς δήλωσιν, ὅτι ἅπαξ ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ α΄, ἐκ [τῶν] τοῦ πρώτου γράμματος τῶν ρν΄. ὀβέλισον δὲ τὸ ἄνωθεν πρῶτον γράμμα, ὅπερ ἐστὶ α΄ καὶ δηλοῖ ρ΄. ὀβέλισον καὶ τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ α΄· ἔστι γὰρ νῦν τὰ δύο ἄλφα ἀργά. ἄφελε δὲ ἅπαξ τὸ δεύτερον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ β΄, ἐκ τῶν ἄνωθεν αὐτοῦ ε΄. ὥσπερ γὰρ ἀφεῖλες ἅπαξ τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, οὕτως καὶ τὸ δεύτερον γράμμα αὐτοῦ, ὅπερ ἐστὶ β΄, – ἄφελε τοῦτο ἅπαξ ἐκ τῶν ἄνωθεν ε΄· ἅπαξ οὖν β΄ πάλ(ιν) ἐστὶ β΄, περισσεύοσι καὶ γ΄ μέχρι τῶν ε΄. θὲς οὖν τὰ γ΄, ἅπερ περισσεύοσι, ἄνωθεν τῶν ε΄. ὀβέλισον δὲ τὰ ε΄ καὶ τὰ κάτωθεν τούτων β΄, ἅπερ ἐστὶ δεύτερον γράμμα τοῦ πρώτου μεριστοῦ. καὶ ἰδοὺ ἐτέλεσας τὸν πρῶτον μεριστήν.



α β καὶ $\frac{\varsigma}{\alpha\,\beta}$

πρόβηθι οὖν καὶ θὲς δεύτερον μεριστήν, τουτέστι πάλιν ιβ΄. ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ ‖ δευτέρου μεριστοῦ, τουτέστι τὸ α΄, ἐκ τῶν ἄνωθεν γ΄, ὧν ἔθηκας ἄνωθεν τῶν ε΄, ὁσάκις ἂν χωρῇ· ἴσως οὖν τὸ α΄ χωρεῖ τρὶς εἰς τὰ γ΄. ἂν γοῦν τὸ α΄ ἀφέλῃς τρίς, ἔλαβες ἐξακεραίου τὰ γ΄ καὶ οὐκ ἐναπελείφθη τι, ὥστε ἔχειν ἀφελέσθαι καὶ τὸ δεύτερον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ β΄. ἄφελε οὖν τὸ α΄, ὅπερ ἐστὶ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ, δὶς ἐκ τῶν ἄνωθεν τῶν ε΄ γ΄. ἀπομένει καὶ α΄. θὲς κάτωθεν κατ᾽ εὐθεῖαν τοῦ πρώτου γράμματος τοῦ δευτέρου μεριστοῦ β΄ πρὸς δήλωσι(ν), ὅτι δὶς ἀφεῖλες τὸ α΄ ἐκ τῶν γ΄. ἄνωθεν δὲ τῶν γ΄ θὲς τὸ α΄, ὅπερ περισσεύει ἐκ τῶν γ΄· ἀφελόμενος γὰρ β΄ περισσεύει α΄. ὀβέλισον δὲ τὰ γ΄, ὀβέλισον δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ, τὸ α΄ δηλονότι. τὸ δὲ α΄, ὅπερ ἔθηκας ἄνωθεν τῶν γ΄, μετὰ τοῦ ι΄, ὅπερ ἐστὶ τελευταῖον τῶν τριῶν, ὧν δηλῶσι ρν΄, οὕτως κείμενα α ι΄ δηλῶσι δέκα. ἄφελ(ε) οὖν τὸ δεύτερον γράμμα τοῦ δευτέρου μεριστοῦ, τὰ β΄ δηλονότι, ἅπερ κάτωθεν τοῦ ι΄ εἰσι κείμενα, δὶς ἐκ τῶν α ι΄, καθὼς ἀφεῖλες δὶς καὶ τὸ πρῶτον γράμμα τοῦ αὐτοῦ μεριστοῦ, τουτέστι τὸ α΄, ἐκ τῶν γ΄. ὁσάκις γὰρ ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ, τοσαυτάκις καὶ τὸ δεύτερον γράμμα ἀφελεῖν ὀφείλεις. ἐπεὶ δὲ τὸ πρῶτον ἀφεῖλες δὶς ἐκ τῶν γ΄, ἄφελε δὶς καὶ τὸ δεύτερον, ὅπερ ἐστὶ β΄, ἐκ τῶν ἄνωθεν α ι΄· δὶς οὖν β΄ γίνονται δ΄, περισσεύοσι καὶ ς΄ μέχρι τῶν α ι΄. θὲς ἄνωθεν τοῦ ι΄ τὰ ς΄, ἅπερ περισσεύοσι f. 23^{v}

15/16 ὀβέλισον] ὀφέλησων **C** 28 ἐξακεραίου] ἐξὰκαὶρέου **C** οὐκ ἐναπελείφθη] οὐ καὶ ναπελῆφθἰ **C**

ἐκ τῶν α μ΄. ὀβέλισον δὲ τὸ α΄, ὅπερ ἐστὶ ἄνωθεν τῶν γ΄ καὶ δηλοῖ α μ΄. ὀβέλισον δὲ καὶ τὸ δεύτερον γράμμα τοῦ δευτέρου μεριστοῦ, τὰ β΄ δηλονότι, ἅπερ κάτωθεν τοῦ μ΄ εἰσι κείμενα.


τὰ ς΄ δέ, ἅπερ ἔθηκας ἄνωθεν τοῦ μ΄ – ποίησόν τινα μετρίαν ἐγκάρσιον γραμμὴν καὶ θὲς ταῦτα ἄνωθεν· ἔστι γὰρ τζάκισμα. κάτωθεν δὲ τῶν ς΄ καὶ τῆς κεραίας γραμμῆς θὲς τὸν μεριστήν, τουτέστι τὰ ιβ΄. καὶ ἰδοὺ εὕρες, ὅτι τὰ ρν΄ μετὰ τῶν ιβ΄ διαμεριζόμενα γίνεται ὁ τέλειος τούτων διαμερισμὸς ιβ΄, ἀπομένει καὶ τζάκισμα ς΄. ἔχοσι δὲ λόγον τὰ ς΄ τὸ τζάκισμα πρὸς τὰ ιβ΄ τὸν μεριστὴν μισόν. καὶ ἰδοὺ ἐγένετο ὁ τέλειος διαμερισμὸς ιβ΄ς″. ἕκαστον δὲ τῶν ιβ΄ οἰκειοῦται ἐκ τῶν ρν΄ πάλιν ιβ΄, καθὼς καὶ ὁ μεριστής ἐστι ιβ΄. ὅσος γάρ ἐστι ὁ μεριστὴς ὁ μερίζων, ὃν ἂν ἀριθμὸν ζητῇς διαμερίσαι, τοσαῦτα οἰκειοῦται ἐκ τοῦ ὅλου σώματος ἕκαστον μέρος τοῦ ἐξελθόντος τελείου διαμερισμοῦ· ὁ γὰρ τέλειος νῦν διαμερισμὸς τῶν ρν΄ μετὰ τῶν ιβ΄ διαμεριζόμενος ἐγένετο ιβ΄ς″. καθὼς οὖν εἴπομεν – ἕκαστον μέρος τῶν ιβ΄ οἰκειοῦται ἐκ τῶν ρν΄ ιβ΄ –, καθώς ἐστι καὶ ὁ μεριστὴς ιβ΄· ιβ΄κις γὰρ ιβ΄ γίνονται ρμδ΄, λείπονται καὶ ς΄ μέχρι τῶν ρν΄. ἐπεὶ δὲ ἕκαστον τῶν ιβ΄ οἰκειοῦται ιβ΄, ἃ καὶ γίνονται ρμδ΄, τὸ ς″ οἰκειοῦται ς΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρμδ΄ καὶ γίνονται ὁμοῦ ρν΄. καὶ ἰδοὺ ἕκαστον τῶν ιβ΄ οἰκειοῦται ιβ΄, τουτέστι τὰ ιβ΄ς″ ὁμοῦ οἰκειοῦνται ρν΄.

κη Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Θὲς τὸ τζάκισμα τὰ ς΄, ἅπερ ἐστὶ ἄνωθεν τῆς κεραίας γραμμῆς, περὶ τὸ τέλος τῆς ἑτέρας κεραίας γραμμῆς. μέρισον δὲ ἐπὶ τῶν ζ΄ τὰ ιβ΄, τὸν μεριστήν, τὰ ὄντα κάτωθεν τοῦ τζακίσματος, τῶν ς΄, καὶ περισσεύοσι ε΄· θὲς ταῦτα ἄνωθεν τῆς κεραίας γραμμῆς. μέρισον δὲ ἐπὶ τῶν ζ΄ καὶ τὸν τέλειον διαμερισμόν, ὅς ἐστι ιβ΄, καὶ περισσεύοσι πάλιν ε΄· θὲς ταῦτα κάτωθεν τῆς κεραίας γραμμῆς. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν ε΄ μετὰ τῶν κάτωθεν ε΄· ε΄κις οὖν ε΄ γίνονται κε΄. ἕνωσον καὶ τὰ ς΄ τοῦ τζακίσματος τὰ περὶ τὸ τέλος ὄντα τῆς κεραίας γραμμῆς καὶ γίνονται ὁμοῦ λα΄. ἄφελε καὶ ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι γ΄. θὲς ταῦτα ἐντὸς κύκλου τινός· (γ). λάβε δὲ τὰ πρῶτα δύο γράμμα<τα> τῶν ρν΄, ὧν ἐμέρισας μετὰ τῶν ιβ΄, ἅπερ οὕτως κείμενα α ε΄ δηλῶσι ιε΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει καὶ α΄. τὸ δὲ α΄ τοῦτο μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα α μ΄ δηλῶσι δέκα. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ γ΄. θὲς ταῦτα ἐντὸς κύκλου τινός· (γ). καὶ ἰδοὺ ἐγένοντο αἱ δύο μαρτυρίαι αὐτῶν ὅμοιαι, ἔχουσα ἑκάστη ἀνὰ γ΄. καὶ ἔστι ἀληθὴς ὁ ἐξελθὼν τέλειος διαμερισμός, τὰ ιβ΄ς″.

κθ Περὶ τοῦ πῶς ἔστι διαμερίσαι ὑπέρπυρα ,αφξη΄ εἰς συντρόφους ιδ΄ καὶ εἰδέναι, πόσα οἰκειοῦται ἕκαστος αὐτῶν ἐκ τῶν ,αφξη΄ ὑπερπύρων

Ἔστω ὅτι σύντροφοί τινες ιδ΄ ἔχοσι διαμερίσασθαι ὑπέρπυρα ,αφξη΄. ζητεῖς δὲ εἰδέναι, τί περιέρχεται ἕκαστον τῶν ιδ΄ συντρόφων οἰκεῖον μέρος ἐκ τῶν ,αφξη΄ ὑπερπύρων. θὲς οὖν τὰ μὲν ,αφξη΄ ὑπέρπυρα ἄνωθεν, κάτωθεν δὲ κατ᾽ εὐθεῖαν τῶν πρώτων δύο γραμμάτων θὲς τοὺς ιδ΄ συντρόφους, καὶ γὰρ οἱ ιδ΄ σύντροφοι ἐλάττονές εἰσι τῶν ἄνωθεν κατ᾽ εὐθεῖαν δύο γραμμάτων, ὧν δηλῶσι ιε΄. ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ α΄, ἐκ τοῦ ἄνωθεν α΄, ὁσάκις ἂν χωρῇ· χωρεῖ δὲ ἅπαξ. θὲς



---

4 ἐγκάρσιον γραμμὴν] sic C 34/35 ὑπέρπυρα, ὑπερπύρων etc. ubique notata ,, ,, etc.

οὖν κάτωθεν κατ᾽ εὐθεῖαν α΄ πρὸς δήλωσι(ν), ὅτι ἅπαξ ἀφεῖλες τὸ α΄ ἐκ τοῦ ἄνωθεν α΄. ὀβέλισον δὲ τὸ ἄνωθεν α΄, ὅπερ δηλοῖ ὑπέρπυρα ,α΄. ὀβέλισον δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ α΄ καὶ δηλοῖ δέκα. τὸ δεύτερον δὲ γράμμα τοῦ μεριστοῦ δηλοῖ δ΄. καθὼς οὖν ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ ἅπαξ, οὕτως καὶ τὸ δεύτερον, ὅπερ ἐστὶ δ΄, ἅπαξ ἄφελε ἐκ τῶν ἄνωθεν αὐτο<ῦ> ε΄. ἴσως γὰρ οὐδὲ πλεῖο τοῦ ἅπαξ ἔχεις ἀφελεῖν τὰ δ΄ ἐκ τῶν ἄνωθεν αὐτῶν ε΄. εἰ δὲ καὶ πολλ(ά)κις ἀφελεῖν εἶχες τὰ δ΄ ἐκ τῶν ἄνωθεν αὐτῶν, οὐκ ἂν ἀφεῖλες πλέον τοῦ ἅπαξ, ἐπεὶ τὸ πρῶτον γράμμα ἅπαξ ἀφεῖλες αὐτό. ἀφελόμενος δὲ ἅπαξ δ΄ ἐκ τῶν ἄνωθεν αὐτῶν ε΄ περισσεύει καὶ α΄. θὲς τὸ α΄, ὅπερ περισσεύει ἐκ τῶν ε΄, ἄνωθεν τῶν ε΄. ὀβέλισον δὲ τὰ ε΄, ὀβέλισον δὲ καὶ τὸ δεύτερον || γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ δ΄. καὶ ἰδοὺ ἐτέλεσας τὸν πρῶτον μεριστήν. f. 24r

πρόβηθι οὖν πάλιν καὶ θὲς ἀκολούθως ἕτερον μεριστήν, τουτέστι τοὺς ιδ΄ πάλιν συντρόφους. ἄνωθεν οὖν κατ᾽ εὐθεῖαν τοῦ πρώτου γράμματος τοῦ δευτέρου μεριστοῦ, ταὐτὸν γὰρ εἰπεῖν ἄνωθεν κατ᾽ εὐθεῖαν τῶν ε΄, ἔστι τὸ παρὸν γράμμα α΄ καὶ δηλοῖ ἕνα, ἐπεὶ ἄνωθεν κατ᾽ εὐθεῖαν τοῦ πρώτου γράμματος τοῦ δευτέρου μεριστοῦ ἐστι κείμενον. ἄφελε οὖν ἅπαξ τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ, τουτέστι τὸ α΄, ἐκ τοῦ ἄνωθεν τῶν ε΄ εὑρισκομένου α΄ καὶ ἀπομένει οὐδέν. θὲς α΄ κάτωθεν κατ᾽ εὐθεῖαν τοῦ πρώτου γράμματος τοῦ δευτέρου μεριστοῦ πρὸς δήλωσι(ν), ὅτι ἅπαξ ἀφεῖλες αὐτὸ ἐκ τοῦ ἄνωθεν α΄. ὀβέλισον δὲ τὸ α΄, ὅπερ ἐστὶ ἄνωθεν τῶν ε΄. ὀβέλισον δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ. τὸ δεύτερον δὲ γράμμα τοῦ δευτέρου μεριστοῦ, ὅπερ ἐστὶ δ΄ – ἄφελε τοῦτο ἅπαξ, οὐχ ὅτι χωρεῖ ἅπαξ ἀφαιρεθῆναι ἐκ τῶν ἄνωθεν αὐτοῦ ς΄, ἀλλ᾽ ὅτι ἅπαξ ἀφεῖλες καὶ τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ. ἀφελόμενος δὲ ἅπαξ δ΄ ἐκ τῶν ἄνωθεν ς΄ περισσεύοσι καὶ β΄. θὲς ἄνωθεν τῶν ς΄ τὰ β΄, ἅπερ περισσεύοσι. ὀβέλισον δὲ τὰ ς΄, ὀβέλισον δὲ καὶ τὸ δεύτερον γράμμα τοῦ δευτέρου μεριστοῦ, τουτέστι τὰ δ΄. καὶ ἰδοὺ ἐτέλεσας καὶ τὸν δεύτερον μεριστήν.

πρόβηθι πάλιν ἕτερον γράμμα καὶ θὲς τρίτον μεριστὴν ἔμπροσθεν, τουτέστι πάλιν τοὺς ιδ΄ συντρόφους. τὸ πρῶτον οὖν γράμμα τοῦ τρίτου μεριστοῦ ἐστι α΄. ἄφελε οὖν τοῦτο τὸ α΄ ἐκ τῶν ἄνωθεν αὐτοῦ κατ᾽ εὐθεῖαν β΄, ὧν ἔθηκας ἄνωθεν τῶν ς΄, ὁσάκις ἂν χωρῇ· χωρεῖ δὲ τὸ α΄ δὶς εἰς τὰ β΄. καὶ θὲς κάτωθεν κατ᾽ εὐθεῖαν αὐτῶν ἔμπροσθεν τῶν δύο ἄλφα β΄ πρὸς δήλωσι(ν), ὅτι δὶς ἀφεῖλες τὸ α΄ ἐκ τῶν ἄνωθεν β΄. ὀβέλισον δὲ τὰ ἄνωθεν τῶν ς΄ κείμενα β΄, ὀβέλισον καὶ τὸ πρῶτον γράμμα τοῦ τρίτου μεριστοῦ, τουτέστι τὸ α΄. τὸ ἔσχατον δὲ γράμμα τοῦ τρίτου μεριστοῦ, δηλονότι τὰ δ΄, – ἄνωθεν τούτου κεῖνται η΄. ἐπεὶ δὲ δὶς ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ τρίτου μεριστοῦ, διὸ καὶ β΄ ἔθηκας κάτωθεν, τοσαυτάκις ἀφελεῖν ὀφείλεις καὶ τὸ δεύτερον γράμμα τοῦ τρίτου μεριστοῦ, δηλονότι τὰ δ΄, ἐκ τῶν ἄνωθεν η΄, οὐχ ὅτι δὶς μόνον χωρῶσι τὰ δ΄ πρὸς τὰ η΄, ἀλλ᾽ ὅτι εἰ καὶ πολλ(ά)κις ἀφελεῖν εἶχες τὰ δ΄ ἐκ τῶν η΄, οὐκ ἂν ἀφεῖλες πλεῖο τῶν δίς. ὁσάκις γὰρ ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, κἄντε ἅπαξ κἄντε δὶς ἢ τρὶς ἢ δ΄κις καὶ ἑξῆς ὁμοίως, τοσαυτάκις ἀφελεῖν ὀφείλεις καὶ τὰ λοιπὰ γράμματα τοῦ αὐτοῦ μεριστοῦ. νῦν δέ, ἐπεὶ τὸ πρῶτον γράμμα τοῦ τρίτου μεριστοῦ ἀφεῖλες δίς, διὸ καὶ β΄ κάτωθεν ἔθηκας, ἄφελε καὶ τὸ δεύτερον γράμμα τοῦ τρίτου μεριστοῦ, τὰ δ΄ δηλονότι, δὶς ἐκ τῶν ἄνωθεν η΄, καὶ ἀπομένει ι΄. ὀβέλισον τὰ η΄, ὀβέλισον δὲ καὶ τὰ δ΄, τὸ δεύτερον δηλονότι γράμμα τοῦ τρίτου μεριστοῦ. θὲς οὖν ἄνωθεν τῆς κεραίας γραμμῆς ι΄ ἀντὶ τζακίσματος, ἐπεὶ τζάκισμα

---

5 ἐστὶ] ἰ **C** 6.38 πλεῖο] πλιω **C** 22.29 αὐτοῦ] αὐτο **C**

οὐκ ἀπέμεινε. θὲς δὲ κάτωθεν τῆς κεραίας γραμμῆς τὸν μεριστήν, τουτέστι τοὺς ιδ΄ συντρόφους. καὶ ἰδοὺ εὗρες, ὅτι ἕκαστος τῶν ιδ΄ συντρόφων οἰκειοῦται ἐκ τῶν ,αφξη΄ ὑπερπύρων ὑπέρπυρα ριβ΄.


πολλ(α)πλασίασον δὲ τὰ ριβ΄ ὑπέρπυρα μετὰ τῶν ιδ΄ συντρόφων· ιδ΄κις οὖν ριβ΄ πάλιν γίνονται ὑπέρπυρα ,αφξη΄, ὡς τὸ πρότερον. μεριζόμενα δὲ πάλιν τὰ ,αφξη΄ ὑπέρπυρα μετὰ τῶν ριβ΄ ὁ τέλειος τούτων διαμερισμὸς εὑρεθήσεται ιδ΄. ὥσπερ γὰρ τὰ ,αφξη΄ μετὰ τῶν ιδ΄ διαμεριζόμενα ὁ τέλειος τούτων διαμερισμὸς ἐγένετο ριβ΄, οὕτως καὶ τὸ ἀνάπαλι(ν) μετὰ τῶν ριβ΄ διαμεριζόμενα τὰ ,αφξη΄ ὁ τέλειος τούτων διαμερισμὸς εὑρεθήσεται ιδ΄. μεριζόμενα δὲ τὰ ,αφξη΄ ὑπέρπυρα μετὰ τῶν ιδ΄ συντρόφων ἐγένοντο μέρη ιδ΄, ἕκαστον μέρος τῶν ιδ΄ ἀνὰ ριβ΄· ριβ΄κις γὰρ ἐχώρεσαν τὰ ιδ΄ πρὸς τὰ ,αφξη΄ ὑπέρπυρα. ὁσάκις δὲ ἐχώρεσαν οἱ ιδ΄ σύντροφοι εἰς τὰ ,αφξη΄ ὑπέρπυρα, τοσαῦτα ὑπέρπυρα οἰκειοῦται ἕκαστος τῶν ιδ΄ συντρόφων. ἐχώρεσαν δὲ οἱ ιδ΄ σύντροφοι εἰς τὰ ,αφξη΄ ὑπέρπυρα ριβ΄κις, διὸ καὶ ἕκαστος αὐτῶν οἰκειοῦται ὑπέρπυρα ριβ΄. τζάκισμα δὲ οὐκ ἀπέμεινε τὸ τυχόν, ἀλλὰ συνελήφθησαν τὰ καθόλου ὑπέρπυρα εἰς τοὺς ιδ΄ συντρόφους καὶ ἀπέμεινε τζάκισμα ι΄, διὸ καὶ ἔθηκας ἄνωθεν μὲν τῆς κεραίας γραμμῆς ι΄, κάτωθεν δὲ τοὺς ιδ΄ συντρόφους, πρὸς δήλωσι(ν), ὅτι οὐκ ἀπέμεινέ τι ἐκ τῶν ,αφξη΄ ὑπερπύρων.

λ Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Θὲς τὸ τζάκισμα, ὅπερ ἐστὶ ἄνωθεν τῆς κεραίας γραμμῆς καὶ δηλοῖ ι΄, περὶ τὸ τέλος τῆς ἑτέρας κεραίας γραμμῆς. τὰ δύο δὲ τοῦ μεριστοῦ γράμματα δηλῶσι ιδ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ ἀπομένει ι΄. θὲς ι΄ ἄνωθεν τῆς κεραίας γραμμῆς. τὰ δύο δὲ γράμματα τοῦ τελείου διαμερισμοῦ τῶν ριβ΄ οὕτως κείμενα α α΄ δηλῶσι ια΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ ἀπομένουσι δ΄. ταῦτα τὰ δ΄ μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα δ β΄ δηλῶσι μβ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει ι΄. θὲς κάτωθεν τῆς κεραίας γραμμῆς ι΄. καὶ ἐπεὶ τὰ τρία γράμματα τὰ περὶ τὴν κεραίαν γραμμὴν κείμενα δηλῶσι ι΄, ἡ μαρτυρία τούτων πάλιν ἐστὶ ι΄. θὲς οὖν ἐντὸς κύκλου (ι). τὰ δύο δὲ πρῶτα γράμματα τῶν ,αφξη΄ ὑπερπύρων οὕτως κείμενα α ε΄ δηλῶσι ιε΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει α΄. τοῦτο τὸ α΄ μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα α ς΄ δηλῶσι ις΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι β΄. ταῦτα τὰ β΄ μετὰ τοῦ ἐφεξῆς τετάρτου γράμματος οὕτως κείμενα β η΄ δηλῶσι κη΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει ι΄. θὲς ἐντὸς κύκλου (ι). καὶ ἰδοὺ ἐγένοντο αἱ δύο μαρτυρίαι αὐτῶν ὅμοιαι ἔχουσα ἑκάστη ἐντὸς κύκλου ι΄. καὶ ἔστι ἀληθὴς ὁ ἐξελθὼν τέλειος διαμερισμός, τουτέστι τὰ ριβ΄. ‖ f. 24[v]

λα Περὶ τοῦ πῶς ἔστι διαμερίσαι μγ΄ χιλιάδας ἡμέρας μετὰ τῶν τξε΄ ἡμερῶν ἑνὸς χρόνου καὶ εἰδέναι, πόσοι χρόνοι γίνονται

Θὲς τὰς μγ΄ χιλ(ι)άδας τὰς ἡμέρας ἄνωθεν, κάτωθεν δὲ τούτων θὲς ἑνὸς χρό[υ]νου ἡμέρας, τουτέστι τξε΄. ἔστι οὖν αὗται αἱ τξε΄ ἡμέραι ὁ μεριστής. τὸ πρῶτον οὖν γράμμα τοῦ μεριστοῦ ἐστὶ γ΄. ἄφελε δὲ τοῦτο ἐκ τῶν ἄνωθεν δ΄, ὁσάκις ἂν χωρῇ· χωρεῖ δὲ ἅπαξ. θὲς κάτωθεν κατ᾽ εὐθεῖαν τοῦ πρώτου γράμματος τοῦ μεριστοῦ α΄ πρὸς δήλωσι(ν), ὅτι ἅπαξ ἀφεῖλες τὰ γ΄ ἐκ τῶν ἄνωθεν δ΄. περισσεύει καὶ α΄. θὲς τοῦτο ἄνωθεν τῶν δ΄. ὀβέλισον δὲ τὰ δ΄, ὀβέλισον δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ γ΄. τὸ δεύτερον δὲ γράμμα τοῦ μεριστοῦ ἐστι ς΄. τὸ ἄνωθεν οὖν τῶν δ΄ κείμενον α΄ δηλοῖ ι΄· τὰ γὰρ ς΄ ἐστὶ εἰς τόπον δεύτερον. ἄφελε οὖν τὰ ς΄,



ἅπερ ἐστὶ δεύτερον γράμμα τοῦ μεριστοῦ, ἅπαξ ἐκ τῶν ι΄, καθὼς ἅπα<ξ> ἀφεῖλες καὶ τὸ πρῶτον γράμμα. ἔχεις οὖν ἅπαξ ς΄. πρό<σ>θες καὶ δ΄ μέχρι τῶν ι΄. ὀβέλισον δὲ τὸ α΄, ὅπ(ερ) ἐστὶ ἄνωθεν τῶν δ΄ καὶ δηλοῖ ι΄. ἐπεὶ οὖν προσέθηκας δ΄ εἰς τὸ ἅπαξ ς΄, ὥστε γενέσθαι ι΄, ἕνωσον ταῦτα τὰ δ΄ μετὰ τῶν γ΄, ὧν ἐστι ἄνωθεν τῶν ς΄, καὶ γίνονται ζ΄. θὲς οὖν ζ΄ ἄνωθεν τῶν γ΄. ὀβέλισον δὲ τὰ γ΄ τὰ κάτωθεν τῶν ζ΄, ὀβέλισον καὶ τὸ δεύτερον γράμμα τοῦ πρώτου μεριστοῦ, τὰ ς΄ δηλονότι. τὸ τρίτον δὲ γράμμα τοῦ πρώτου μεριστοῦ ἐστι ε΄. ἄφελε καὶ ταῦτα τὰ ε΄ ἅπαξ, καθὼς ἀφεῖλες ἅπαξ καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον γράμμα, τὰ γ΄ καὶ ς΄ δηλονότι. ἄνωθεν οὖν τῶν ε΄ ἐστὶ ψ΄· οὐκ ἔχεις οὖν ἀφελεῖν τὰ ε΄ ἐκ τὸ ἄνωθεν ψ΄. τὰ ἄνωθεν οὖν τῶν γ΄ κείμενα ζ΄ δηλῶσι ο΄, ἐπεὶ τὸ ε΄ ἐστὶ εἰς τόπον δεύτερον. ἄφελε οὖν ἐκ τῶν ο΄ δέκα καὶ ἀπομένοσι ξ΄. θὲς οὖν ἄνωθεν τῶν ζ΄ ς΄ ἀντὶ τῶν ξ΄. ὀβέλισον δὲ τὰ ζ΄. ἄφελε οὖν ἐκ τῶν δέκα, ὧν ἀφεῖλες ἐκ τῶν ο΄, ἅπαξ τὰ ε΄· περισσεύοσι καὶ ε΄ μέχρι τῶν δέκα. θὲς οὖν ἄνωθεν τοῦ ψ΄ τὰ ε΄, ἅπερ περισσεύοσι ἐκ τῶν δέκα. ὀβέλισον δὲ τὸ ψ΄ καὶ τὰ κάτωθεν αὐτοῦ ε΄, ἅπερ ἐστὶ τρίτον γράμμα τοῦ πρώτου μεριστοῦ. καὶ ἰδοὺ ἐτέλεσας τὸν πρῶτον μεριστήν.

α α ζ τζάκισμα $\frac{\beta\ \vartheta\ \varepsilon}{\gamma\ \varsigma\ \varepsilon}$

πρόβηθι οὖν ἕνα γράμμα καὶ θὲς ἕτερον μεριστήν, τουτέστι τὰς τξε΄ ἡμέρας. τὸ πρῶτον οὖν γράμμα τοῦ δευτέρου μεριστοῦ ἐστι γ΄, ἄνωθεν δὲ τῶν ζ΄ εἰσὶ ς΄, καὶ χωρεῖ τὰ γ΄ δὶς εἰς τὰ ς΄. πλὴν ἐὰν ἀφέλῃς τὰ γ΄ δὶς ἐκ τῶν ς΄, ἀπομένει οὐδὲν καὶ οὐκ ἔχεις ἀφελεῖν τὸ δεύτερον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ ς΄, δὶς ἐκ τῶν ἄνωθεν αὐτοῦ ε΄. ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ, ὅπερ ἐστὶ γ΄, ἅπαξ ἐκ τῶν ἄνωθεν αὐτῶν ς΄· περισσεύοσι καὶ γ΄ μέχρι τῶν ς΄. θὲς οὖν γ΄ ἄνωθεν τῶν ς΄. ὀβέλισον δὲ τὰ ς΄. κάτωθεν δὲ κατ᾽ εὐθεῖαν θὲς α΄ πρὸς δήλωσι(ν), ὅτι ἅπαξ ἀφεῖλες τὰ γ΄ ἐκ τῶν ς΄. ὀβέλισον δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ, τουτέστι τὰ γ΄. τὸ δεύτερον δὲ γράμμα τοῦ δευτέρου μεριστοῦ ἐστι ς΄. οὐκ ἔχεις οὖν ἀφελεῖν ἅπαξ τὰ ς΄ ἐκ τῶν ἄνωθεν τοῦ ψ΄ ὄντων ε΄. ἔστι δὲ ἄνωθεν τῶν ς΄ γ΄, δηλῶσι δὲ λ΄ ἐκ τοῦ δευτέρου γράμματος τοῦ δευτέρου μεριστοῦ. ἄφελε οὖν ἅπαξ ς΄ – πρόσθες καὶ δ΄, γίνονται δέκα. ὀβέλισον δὲ τὰ γ΄, ἅπερ ἐστὶ ἄνωθεν τῶν ς΄, καὶ θὲς ἄνωθεν τῶν γ΄ β΄. ἔχεις δὲ δ΄, ἅπερ ἐπερίσσευσαν ἐκ τῶν δέκα, ἔχεις καὶ ε΄ ἄνωθεν τοῦ ψ΄. ἕνωσον ταῦτα καὶ γίνονται ϑ΄. θὲς οὖν ϑ΄ ἄνωθεν τῶν ε΄ καὶ ὀβέλισον τὰ ε΄. ὀβέλισον δὲ καὶ τὸ δεύτερον γράμμα τοῦ δευτέρου μεριστοῦ, τουτέστι τὰ ς΄. τὸ τρίτον δὲ γράμμα τοῦ δευτέρου μεριστοῦ ἐστι ε΄, καὶ ἄφελε καὶ τοῦτο ἅπαξ. καὶ ἐπεὶ ἄνωθεν τούτου ἐστὶ ψ΄ – ἄνωθεν δὲ τῶν ε΄, ὧν ὀβέλισας, εἰσὶ κείμενα ϑ΄ καὶ δηλῶσι Ϛ΄, ἀφ᾽ οὗ τόπου ἵσταται τὸ τρίτον γράμμα τοῦ δευτέρου μεριστοῦ – οὐκ ἔχεις δὲ ἀφελεῖν ἅπαξ ε΄ ἐκ τοῦ ἄνωθεν ψ΄. ἄφελε ἅπαξ ε΄ – πρόσθες καὶ ε΄ καὶ γίνονται δέκα. ἄφελε οὖν ἐκ τῶν ϑ΄, ὧν δηλῶσι Ϛ΄, δέκα· ἀπομένοσι καὶ η΄. θὲς η΄ ἄνωθεν τῶν ϑ΄. ὀβέλισον δὲ τὰ ϑ΄, ὀβέλισον καὶ τὸ τρίτον γράμμα τοῦ δευτέρου μεριστοῦ, τουτέστι τὰ ε΄. ὀβέλισον δὲ τὸ ψ΄, ὅπερ ἐστὶ ἄνωθεν τῶν ε΄. ἄνωθεν δὲ τοῦ ψ΄ θὲς τὰ ε΄, ἅπερ προσέθηκας καὶ ἐγένοντο δέκα, ἅπερ δέκα ἀφεῖλες ἐκ τῶν ϑ΄

---

14 ἐκ τὸ] **sic C** 25 αὐτοῦ] αὐτὸ **C** 29 οὐκ ἔχεις] οὐ καὶ χὴς **C** 30 ὄντων] ωντα **C** 37 ὀβέλισας] **pro** ὠβέλισας **C**

τῶν δηλώντων ϛ΄. καὶ ἰδοὺ ἐτέλεσας καὶ τὸν δεύτερον μεριστήν.
πρόβηθι οὖν πάλιν ἕνα γράμμα καὶ θὲς ἕτερον μεριστήν, τουτέστι τὰ τξε΄ ἡμέρας. τὸ πρῶτον οὖν γράμμα τοῦ τρίτου μεριστοῦ ἐστι γ΄, ἄνωθεν δὲ τούτων ἐστὶ δύο γράμματα οὕτως κείμενα $^{\beta}_{\eta}$ καὶ δηλῶσι κη΄. ἐὰν οὖν ἀφέλῃς τὰ γ΄, ἅπερ ἐστὶ πρῶτον γράμμα τοῦ τρίτου μεριστοῦ, ὀκτάκις ἐκ τῶν ἄνωθεν κη΄ – η΄κις γ΄ γίνονται κδ΄, περισσεύοσι καὶ δ΄ μέχρι τῶν κη΄. τὰ δ΄ οὖν ταῦτα, ἅπερ περισσεύοσι, μετὰ τῶν ἐφεξῆς ε΄, ὧν ἄνωθέν ἐστι τοῦ δευτέρου ι΄, οὕτως κείμενα $^{\delta}_{\varepsilon}$ δηλῶσι με΄, καὶ ἐκ τῶν με΄ οὐ χωρεῖ ὀκτάκις ἀφαιρεθῆναι τὸ δεύτερον γράμμα τοῦ τρίτου μεριστοῦ, ὅπερ ἐστὶ ϛ΄. ὀκτάκις γὰρ ϛ΄ γίνονται μη΄ καὶ οὐ χωρεῖ ἀφαιρεθῆναι τὰ μη΄ ἐκ τῶν με΄. ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ τρίτου μεριστοῦ, τὰ γ΄ δηλονότι, ζ΄κις ἐκ τῶν ἄνωθεν κη΄. ζ΄κις οὖν γ΄ γίνονται κα΄, περισσεύοσι καὶ ζ΄ μέχρι τῶν κη΄. καὶ ἐπεὶ ζ΄κις ἀφεῖλες τὰ γ΄ ἐκ τῶν ἄνωθεν κη΄, θὲς κάτωθεν κατ᾽ εὐθεῖαν τῶν γ΄, ὅπερ ἐστὶ πρῶτον γράμμα τοῦ τρίτου μεριστοῦ, ζ΄ πρὸς δήλωσι(ν), ὅτι ζ΄κις ‖ ἀφεῖλες τὰ γ΄ ἐκ f. 25^{r}
τῶν ἄνωθεν κη΄. τὰ δὲ ζ΄, ἅπερ περισσεύοσι ἐκ τῶν κη΄ – θὲς ταῦτα ἄνωθεν τῶν η΄. ὀβέλισον δὲ καὶ τὰ β΄, ἅπερ δηλῶσι κ΄, καὶ τὰ η΄, ἅπερ ἐστὶ κάτωθεν τῶν ζ΄. ὀβέλισον δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ τρίτου μεριστοῦ, ὅπερ ἐστὶ γ΄. τὸ δεύτερον δὲ γράμμα τοῦ τρίτου μεριστοῦ ἐστι ϛ΄, ἄνωθεν δὲ τούτων ἔστι δύο γράμματα οὕτως κείμενα $^{\zeta}_{\varepsilon}$ καὶ δηλῶσι οε΄. ἄφελε οὖν τὰ ϛ΄ ζ΄κις, καθὼς οὕτως ἀφεῖλες καὶ τὰ γ΄· ζ΄κις οὖν ϛ΄ γίνονται μβ΄. ἄφελε β΄ ἐκ τῶν ε΄, ὧν ἐστι ἄνωθεν τοῦ ι΄, περισσεύοσι καὶ γ΄. θὲς ἄνωθεν τῶν ε΄ τὰ γ΄, ἅπερ περισσεύοσι, ὀβέλισον δὲ τὰ ε΄. ἄφελε δὲ ἐκ τῶν ζ΄, ὧν δηλῶσι ο΄, τὰ δ΄, ἅπερ δηλῶσι μ΄, περισσεύοσι καὶ γ΄. ὀβέλισον τὰ ζ΄ καὶ θὲς ἄνωθεν τῶν ζ΄ τὰ γ΄, ἅπερ περισσεύοσι. ὀβέλισον δὲ καὶ τὸ δεύτερον γράμμα τοῦ τρίτου μεριστοῦ, ὅπερ ἐστὶ ϛ΄. τὸ δὲ τρίτον γράμμα τοῦ τρίτου μεριστοῦ ἐστι ε΄. ἄφελε καὶ τοῦτο ζ΄κις· ζ΄κις δὲ ε΄ γίνονται λε΄. ἔστι δὲ ἄνωθεν τῶν ζ΄ γ΄, ἔστι δὲ καὶ γ΄ ἄνωθεν τοῦ ι΄ καὶ τῶν ε΄, ἔστι δὲ ἄνωθεν τῶν ε΄, ὅπερ ἐστὶ τρίτον γράμμα τοῦ τρίτου μεριστοῦ, ι΄. τὰ τρία οὖν ταῦτα ἀσημείωτα γράμματα οὕτως κείμενα γ γ ι΄ δηλῶσι τλ΄, τὰ δύο δὲ τελευταῖα οὕτως κείμενα γ ι΄ δηλῶσι λ΄. οὐκ ἔχεις οὖν ἀφελεῖν τὰ λε΄ ἐκ τῶν δύο τελευταίων γραμμάτων τῶν δηλώντων λ΄. τὰ γ΄ οὖν, ἅπερ ἐστὶ ἄνωθεν τῶν ζ΄, δηλῶσι τ΄. ἄφελε οὖν α΄ ἐκ τῶν γ΄ καὶ ἀπομένοσι β΄. ὀβέλισον οὖν τὰ γ΄ καὶ θὲς β΄ ἄνωθεν τῶν γ΄. τὸ δὲ α΄, ὅπερ ἔλαβες, ἔστι ρ΄, ὥσπερ τὰ γ΄ ἔστι τ΄, τὰ δὲ ρ΄ ἐστὶ δεκάδαι ι΄. αἱ ι΄ οὖν δεκάδαι μετὰ τῶν γ΄, ὧν δηλῶσι λ΄, γίνονται δεκάδαι ιγ΄, τουτέστι ρλ΄. εἴπομεν δέ, ὅτι ζ΄κις ε΄ γίνονται λε΄. πρόσθες καὶ ε΄ καὶ γίνονται μ΄. θὲς οὖν τὰ ε΄, ἅπερ προσέθηκας καὶ ἐγένοντο μ΄, ἄνωθεν τοῦ τελευταίου ι΄, ὀβέλισον δὲ τὸ ι΄. ἄφελε δὲ ἀντὶ τῶν μ΄ δεκάδας δ΄ ἐκ τῶν ιγ΄ δεκάδων, ὧν εἴπομεν, ὅτι δηλῶσι ρλ΄, καὶ ἀπομένοσι δεκάδαι θ΄, τουτέστι ϛ΄. θὲς οὖν θ΄ ἄνωθεν τῶν γ΄. ὀβέλισον δὲ τὰ γ΄, ὀβέλισον καὶ τὰ ε΄, ἅπερ ἐστὶ τρίτον γράμμα τοῦ τρίτου μεριστοῦ.
ἀπέμειναν δὲ τὰ τρία ταῦτα γράμματα β θ ε΄ τζάκισμα, ἅπερ δηλῶσι σϛε΄. θὲς οὖν τὸ τζάκισμα τὰ β θ ε΄ ἄνωθεν τῆς κεραίας γραμμῆς, κάτωθεν δὲ ταύτης θὲς τὸν μεριστήν, τὰς τξε΄ ἡμέρας τοῦ ἑνὸς χρόνου. καὶ ἰδοὺ εὗρες, ὅτι αἱ μγ΄ χιλιάδαι ἡμέραι γίνονται χρόνοι ριζ΄, περισσεύοσι καὶ ἡμέραι σϛε΄ τζάκισμα τῶν τξε΄ ἡμερῶν τοῦ ἑνὸς χρόνου.

---

25 ὅπερ ἐστὶ] ὅπερι **C**

λβ Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Τὸ τζάκισμα, ὅπερ ἐστὶ ἄνωθεν τῆς κεραίας γραμμῆς, ἔχει οὕτως· β θ ε΄. τὰ πρῶτα οὖν δύο γράμματα οὕτως κείμενα β θ΄ δηλῶσι κθ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει α΄. τὸ δὲ α΄ μετὰ τοῦ ἐφεξῆς γράμματος οὕτως κείμενα α ε΄ δηλῶσι ιε΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει πάλιν α΄. θὲς α΄ περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς.

ὁ δὲ μεριστὴς ἔχει οὕτως γ ς ε΄. τὰ πρῶτα οὖν δύο γράμματα οὕτως κείμενα γ ς΄ δηλῶσι λς΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει καὶ α΄. τὸ δὲ α΄ μετὰ τοῦ ἐφεξῆς γράμματος οὕτως κείμενα α ε΄ δηλῶσι ιε΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει πάλιν α΄. θὲς α΄ ἄνωθεν τῆς κεραίας γραμμῆς.

ὁ τέλειος δὲ διαμερισμὸς ἔχει οὕτως α α ζ΄. τὰ πρῶτα οὖν δύο γράμματα οὕτως κείμενα α α΄ δηλῶσι ια΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι δ΄. τὰ δὲ δ΄ μετὰ τοῦ ἐφεξῆς γράμματος οὕτως κείμενα δ ζ΄ δηλῶσι μζ΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι καὶ ε΄. θὲς ε΄ κάτωθεν τῆς κεραίας γραμμῆς.

πολλ(α)πλασίασον δὲ τὸ ἄνωθεν α΄ μετὰ τῶν κάτωθεν ε΄· ἅπαξ οὖν ε΄ πάλιν ἐστὶ ε΄. ἕνωσον ταῦτα μετὰ τοῦ α΄, ὅπερ ἐστὶ περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς, καὶ γίνονται ὁμοῦ ς΄. θὲς ς΄ ἐντὸς κύκλου τινός· (ς).

αἱ δὲ μγ΄ χιλιάδαι ἔχουσι οὕτως δ γ ϛ ϛ ϛ΄. τὰ πρῶτα οὖν δύο γράμματα οὕτως κείμενα δ γ΄ δηλῶσι μγ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄, περισσεύει καὶ α΄. τὸ δὲ α΄ μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος κείμενα οὕτως α ϛ΄ δηλῶσι ι΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι γ΄. τὰ δὲ γ΄ μετὰ τοῦ ἐφεξῆς τετάρτου γράμματος κείμενα οὕτως γ ϛ΄ δηλῶσι λ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι β΄. τὰ δὲ β΄ μετὰ τοῦ ἐφεξῆς πέμπτου γράμματος κείμενα οὕτως β ϛ΄ δηλῶσι κ΄. ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι ς΄. θὲς καὶ ταῦτα ἐντὸς κύκλου τινός· (ς). καὶ ἰδοὺ ἐγένοντο αἱ δύο μαρτυρίαι αὐτῶν ὅμοιαι ἔχουσα ἑκάστη ἐντὸς κύκλου ς΄. καὶ ἔστι ἀληθὴς ὁ ἐξελθὼν τέλειος διαμερισμός, τουτέστι τὰ ριζ΄.

λγ Περὶ τοῦ πῶς δεῖ ποιεῖν τὰς ἐκθέσεις τούτων ἰδίως. καὶ ὡς ἡ τέχνη διδάσκει ποιεῖν, οὕτως γὰρ ποιῶν κατανοήσεις καλῶς τὸ λεγόμενον

Τοῦτο ὡς ἐτέθη νῦν διὰ τῶν διαφόρων τούτων καὶ ποικίλων γραμμάτων, δυσχερὴς πάνυ ἐστὶ ἡ κατάληψις τούτου, καὶ οὐκ ἂν ἔχῃς καλῶς καθορᾶν τὰς ψήφους, ἃς καταμέρος λέγομεν, ὅτι ἄφελε τόδε καὶ τόδε πάλιν ὀβέλισον. νῦν γὰρ τὸ ὑπόδειγμαν τοῦτο, ὃ γράψαντες συντεθήκαμεν, ἐστὶ τετελεσμένον. ἀρξάμενος δὲ λέγειν, ὅτι πρόσθες τόδε καὶ ἄφελε τόδε, οὔπω τὸ πρῶτον γράμμα ζητῆσαι εἰδεῖν, ὡς ἡ τέχνη διδάσκει ὑμῖν, οἶδας τὸ πᾶν τελειούμενον, καὶ τὴν ἀρχὴν τούτου ἐπιζητῶν ὑπερέβης τὸ μέσον καὶ πρὸς τὸ τέλος ἤδη ἔφθασας τοῦ ζητήματος. καὶ τοῦτο οὐ μικρὰν ὑμῖν ποιεῖται ἀσάφειαν, μᾶλλον δὲ καὶ δυσχερεστάτην ἐργάζεται τὴν κατάληψιν. εἰ δὲ καλῶς εἰδέναι θέλεις καὶ ἐγροικῆσαι βούλ(ει) σαφέστερον, ὅσον σοι λέγει ἡ μέθοδος, θὲς ἰδίως εἰς χάρτη<ν> τινὰ τὰς μγ΄ χιλιάδας ἡμέρας, καθὼς κἀκεῖσε οὕτως εἰσὶ κείμεναι δ γ ϛ ϛ ϛ΄, κάτωθεν δὲ τούτων θὲς ἑνὸς χρόνου ἡμέρας, τουτέστι τξε΄, ἅπερ ἐστὶ μεριστής. ἄρξου δὲ ἀναγινώσκειν τὴν μεταχείρισιν καὶ τοὺς διαμερισμοὺς αὐτῶν. καὶ ὡς ἡ μέθοδος διδάσκει ὑμῖν, οὕτως καὶ σὺ ἀρξάμενος ποιεῖς. καὶ ὀβέλιζε, ὅσα σοι ‖ ἡ μέθοδος διδάσκει ἀκολούθως, ἄφελε δὲ πάλιν, ὡς ἡ μέθοδός σοι διασημαίνε- f. 25^{v}


---

29 δυσχερὴς] δὴσχερνὴς **C** 34 οἶδας] εἰδὰς **C** 37 ἐγροικῆσαι] ἐγρικήσαι **C pro** ἀγροικῆσαι

ται, καὶ πρόσθετε πάλιν, ὅσα προσθεῖναι δεῖ, καθὼς καὶ τοῦτο δῆλον ὑμῖν γίνεται διὰ τῆς μεθόδου δηλούμενον. τοῦτο δὲ οὕτως ποιῶν ἀπαρχῆς ἄχρι τέλους εὑρήσεις καλῶς, ὅπερ εἰδέναι ζητεῖς, καὶ κατανοῆσαι ἔχεις σαφέστερον τοῦτο, ὅταν σὺ ἐξαρχῆς γράφων τοῦτο ποιῇς, ὡς ἡ μέθοδος καταμέρος διασημαίνεται, ἢ ἀπὸ μόνης θεωρίας τῶν διαφόρων καὶ ποικίλων γραμμάτων, ὧν ἐκτιθέμεθα. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων, ὧν προείπομεν ποιῆσαι καλόν, οὐ μόνον δέ, ἀλλὰ καὶ ὧν ἔτι ἐροῦμεν εἰς τὸ ἑξῆς, κἂν τούτοις οὕτως ποιῶν, εὑρήσεις διὰ τῆς μεταχειρίσεως τῶν σῶν ἐκθέσεων καλῶς τοὺς διαμερισμούς, οὓς ἐν ὑποδείγμασι διαφόροις ὑποτιθέμεθά τε καὶ ἔτι ὑποτεθήσομεν ἐφεξῆς.

λδ Περὶ τοῦ πῶς ἔστι διαμερίσαι ὑπέρπυρα ροε΄ χιλιάδας καὶ υκς΄ εἰς συντρόφους ,β΄

Ἔστω ὅτι στρατιῶται ,β΄ ἐκέρδεσαν ὑπέρπυρα ροε΄ χιλιάδας καὶ υκς΄ ὑπέρπυρα. ζητεῖς δὲ εἰδέναι, πόσα ὑπέρπυρα περιέρχεται ἕκαστον τῶν ,β΄ στρατιωτῶν ἐκ τῶν δηλωθέντων ὑπερπύρων. θὲς οὖν τὰ ροε΄ χιλιάδας καὶ υκς΄ ἄνωθεν. ἐπεὶ δέ ἐστι τὸ πρῶτον γράμμα τῶν ,β΄ στρατιωτῶν β΄, τὸ δὲ πρῶτον γράμμα τῶν ὑπερπύρων ἐστὶ α΄ καὶ οὐ χωρῶσι ἀφαιρεθῆναι τὰ β΄ ἐκ τοῦ α΄, πρόβηθι ἕνα γράμμα καὶ θὲς τὸν μεριστήν, τοὺς ,β΄ δηλονότι στρατιώτας, κάτωθεν ὡς ὁρᾷς. τὸ πρῶτον οὖν γράμμα τοῦ μεριστοῦ ἐστι β΄, ἔστι δὲ ἄνωθεν αὐτοῦ δύο γράμματα οὕτως κείμενα α ζ΄, ἅπερ δηλῶσι ιζ΄.



η ζ τζάκισμα $\frac{\alpha\ \delta\ \beta\ \varsigma}{\beta\ \upsilon\ \upsilon\ \upsilon}$

ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ β΄, ὁσάκις ἂν χωρῇ, ἐκ τῶν ιζ΄· η΄κις οὖν β΄ γίνονται ις΄, περισσεύει α΄ μέχρι τῶν ιζ΄. θὲς οὖν κάτωθεν κατ᾽ εὐθεῖαν η΄ πρὸς δήλωσι(ν), ὅτι η΄κις ἀφεῖλες τὰ β΄ ἐκ τῶν ἄνωθεν ιζ΄, ἄνωθεν δὲ τῶν ζ΄ θὲς τὸ α΄, ὅπερ περισσεύει ἐκ τῶν ιζ΄. ὀβέλισον δὲ τὸ πρῶτον γράμμα, ὅπερ ἐστὶ α΄, καὶ τὸ δεύτερον, ὅπερ ἐστὶ ζ΄, ὡς ἀργὰ ὄντα. ὁ δὲ μεριστής – τὸ μὲν πρῶτον αὐτοῦ γράμμα ἐστὶ β΄, τὰ δὲ λοιπὰ πάντα εἰσὶ υ΄. τὸ δὲ υ΄ μετὰ τῶν η΄, ὧν ἔθηκας κάτωθεν, – μὴ μόνον ἐὰν ἀφέλῃς η΄κις υ΄ πάλιν υ΄ γίνεται, ἀλλὰ καὶ μυριάκις υ΄ ἀφελόμενος οὐδὲν πλέον προσέφερες ἢ πάλιν υ΄· τὸ γὰρ υ΄ οὐδενός ἐστι αἴτιον, διὸ καὶ υ΄ γράφεται. τὸ δ᾽ αὐτὸ ἤττηαν καὶ ἐπὶ τῶν ἄλλων πάντων υ΄, ὧν ἐφεξῆς ἐπὶ τῶν ,β΄ στρατιωτῶν εἰσι κείμενα. μὴ δυνάμενος οὖν ἀφελεῖν τι ἐκ τῶν τοσούτων υ΄, δι᾽ ἧς εἴπομεν αἰτίας, ὀβέλισον τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ β΄, ὡσαύτως καὶ πάντα τὰ μετ᾽ ἐκεῖνο τρία υ΄υ΄υ΄ – ὀβέλισον καὶ αὐτά. καὶ ἰδοὺ ἐτέλεσας τὸν πρῶτον μεριστήν.

πρόβηθι οὖν πάλιν ἕνα γράμμα καὶ θὲς ἕτερον μεριστήν. τὸ πρῶτον δὲ γράμμα τοῦ δευτέρου μεριστοῦ ἐστι β΄, ἔστι δὲ ἄνωθεν αὐτοῦ δύο γράμματα οὕτως κείμενα $^{\alpha}\ \varepsilon$, ἅπερ δηλῶσι ιε΄. ἄφελε οὖν τὰ β΄, ὁσάκις ἂν χωρῶσι, ἐπὶ τῶν ιε΄· ζ΄κις οὖν β΄ γίνονται ιδ΄, περισσεύει καὶ α΄ μέχρι τῶν ιε΄. θὲς κάτωθεν κατ᾽ εὐθεῖαν ζ΄ πρὸς δήλωσι(ν), ὅτι ζ΄κις ἀφεῖλες τὰ β΄ ἐκ τῶν ἄνωθεν ιε΄. ὀβέλισον δὲ τὸ α΄, ὅπερ ἐστὶ ἄνωθεν τῶν ζ΄, ὀβέλισον δὲ καὶ τὰ ε΄. θὲς οὖν ἄνωθεν τῶν ε΄ τὸ α΄, ὅπερ ἐκ τῶν ιε΄ ἐπερίσσευσε. ὀβέλισον δὲ καὶ τὰ τέσσερα γράμματα τοῦ μεριστοῦ, τὰ β΄ δηλονότι καὶ τὰ τρία υ΄υ΄υ΄, δι᾽ ἣν αἰτίαν προείπομεν· οὐδὲν γὰρ ὄντα οὐδὲν δύνασαι ἐξ αὐτῶν λαβεῖν. καὶ ἰδοὺ ἐτέλεσας καὶ τὸν δεύτερον μεριστήν.

---

9 ὑποτεθήσομεν] **sic pro** ὑποθήσομεν **C** 11 ἐκέρδεσαν] **sic pro** ἐκέρδησαν **C** 29 ἤττημαν] **lectio dubia**

περιέρχεται δέ, ὡς ὁρᾷς, διὰ τοῦ τελείου διαμερισμοῦ ἕκαστον τῶν ,β΄ στρατιωτῶν ὑπέρπυρα πζ΄, ἀπομένει καὶ τζάκισμα, ὅπερ καὶ ἄνωθεν τῆς κεραίας γραμμῆς ἐστι κείμενον. δηλοῖ δὲ τὸ τζάκισμα ,αυκς΄, ἔστι δὲ ὑπέρπυρα, ἅπερ ἀπέμειναν ἐκ τῶν ροε΄ χιλ(ι)άδων ὑπερπύρων καὶ υκς΄. οἱ γὰρ στρατιῶται ,β΄ ὄντες οὐκ ἐδύναντο διαμερίσασθαι ὑπέρπυρα ,αυκς΄ ἐλάττω ὄντα τῶν ,β΄, διὸ καὶ ἐναπελείφθησαν τζάκισμα τῶν ,β΄ στρατιωτῶν, ὧν ἐστι μεριστὴς τῶν δηλωθέντων ὑπερπύρων.

μετὰ δὲ τὸ γενέσθαι τὴν μαρτυρίαν τε καὶ ἀπόδειξιν τούτων ἐροῦμεν καὶ περὶ τοῦ τζακίσματος τούτου, τίνα λόγον ἔχει καὶ πόσον ἕκαστος τῶν ,β΄ στρατιωτῶν οἰκειοῦται ἐκ τῶν ,αυκς΄ ὑπερπύρων, ὧν νῦν ἔχοσι οἱ τοιοῦτοι ,β΄ στρατιῶται τζάκισμα.

λε Περὶ τῆς τούτων μαρτυρίας καὶ ἀποδείξεως

Τὸ τζάκισμα, ὅπερ ἐστὶ ἄνωθεν τῆς κεραίας γραμμῆς, ἔχει οὕτως α δ β ς΄. τὰ πρῶτα οὖν δύο γράμματα οὕτως κείμενα α δ΄ δηλῶσι ιδ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει ι΄. τὰ δύο δὲ ἐφεξῆς δεύτερα γράμματα οὕτως κείμενα β ς΄ δηλῶσι κς΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ ε΄. θὲς ε΄ περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς.

ὁ δὲ μεριστὴς ἔχει οὕτως β ι ι ι΄. τὰ πρῶτα οὖν δύο γράμματα οὕτως κείμενα β ι΄ δηλῶσι κ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ ς΄. τὰ δὲ ς΄ μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα ς ι΄ δηλῶσι ξ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσ(ι) καὶ δ΄. τὰ δὲ δ΄ μετὰ τοῦ ἐφεξῆς τετάρτου γράμματος οὕτως κείμενα δ ι΄ δηλῶσι μ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ ε΄. θὲς ε΄ ἄνωθεν τῆς κεραίας γραμμῆς.

ὁ δὲ τέλειος διαμερισμὸς ἔχει οὕτως η ζ΄· ἄφελε οὖν ἅπαξ ζ΄ ἐκ τοῦ πρώτου γράμματος, ὅπερ ἐστὶ η΄, καὶ περισσεύει α΄. τὸ δὲ α΄ μετὰ τοῦ ἐφεξῆς δευτέρου γράμματος οὕτως κείμενα α ζ΄ δηλῶσι ιζ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι γ΄. θὲς γ΄ κάτωθεν τῆς κεραίας γραμμῆς.

πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν ε΄ καὶ κάτωθεν γ΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. ἕνωσον ταῦτα μετὰ τῶν ε΄, ὧν ἐστι περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς, καὶ γίνονται ὁμοῦ κ΄· μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ || καὶ περισσεύοσι ς΄. θὲς οὖν ς΄ ἐντὸς κύκλου· ⓢ. f. 26^{r}

τὰ ἄνωθεν δὲ γράμματα τῶν ὑπερπύρων ἔχοσι οὕτως α ζ ε δ β ς΄. τὰ πρῶτα οὖν δύο γράμματα οὕτως κείμενα α ζ΄ δηλῶσι ιζ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύοσι καὶ γ΄. τὰ δὲ γ΄ μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος κείμενα οὕτως γ ε΄ δηλῶσι λε΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ ἀπομένει ι΄. τὰ δὲ ἐφεξῆς δύο γράμματα οὕτως κείμενα δ β΄ δηλῶσι μβ΄· ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει πάλιν ι΄. τὸ δὲ τελευταῖον γράμμα, ὅπερ ἀπομένει, ἐστὶ ς΄. θὲς καὶ τοῦτο ἐντὸς κύκλου· ⓢ. καὶ ἰδοὺ ἐγένοντο αἱ δύο μαρτυρίαι αὐτῶν ὅμοιαι ἔχουσα ἑκάστη ἐντὸς κύκλου ς΄, καὶ ἔστι ἀληθὴς ὁ ἐξελθὼν τέλειος διαμερισμός, τουτέστι τὰ πζ΄.


λς Περὶ τοῦ πῶς ἔστι εἰδέναι, τί περιέρχεται ἕκαστον τῶν ,β΄ στρατιωτῶν ἐκ τῶν ,αυκς΄ ὑπερπύρων – τὸ τζάκισμα, ὅπερ ἀπέμεινε ἐκ τῶν ροε΄ χιλ(ι)άδων καὶ υκς΄ ὑπερπύρων

Οἱ ,β΄ στρατιῶται – ἕκαστος αὐτῶν οἰκειώσατο ἐκ τῶν ροε΄ χιλ(ι)άδων καὶ υκς΄ ὑπερπύρων ὑπέρπυρα πζ΄, ἀπέμεινε δὲ καὶ τζάκισμα ,αυκς΄ ὑπέρπυρα. ἐπεὶ δὲ ἕκαστον ὑπέρπυρόν ἐστι κουκκιὰ κ΄, πολλ(α)πλασίασον τὰ ,αυκς΄ ὑπέρπυρα τοῦ τζακίσ-


---

4 οὐκ ἐδύναντο] οὐ καὶ δινωντὰν **C** 42 κουκκιὰ] **hic et passim** ⁘ **C**

ματος μετὰ τῶν κ΄ κουκκιῶν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα β ἡ ε β υ΄, ἅπερ δηλῶσι ,κ,η΄ καὶ φκ΄. καὶ ἰδοὺ τὰ ,αυκς΄ ὑπέρπυρα γίνονται κουκκιὰ ,κ,η΄ καὶ φκ΄ κουκκιά. θὲς τὰς ,κ,η΄ καὶ φκ΄ κουκκιὰ ἄνωθεν, κάτωθεν δὲ κατ᾽ εὐθεῖαν θὲς μεριστήν, τοὺς ,β΄ στρατιώτας, οὓς καὶ ἐξαρχῆς ἐπὶ τῶν ὑπερπύρων εἶχες μεριστήν. ἄφελε δὲ τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ β΄, ἅπαξ ἐκ τῶν ἄνωθεν β΄· οὐδὲ γὰρ ἐπὶ πλέον ἔχεις ἀφελεῖν τοῦτο. θὲς οὖν κάτωθεν κατ᾽ εὐθεῖαν α΄, καθότι ἅπαξ ἀφεῖλες τὰ β΄ ἐκ τῶν ἄνωθεν β΄. ὀβέλισον δὲ τὰ ἄνωθεν β΄, ὀβέλισον δὲ καὶ τὰ τέσσερα γράμματα τοῦ μεριστοῦ ὡς οὐδὲν ὄντα, καθὼς καὶ πρότερον εἴπομεν.




πρόβηθι οὖν ἕνα γράμμα καὶ θὲς ἕτερον μεριστήν, τουτέστι ,β΄. τὸ πρῶτον οὖν γράμμα τοῦ δευτέρου μεριστοῦ ἐστι β΄. ἄφελε ταῦτα, ὁσάκις ἂν χωρῶσι εἰς τὰ ἄνωθεν αὐτῶν κείμενα η΄· δ΄κις οὖν β΄ γίνονται η΄. θὲς οὖν κάτωθεν κατ᾽ εὐθεῖαν δ΄, καθότι δ΄κις ἐχώρεσαν τὰ β΄ ἐπὶ τῶν ἄνωθεν η΄. ὀβέλισον δὲ τὰ η΄ καὶ τὰ τέσσερα γράμματα τοῦ μεριστοῦ. καὶ ἰδοὺ ἐγένετο ὁ τέλειος τούτων διαμερισμὸς τὰ παρόντα δύο γράμματα α δ΄, ἅπερ δηλῶσι κουκκιὰ ιδ΄, ἀπομένει καὶ τζάκισμα κουκκιὰ φκ΄. ἕκαστος οὖν τῶν ,β΄ στρατιωτῶν οἰκειοῦται ἐκ τῶν ,αυκς΄ ὑπερπύρων, ὧν ἐποίησαν κουκκιὰ ,κ,η΄ καὶ φκ΄ κουκκιὰ, κουκκιὰ ιδ΄, περισσεύοσι ἔτι καὶ κουκκιὰ φκ΄.



ἐπεὶ δὲ ἕκαστον κουκκί ἐστι τουρνέσια δ΄, πολλ(α)πλασίασον τὰ φκ΄ κουκκιά, τὸ τζάκισμα, μετὰ τῶν δ΄ τουρνεσίων· δ΄κις οὖν φκ΄ γίνονται ,βπ΄. καὶ ἰδοὺ τὰ φκ΄ κουκκιὰ γίνονται τουρν(έ)σι(α) ,βπ΄.

θὲς ἄνωθεν τὰ ,βπ΄ τουρν(έ)σι(α), κάτωθεν δὲ τοὺς ,β΄ συντρόφους, οὓς ἔχεις ἐξαρχῆς μεριστήν. ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ β΄, ἅπαξ ἐκ τῶν ἄνωθεν β΄, ἐπεὶ πλέον οὐ χωρεῖ ἀφαιρεθῆναι. θὲς οὖν κάτωθεν κατ᾽ εὐθεῖαν α΄, καθότι ἅπαξ ἀφεῖλες τὰ β΄ ἐκ τῶν ἄνωθεν β΄. ὀβέλισον δὲ τὰ ἄνωθεν β΄ καὶ τὰ τέσσερα γράμματα τοῦ μεριστοῦ. καὶ ἰδοὺ ἐγένετο ὁ τέλειος τούτων διαμερισμὸς τουρν(έ)σ(ι) α΄, ἀπομένει ἔτι καὶ τζάκισμα ἐλάχιστον τουρν(έ)σ(ια) π΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄. καὶ ἰδοὺ εὗρες, ὅτι ἐκ τῶν ροε΄ χιλιάδων καὶ υκς΄ ὑπερπύρων οἰκειοῦται ἕκαστος τῶν ,β΄ στρατιωτῶν ὑπέρπυρα πζ΄ κουκκιὰ ιδ΄ τουρν(έ)σι α΄, περισσεύει ἔτι ἐλάχιστον τζάκισμα τουρν(έ)σ(ια) π΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄.

Ἐὰν δὲ καὶ ἀπὸ τῶν π΄ τουρν(ε)σίων τὸ τζάκισμα ζητῇς εἰδέναι, τί περιέρχεται τοῖς ,β΄ στρατιώταις ἀκεραίων ὄντων τῶν π΄ τουρνεσίων, οὐκ ἔχεις ἀποδοῦναι τὰ π΄ πρὸς τὰ ,β΄ κατὰ πολὺ ἐλάττω ὄντα. μεριζόμενα δὲ τὰ π΄ ἐπὶ τοσούτων, ὥστε γενέσθαι ,β΄ πρὸς τὸ λαβεῖν ἕκαστος τῶν ,β΄ πολ<λ>οστὸν μέρος ἑνὸς τουρν(ε)σ(ίου), ζητεῖς εἰδέναι, ποσάκις ἔστι διαμερίσαι ἕκαστον τῶν π΄ τουρν(ε)σίων πρὸς τὸ γενέσθαι τζακίσματα ,β΄. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως· θὲς ἄνωθεν μὲν τοὺς ,β΄ στρατιώτας, κάτωθεν δὲ εἰς τόπον δεύτερον θὲς τὰ η υ΄ τουρν(έσια) μεριστήν. ἄφελε οὖν τὸ πρῶτον γράμμα τῶν π΄, ὅπερ ἐστὶ η΄, ὁσάκις ἂν χωρῇ, ἐπὶ τῶν ἄνωθεν κ΄· δὶς οὖν η΄ γίνονται ις΄,



---

5 τὰς ,κ,η΄] sc. χιλιάδας

περισσεύοσ(ι) καὶ δ΄ μέχρι τῶν κ΄. θὲς οὖν τὰ δ΄, ἅπερ περισσεύοσ(ι) ἐκ τῶν κ΄, ἄνωθεν τοῦ ψ΄. ὀβέλισον δὲ τὰ β΄, ἅπερ δηλῶσι κ΄, καὶ τὸ ψ΄, ὅπερ ἐστὶ κάτωθεν τῶν δ΄. ὀβέλισον δὲ καὶ τὰ η΄ καὶ τὸ ψ΄, τὰ δύο δηλονότι γράμματα τοῦ μεριστοῦ τῶν π΄. θὲς δὲ κάτωθεν κατ᾽ εὐθεῖαν τῶν η΄ β΄, καθότι δὶς ἀφεῖλες τὰ η΄ ἐκ τῶν ἄνωθεν κ΄. πρόβηθι οὖν καὶ θὲς ἕτερον μεριστήν, τουτέστι πάλιν τὰ π΄ τουρν(έ)σ(ι)α. ἄφελε οὖν τὰ η΄, ἅπερ ἐστὶ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ, ἐκ τῶν ἄνωθεν δ΄, ὧν δηλῶσι μ΄, ὁσάκις ἂν χωρῇ· ε΄κις οὖν η΄ γίνονται μ΄. θὲς οὖν κάτωθεν κατ᾽ εὐθεῖαν ε΄, καθότι ε΄κις ἐχώρεσαν τὰ η΄ ἐπὶ τῶν ἄνωθεν δ΄ τῶν δηλώντων μ΄. ὀβέλισον δὲ τὰ δ΄ τὰ δηλῶντα μ΄, ὡσαύτως ὀβέλισον καὶ τὰ δύο γράμματα τοῦ μεριστοῦ, τὰ η΄ δηλονότι καὶ ψ΄. καὶ ἰδοὺ ἐγένετο ὁ τέλειος τούτων διαμερισμὸς κε΄ καὶ οὐκ ἀπέμεινέ τι τζάκισμα. ἕκαστος οὖν τῶν ,β΄ στρατιωτῶν οἰκειοῦται καὶ ἑνὸς ἀκεραίου τουρνεσίου εἰκοστὸν πέμπτον μέρος, καθὼς καὶ ὁ διαμερισμὸς τῶν ,β΄ μετὰ τῶν π΄ τουρν(ε)σίων ἐγένετο κε΄.

ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, μέρισον ἕκαστον τῶν π΄ τουρν(ε)σίων εἰς μέρη κε΄, ταὐτὸν γάρ ἐστι πολλ(α)πλασίασον τὰ π΄ τουρν(έ)σ(ι)α μετὰ τῶν κε΄· κε΄κις οὖν π΄ γίνονται ,β΄. καὶ ἰδοὺ διατεμνόμενα τὰ π΄ εἰς μέρη κε΄ γίνονται ,β΄, καθώς ἐστι καὶ || οἱ στρατιῶται ,β΄. εὗρες οὖν προχείρως διὰ τῆς τέχνης μερίσας τοὺς ,β΄ στρατιώτας μετὰ τῶν π΄ τουρν(ε)σίων, ὅτι οἰκειοῦται ἕκαστος αὐτῶν εἰκοστὸν πέμπτον μέρος ἑνὸς τουρνεσίου καὶ ὅτι μεριζόμενα τὰ π΄ τουρν(έ)σια εἰς μέρη κε΄ γίνονται ,β΄, καθὼς καὶ οἱ στρατιῶταί εἰσι ,β΄.

		η	ψ	
	δ	ψ	ψ	ε
α	ϛ	ψ		β
β	ψ	ψ	ψ	

f. 26^{v}

λζ Περιεκτικῶς περὶ πάντων τῶν διαμεριζομένων μερῶν

Τοὺς ἐπιμερισμοὺς τῶν διαφόρων ζητημάτων ὑποτιθέμενοι καὶ ὡς ἐφικτὸν διὰ ποικίλων παραδειγμάτων δηλώσαντες, πῶς ἄρα ἔχεις διαμερίζειν τὰ μείζονα μέρη καὶ ἐλάττονα ποιεῖν, δέον ἡμῖν ἔδοξε εἶναι καὶ περιεκτικῶς ὑμῖν ἐκτιθέναι καὶ διαγράψασθαι, πῶς ἄρα ἔχεις διαμερίζειν πάντα ἐπιμερισμόν, εἰς ὅσα ἂν μέρη βούλῃ τοῦτον διαμερίσαι.

καὶ πρῶτον μὲν – ὡς οἶδας καὶ ἱκανῶς διὰ τῶν ὑποδειγμάτων μεμάθηκας – θέτε ἄνωθεν τὸ καθόλου σῶμα τῆς ζητουμένης ποσότητος, ἧς βούλει διαμερίσαι, εἰς ὅσα ἂν μέρη βούλεσαι. κάτωθεν δὲ τῆς καθόλου ταύτης ποσότητος θέτε τὸν μεριστήν, τουτέστι τὸ μέρος ἐκεῖνο, ᾧ βούλει διαμερίσαι ἐν αὐτῷ τὰ μείζονα πρὸς τὸ γενέσθαι ἐλάττονα. καὶ εἰ μὲν ἔχεις ἀφελεῖν τὸν μεριστὴν ἐκ τῶν ἄνωθεν πρώτων γραμμάτων, θὲς τοῦτον κάτωθεν κατ᾽ εὐθεῖαν τοῦ ἄνωθεν πρώτου γράμματος. εἰ δ᾽ οὐ δύνασαι ἀφελεῖν τὸν μεριστὴν ἐκ τοῦ ἄνωθεν πρώτου γράμματος, πρόβηθι τὸ ἄνωθεν πρῶτον γράμμα καὶ θὲς τοῦτον κάτωθεν κατ᾽ εὐθεῖαν τοῦ δευτέρου ἄνωθεν γράμματος.

σκόπει δὲ καλῶς, ποσάκις χωρεῖ ἀφαιρεθῆναι τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ ἐκ τοῦ ἄνωθεν αὐτοῦ γράμματος. καὶ εἰ μέν ἐστι ὁ μεριστὴς κάτωθεν κατ᾽ εὐθεῖαν τοῦ ἄνωθεν πρώτου γράμματος, τὰ ἄνωθεν ὄντα τοῦ μεριστοῦ ἐστι ὅμοιά τε καὶ σύμφωνα, μονάδα μετὰ μονάδος καὶ δεκάδα μετὰ δεκάδος καὶ ἑξῆς ὁμοίως. εἰ δὲ ὁ μεριστής ἐστι κατ᾽ εὐθεῖαν κάτωθεν τοῦ δευτέρου ἄνωθεν γράμματος, τὸ ἄνωθεν πρῶτον γράμμα, ἐπεὶ ὁ μεριστής ἐστι εἰς τόπον δεύτερον, δηλοῖ δεκάδας καὶ οὐ μονάδας. ὁσάκις οὖν χωρεῖ ἀφαιρεθῆναι τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, κἂντε εἰς τόπον μονάδος κἂντε

---

17 ἐστι] ἔστι **C** 19 εἰκοστὸν πέμπτον] $\overset{ον}{κε}$ **C** 23 ἐφικτὸν] ευηκτὸν **C** 23/24 ποικίλων] πικύκλων **sic C** 28 οἶδας] εἰδᾶς **C**

εἰς δεκάδος ἐστί, ἐκ τῶν ἄνωθεν γραμμάτων ἢ γράμματος, ἅπαξ δηλονότι ἢ δὶς ἢ καὶ πολλάκις, καὶ τὰ λοιπὰ γράμματα τοῦ συμβεβηκότος μεριστοῦ, ὅσα καὶ ᾖ, τοσαυτάκις ἄφελε καὶ ταῦτα πάντα, ὁσάκις ἐχώρεσεν ἀφαιρεθῆναι τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ ἐκ τῶν ἄνωθεν γραμμάτων ἢ γράμματος, ἃ καὶ ἔθηκας κάτωθεν πρὸς δήλ(ω)σιν, ὅτι τοσαυτάκις ἀφεῖλες αὐτὸ ἐκ τῶν ἄνωθεν.

χρὴ δὲ καλῶς σκοπεῖν καὶ περιεργάζεσθαι οὕτως ἀφελεῖν τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὥστε μὴ συμπαραλαμβάνειν τὰς καθόλου ἄνωθεν ψήφους καὶ μὴ ἔχειν ἀφελεῖν τὰ λοιπὰ πάντα τοῦ μεριστοῦ γράμματα, ἀλλ᾽ οὕτως ἄφελε τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὥστε περιττεύειν σε ψήφους τινὰς πρὸς τὸ ἀποδῶσαι καὶ τὰ λοιπὰ πάντα τοῦ μεριστοῦ γράμματα, ὅσα καὶ ᾖ, ἱκανὰς ψήφους πρὸς τὸ ἀφελεῖν καὶ ταῦτα, ὡς καὶ τὸ πρῶτον γράμμα ἀφεῖλες τοῦ μεριστοῦ, ὃ καὶ κάτωθεν ἔθηκας εἰς δήλωσι(ν), ὅτι τοσαυτάκις ἀφεῖλες αὐτὸ ἐκ τῶν ἄνωθεν.

εἰ οὖν ὁ μεριστής ἐστι τρία γράμματα οὕτως κείμενα α ι ι΄ ἢ τέσσερα οὕτως κείμενα α ι ι ι΄, τὸ μὲν πρῶτον γράμμα ἔχει ψῆφόν τινα, τὰ δ᾽ ἐφεξῆς ἐστι οὐδέν, ἄφελε οὖν τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ ἐκ τῶν ἄνωθεν, ὁσάκις ἂν χωρῇ. τὰ δὲ λοιπά – ἐπεὶ οὐδέν ἐστι, οὐ δύνασαί τι ἀφελεῖν ἐκ τούτων. ὀβέλισον δὲ καὶ τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ καὶ τὰ λοιπὰ πάντα οὐδὲν ὡς ἀργὰ ὄντα καὶ ἀνενέργητα. πρόβηθι οὖν ἕνα γράμμα ἀκολούθως καὶ γράψον ἕτερον μεριστήν, ὃν καὶ πρότερον ἔγραψας. καὶ πάλιν ἄφελε, ὁσάκις ἂν χωρῇ, τὸ πρῶτον γράμμα τοῦ δευτέρου μεριστοῦ ἐκ τῶν ἄνωθεν. καὶ θέτε ταῦτα κάτωθεν κατ᾽ εὐθεῖαν πρὸς δήλωσιν, ὅτι τοσαυτάκις ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ μερισ<τοῦ> ἐκ τῶν ἄνωθεν αὐτοῦ. τὰ δὲ λοιπὰ οὐδὲν σὺν τῷ πρώτῳ γράμματι – ὀβέλιζε ταῦτα. πρόβηθι οὖν πάλιν ἕνα γράμμα ἀκολούθως καὶ γράψον ἕτερον μεριστήν, μέχρις ἂν οὕτως ποιῶν τελέσῃς πάντα τὰ ἄνωθεν γράμματα μετὰ τοῦ συμβεβηκότος μεριστοῦ. τοῦτο δὲ οὕτως γίνεται, ὅταν τὸ μὲν πρῶτον γράμμα τοῦ μεριστοῦ ἐστι δηλωτικόν τινος ἀριθμοῦ, τὰ δὲ λοιπὰ πάντα εἰσὶ οὐδέν.

εἰ δὲ ὁ μεριστής – τὸ πρῶτον καὶ τὸ δεύτερον αὐτοῦ γράμμα, ἔστι δ᾽ ὁτὲ καὶ τὸ τρίτον καὶ τέταρτον καὶ πέμπτον, ἔχοσί τινας ψήφους δηλωτικάς, χρὴ – ὡς εἴπομεν ἄνωθεν –, ὁσάκις ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ἃ καὶ [κα]κάτωθεν ἔγραψας, τοσαυτάκις καὶ τὰ λοιπὰ πάντα αὐτοῦ γράμματα ἀφελεῖν, ὡς καὶ τὸ πρῶτον ἀφεῖλες. ὅταν οὖν ἔστι ἄνωθεν δύο τινὰ γράμματα δεκάδος τε καὶ μονάδος καὶ δηλῶσι – ὡς ἂν εἴπῃ τις – μγ΄ ἢ καὶ ὡς ἄλλως ἔχοσι δηλῶσαι δεκάδα τε καὶ μονάδα, ζητεῖς δὲ ἀφελεῖν ἐκ τῶν ἄνωθεν δύο γραμμάτων τὸ πρῶτον γράμμα ἢ τὸ δεύτερον ἢ τὸ τρίτον τοῦ μεριστοῦ, πολλ(α)πλασίαζε τὸ γράμμα τοῦ μεριστοῦ, ὅπερ ἂν ζητῇς ἀφελεῖν ἐκ τῶν ἄνωθεν, ὁσάκις ἀφεῖλες καὶ τὸ πρῶτον, ἃ καὶ κάτωθεν εἰώθαμεν θέτειν πρὸς δήλωσι(ν), ὅτι τοσαυτάκις ἐχώρεσε ἀφαιρεθῆναι τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ ἐκ τῶν ἄνωθεν αὐτοῦ γραμμάτων ἢ γράμματος.

ἵνα δὲ γένηται σαφέστερον τὸ λεγόμενον, ἔστω ὅτι τὰ ἄνωθεν δύο γράμματα οὕτως κείμενα δ γ΄ δηλῶσι μγ΄, ἀφ᾽ οὗ τόπου ἵσταται τὸ τρίτον γράμμα τοῦ μεριστοῦ. τὸ δὲ τρίτον γράμμα τοῦ μεριστοῦ ἔστω ς΄. ἔστω δὲ ὅτι ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἂν ἦν, δ΄κις ἐκ τῶν ἄνωθεν αὐτοῦ γραμμάτων ἢ γράμματος. ἔθηκας δὲ κάllτωθεν δ΄ πρὸς δήλωσι(ν), ὅτι δ΄κις ἀφεῖλες αὐτὸ ἐκ τῶν ἄνωθεν. ἀφεῖλες δὲ καὶ f. 27r
τὸ δεύτερον γράμμα τοῦ μεριστοῦ δ΄κις ὡς καὶ τὸ πρῶτον. ζητεῖς δὲ νῦν ἀφελεῖν δ΄κις καὶ τὸ τρίτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ ς΄, ἐκ τῶν ἄνωθεν αὐτῶν δύο γραμμάτων τῶν δηλώντων μγ΄, ὡς εἴπομεν. πολλ(α)πλασίασον οὖν τὰ ς΄, ἅπερ ἐστὶ

---

2 τοσαυτάκις] τὰ σαυτάκοις **C**

τρίτον γράμμα τοῦ μεριστοῦ, μετὰ τῶν δ΄, ὧν ἔθηκας κάτωθεν πρὸς δήλωσι(ν), ὅτι δ΄κις ἀφεῖλες τὸ πρῶτον γράμμα τοῦ μεριστοῦ ἐκ τῶν ἄνωθεν γραμμάτων. δ΄κις οὖν ς΄ γίνονται κδ΄. ἄφελε δὲ τὰ κδ΄ ἐκ τῶν ἄνωθεν μγ΄ οὕτως· πρόσθες ἐπὶ τῶν κδ΄, ὅσα ἂν λείπωνται πρὸς τὸ γενέσθαι δεκάδαι ἄνευ μονάδος, τουτέστι ς΄ πρὸς τὸ γενέσθαι λ΄. τὰ δὲ ς΄, ἅπερ προσέθηκας, ἔστι περισσότερα τῶν κδ΄, ὧν ἀφελεῖν ἐστι χρεία. ἕνωσον δὲ ταῦτα μετὰ τῶν γ΄, ὧν εἴπομεν, ὅτι ἄνωθέν ἐστι μγ΄, καὶ γίνονται θ΄. θὲς οὖν ἄνωθεν τῶν γ΄ θ΄. ὀβέλισον δὲ τὰ γ΄. ἀπὸ δὲ τῶν δ΄, ὧν ἐστι εἰς τόπον δεκάδος καὶ δηλῶσι μ΄, ἄφελε τὰ λ΄, ἅπερ ἕνωσας ς΄ ἐπὶ τῶν κδ΄ καὶ ἐποίησας λ΄ τὰ κδ΄. τὰ δὲ λ΄ εἰσι γ΄ δεκάδαι. ἄφελε οὖν τρεῖς δεκάδας, τουτέστι λ΄, ἐκ τῶν δ΄ δεκάδων, ὧν δηλῶσι μ΄, καὶ περισσεύει ἔτι καὶ α΄ δεκάς. θὲς οὖν α΄ ἄνωθεν τῶν δ΄, τουτέστι μίαν δεκάδα. ὀβέλισον δὲ τὰ δ΄. τοῦτο δέ, ὅπερ εἴπομεν, ὅτι πρόσθες ς΄ ἐπὶ τῶν κδ΄ ὥστε γενέσθαι λ΄, γίνεται οὕτως, ὅταν οὐκ ἔχῃς ἀφελεῖν τὴν τελευταίαν ψῆφον τῶν κδ΄, ἥτις ἐστὶ δ΄, ἐκ τῆς τελευταίας ψήφου τῶν ἄνωθεν δύο γραμμάτων, ὧν δηλῶσι μγ΄· οὐ γὰρ χωρῶσι ἀφαιρεθῆναι τὰ δ΄ ἐκ τῶν γ΄.

εἰ δὲ τὰ ἄνωθεν δύο γράμματα, ἅπερ δηλῶσι μγ΄, ἦν ἂν μδ΄ ἢ καὶ με΄, οὐκ ἂν προσέθηκας ς΄ ἐπὶ τῶν κδ΄ ὥστε γενέσθαι λ΄, ἀλλὰ ἀφεῖλες τὰ δ΄, τὸ ἔσχατον γράμμα δηλονότι τῶν κδ΄, ἐκ τῶν ε΄, ἅπερ ἐστὶ ἔσχατον τῶν με΄. τὸ δὲ α΄, ὅπερ περισσεύει ἐκ τῶν ε΄ – ἔθηκας ἂν τὸ α΄ ἄνωθεν τῶν ε΄. ὀβελίσας δὲ τὰ ε΄ ἀφεῖλες δὲ πάλιν τὰ κ΄, ἅπερ ἐστὶ β΄ δεκάδαι, ἐκ τῶν ἄνωθεν μ΄, ἅπερ ἐστὶ δ΄ δεκάδαι, β΄ δεκάδας γράψας ἄνωθεν τῶν δ΄, ὀβελίσας τὰ δ΄, ἅπερ δηλῶσι μ΄. ὡσαύτως καὶ ἐπὶ τῶν ἄνωθεν πάντων γραμμάτων γίνεται οὕτως, ὅταν ἐξ αὐτῶν ἀφελεῖν βούλ(ῃ) πρῶτον γράμμα τοῦ μεριστοῦ ἢ δεύτερον ἢ τρίτον καὶ ἑξῆς ὁμοίως.

εἰ δὲ τὸ παρατυχὸν γράμμα τοῦ μεριστοῦ, ὅπερ ἂν ζητῇς ἀφελεῖν ἐκ τῶν ἄνωθεν δύο γραμμάτων τῆς μονάδος τε καὶ δεκάδος, οὐ χωρεῖ ἀφαιρεθῆναι – ἔστω γὰρ ὅτι δεύτερον ἢ τρίτον ἢ τέταρτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐστὶ ζ΄, ζητεῖς ἀφελεῖν η΄κις ἐκ τῶν ἄνωθεν δύο γραμμάτων, ὧν δηλῶσι νγ΄· ζ΄κις δὲ η΄ γίνονται νς΄ καὶ οὐ δύνασαι ἀφελεῖν τὰ νς΄ ἐκ τῶν ἄνωθεν δύο γραμμάτων τῶν δηλώντων νγ΄. ἔστι δὲ ἄνωθεν εἰς τόπον ἑκατοντάδος γ΄ καὶ δηλῶσι τ΄, ἅπερ μετὰ τῶν νγ΄ δηλῶσι τνγ΄. ζητεῖς δὲ ἀφελεῖν νς΄ ἐκ τῶν ἄνωθεν τνγ΄. ἄφελε οὖν ἐκ τῶν γ΄ τῶν δηλώντων τ΄ μίαν ἑκατοντάδα, τουτέστι α΄· τὸ γὰρ α΄ ἐστὶ ρ΄, ὥσπερ τὰ γ΄ ἐστὶ τ΄. ἀπομένοσι καὶ β΄, ἅπερ ἐστὶ σ΄. θὲς οὖν β΄ ἄνωθεν τῶν γ΄. ὀβέλισον δὲ τὰ γ΄, ἅπερ δηλῶσι τ΄. τὰ δὲ ρ΄, ἅπερ ἀφεῖλες ἐκ τῶν τ΄, δέκα δεκάδαι εἰσί· ἔστι καὶ ἕτεραι ε΄ δεκάδαι, αἵτινες δηλῶσι ν΄. τὰ δὲ ρ΄ καὶ ν΄ ἐστὶ δεκάδαι ιε΄. πρόσθες οὖν ἐπὶ τῶν νς΄, ὧν ζητεῖς ἀφελεῖν, δ΄, ἵνα γένωνται ξ΄, τουτέστι δεκάδαι ς΄. ἐπεὶ οὖν προσέθηκας δ΄, τὰ δ΄ περισσεύοσι πάντως ἐκ τῶν νς΄. ἕνωσον τὰ δ΄ μετὰ τῶν γ΄, ὧν ἐστι εἰς τόπον μονάδος καὶ δηλῶσι τρία, καὶ γίνονται ὁμοῦ ζ΄. θὲς ἄνωθεν τῶν γ΄ τῶν εἰς τόπον μονάδος ὄντων ζ΄, ὀβέλισον δὲ τὰ γ΄. ἄφελε δὲ τὰ ς΄ δεκάδας, τουτέστι τὰ ξ΄, ἐκ τῶν ιε΄ δεκάδων, ὧν δηλῶσι ρν΄, καὶ ἀπομένοσι ἔτι καὶ δεκάδαι θ΄, τουτέστι ϛ΄· ϛ΄ γὰρ καὶ ξ΄ ρν΄ ἐστί. ὀβέλισον δὲ καὶ τὰ ε΄, ἅπερ ἐστὶ εἰς τόπον δεκάδος καὶ δηλῶσι ν΄. ἄνωθεν δὲ τῶν ε΄, ὧν δηλῶσι ν΄, θὲς τὰ θ΄, ἅπερ δηλῶσι ϛ΄ εἰς τόπον δεκάδος κείμενα. τούτῳ οὖν τῷ τρόπῳ καὶ ἐπὶ τῶν ὁμοίων ποιεῖν ἔχεις, ὁπόταν οὐκ ἔστι ἀφελεῖν ἐκ τῆς δεκάδος τε καὶ μονάδος τὸ γράμμα τοῦ μεριστοῦ, ὅπερ ἂν ἔχῃς ζητῶν ἀφελεῖν ἐκ τῶν ἄνωθεν γραμμάτων.

ἔστι δὲ ὅτι ὁ μεριστὴς ἔχει δ΄ καὶ ε΄ γράμματα καὶ δηλοῖ χιλιάδας καὶ μυριάδας.

---

8 ἕνωσας] **pro** ἥνωσας **hic et passim C** 33 αἵτινες] ἅτιναὶ **C** 37 ὄντων] ὄντα **C**

εἰ οὖν οὐκ ἔχεις ἀφελεῖν τὸ πρῶτον ἢ δεύτερον ἢ τρίτον γράμμα τοῦ μεριστοῦ, ὅπερ ἐπολλ(α)πλασίασας τοσαυτάκις, ὁσάκις καὶ τὸ πρῶτον ἀφεῖλες γράμμα τοῦ μεριστοῦ, ἐκ τῶν ἄνωθεν τῆς δεκάδος τε καὶ ἑκατοντάδος ψήφων, τουτέστι ἐκ τοῦ πρώτου καὶ δευτέρου καὶ τρίτου τόπου, ἀφ' οὗ τόπου ἵσταται τὸ ζητούμενον γράμμα τοῦ μεριστοῦ, κόψε ἐκ τῶν ἄνωθεν τῆς χιλιάδος, ὅς ἐστι ὁ τέταρτος, καθ' ὃν τρόπον ἐποίησας καὶ ἐπὶ τῆς ἑκατοντάδος καὶ ἀφεῖλες τὸ πολλ(α)πλασιαζόμενον γράμμα τοῦ μεριστοῦ, τουτέστι τὰ νς΄ ἐκ τῶν τνγ΄, πάντα οὖν ὅσα ἐκ τῶν ἄνωθεν γραμμάτων ἀφέλῃς.

εἰ μὲν ὅλον λάβῃς μὴ ἔχων θέσθαι ἄνωθεν τούτου περισσόν, ὀβέλιζε τοῦτο. εἰ δὲ ἐναπομείνῃ τι περιττόν, θὲς τοῦτο ἄνωθεν τοῦ ὀβελισθέντος γράμματος ἀσημείωτον ὥστε ὁρᾶσθαι καλῶς, ποῖα μὲν κατελήφθησαν καὶ ἄχρηστά εἰσι καὶ σεσημειωμένα, ποῖα δὲ πάλιν γράμματα ἀσημείωτα ὄντα ἔτι ζητῶνται ἀφαιρεθῆναι καὶ αὐτά.

οὕτω δὲ ποιῶν ἀπαρχῆς, μέχρις ἂν τελέσῃς πάντα τὰ ἄνωθεν γράμματα, διαμερίζων ταῦτα μετὰ τοῦ παρατυχόντος μεριστοῦ, τὰ περὶ τὸ τέλος ἐναπομείναντα ἀσημείωτα δηλά ἐστι, ὅτι ἐναπέμειναν καὶ ἐγένοντο τζάκισμα. θέτε οὖν τὰ ἀσημείωτα γράμματα, ἅπερ ἀπέμειναν τζάκισμα, ἄνωθεν κεραίας τινὸς γραμμῆς, κάτωθεν δὲ ταύτης θέτε τὸν μεριστήν. καὶ σκόπει, τίνα λόγον ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον, τρίτον ἢ τέταρτον, καθὼς καὶ τὸν περὶ τοῦ τζακίσματος λόγον ἐροῦμεν ἔτι σαφέστερον ὁδῷ προβαίνοντες ἐν τῷ οἰκείῳ τόπῳ αὐτοῦ.

λη Περιεκτικῶς περὶ μαρτυρίας καὶ ἀποδείξεως πάντων τῶν διαμεριζομένων μερῶν

Φέρε λοιπὸν καὶ περιεκτικῶς περὶ τῆς μαρτυρίας πάντων καὶ ἀποδείξεως, ὧν μέλεις διαμερίζειν, εἴπωμεν, || πῶς ἄρα ἔχεις τοῦτο καλῶς ποιεῖν καὶ πάντων τὰς μαρτυρίας λαμβάνειν, ὡς ἡ τέχνη διδάσκει ἡμῖν. ποίει δὲ οὕτως· f. 27^{v}

τὸ τζάκισμα, ὅπερ εἰώθαμεν θέτειν ἄνωθεν τῆς κεραίας γραμμῆς, κἂντε ἓν γράμμα ἐστὶ κἂντε πλείονα, ὅσα καὶ ᾖ – εἰ μὲν πλεῖστα ἐστί, λάβε τὰ δύο πρῶτα γράμματα καὶ μέρισον ταῦτα ἐπὶ τῶν ζ΄. τὸ περισσεῦον δὲ μέρος κάτωθεν τῶν ζ΄ μετὰ τοῦ ἐφεξῆς γράμματος ἕνωσον καὶ μέρισον πάλιν ταῦτα ἐπὶ τῶν ζ΄, μέχρις ἂν οὕτω ποιῶν τελέσῃς πάντα τὰ τοῦ τζακίσματος γράμματα. ἐπὰν δὲ ἄλλο γράμμα οὐκ ἔχῃς τζακίσματος, ἀλλ' εἰ διέφθασας εἰς τὸ ἔσχατον τούτου γράμμα καὶ τελευταῖον, τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ ἐκ τοῦ τελευταίου γράμματος – θὲς τοῦτο περὶ τὸ τέλος τῆς ἑτέρας κεραίας γραμμῆς. εἰ δὲ τὸ τζάκισμα οὐκ ἔχει πολλ(ὰ) καὶ διάφορα γράμματα, ἀλλ' ἔστι ἓν γράμμα – εἰ μὲν δηλοῖ τὸ ἓν γράμμα πλεῖο τῶν ζ΄, τουτέστι η΄ ἢ καὶ θ΄, ἄφελε ἅπαξ ζ΄ ἐξ αὐτοῦ, καὶ τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ – θὲς τοῦτο ἐκεῖσε περὶ τὸ τέλος τῆς ἑτέρας κεραίας γραμμῆς. εἰ δὲ τὸ ἓν γράμμα τοῦ τζακίσματος οὐχ ὑπερβαίνει ζ΄, ἀλλ' ἔστι ἔλαττο τῶν ζ΄, θὲς τοῦτο πάλιν ἐκεῖσε περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς, καθώς ἐστι, ὡς ἔλαττο ὂν τῶν ζ΄. εἰ δ' οὐκ ἔστι τὸ ἓν γράμμα πλεῖο ἢ ἔλαττο τῶν ζ΄, ἔστι δὲ ζ΄, θὲς η΄ περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς ἀντὶ ἄλλου τινὸς γράμματος· ἅπαξ γὰρ ἀφεῖλες ζ΄ ἐκ τῶν ζ΄ καὶ ἀπέμεινεν η΄. ὡσαύτως καὶ ἐπὶ τοῦ μεριστοῦ, οὗ εἰώθαμεν θέτειν κάτωθεν τοῦ τζακίσματος καὶ τῆς κεραίας γραμμῆς, ποίησον. καὶ εἰ μὲν ὁ μεριστής ἐστι καὶ αὐτὸς γράμμα ἕν, ποίησον ὡς καὶ ἐπὶ τοῦ τζακίσματος καὶ θὲς τὰ ἐλάττω ὄντα τῶν ζ΄ ἄνωθεν τῆς αὐτῆς δευτέρας κεραίας γραμμῆς. εἰ δὲ πλεῖστα ἐστὶ γράμματα, ἀνὰ δύο λάμβανε καὶ μέριζε ταῦτα ἐπὶ τῶν ζ΄ μέχρι καὶ τοῦ τελευταίου γράμματος. ἐπὰν δὲ τελέσῃς πάντα τὰ τοῦ μεριστοῦ γράμματα οὕτως ποιῶν, τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ – θὲς τοῦτο

---

28 διέφθασας] διεύθασας **C** 34 οὐχ ὑπερβαίνει] οὐχι περ βένη **C**

ἄνωθεν τῆς κεραίας γραμμῆς.
ζήτει δὲ πάλιν καὶ τὸν τέλειον διαμερισμόν, καὶ εἰ μὲν ἓν γράμμα κἀκεῖνός ἐστι, καὶ ἐπὶ τούτου ὁμοίως ποίησον ὡς καὶ ἐπὶ τοῦ τζακίσματος καὶ τοῦ μεριστοῦ, καὶ τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ – θὲς τοῦτο κάτωθεν τῆς αὐτῆς κεραίας γραμμῆς. εἰ δὲ πλεῖστα ἐστὶ γράμματα καὶ ὁ τέλειος διαμερισμός, ἀνὰ δύο λάμβανε καὶ μέριζε ταῦτα ἐπὶ τῶν ζ΄ μέχρι τοῦ τελευταίου γράμματος τοῦ τελείου διαμερισμοῦ, καὶ τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ – θὲς τοῦτο κάτωθεν τῆς κεραίας γραμμῆς.
ἔπειτα πολλ(α)πλασίασον τὰ δύο γράμματα τὰ ἄνωθεν καὶ κάτωθεν ὄντα τῆς κεραίας γραμμῆς. καὶ εἰ μέν ἐστι τὸ ἄνωθεν ἢ τὸ κάτωθεν τῆς κεραίας γραμμῆς α΄, τὸ δὲ ἕτερον γ΄, πολλ(α)πλασιαζόμενα ταῦτα ἅπαξ τὰ γ΄ πάλιν ἐστὶ γ΄ ἢ ἅπαξ τὰ δ΄ πάλιν ἐστὶ δ΄ καὶ ἑξῆς ὁμοίως. εἰ δὲ τὸ ἄνωθεν ἢ κάτωθεν τῆς κεραίας γραμμῆς γράμμα δηλοῖ πλέον ἑνός, καὶ τὸ μέν ἐστι β΄, τὸ δὲ γ΄, ἢ πάλιν τὸ μέν ἐστι γ΄, τὸ δὲ δ΄ καὶ ἑξῆς ὁμοίως, πολλ(α)πλασιαζόμενα τὰ δύο γράμματα δὶς τὰ γ΄ γίνονται ς΄ ἢ πάλιν τρὶς τὰ δ΄ γίνονται ιβ΄ καὶ ἑξῆς ὁμοίως.
καὶ ὅσος ἂν γένηται ὁ πολλ(α)πλασιασμὸς τοῦ ἄνωθεν καὶ κάτωθεν γράμματος τῆς κεραίας γραμμῆς, ἕνωσον τοῦτον μετὰ τοῦ κειμένου τε καὶ εὑρισκομένου γράμματος περὶ τὸ τέλος τῆς αὐτῆς κεραίας γραμμῆς, ὅπερ ἐστὶ τοῦ τζακίσματος. καὶ ὅση ἂν γένηται ἡ ψῆφος τῶν τριῶν τούτων γραμμάτων – εἰ μὲν πλεῖο τῶν ζ΄ ἐστί, ἄφελε ταῦτα ἐπὶ τῶν ζ΄, καὶ τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ – θὲς τοῦτο ἐντὸς κύκλου τινός. εἰ δὲ ὁ περισυναγμὸς τῶν τριῶν γραμμάτων, ὧν εἴπομεν, δηλοῖ ἐλάττω τῶν ζ΄, θὲς ταῦτα πάλιν ἐντὸς κύκλου τινός, ἐπεὶ ἐλάττονά εἰσι τῶν ζ΄. εἰ δὲ οὔτε πλείονά εἰσι τῶν ζ΄ οὔτε ἐλάττω, ἀλλ᾽ ἔστι ζ΄ ὁ περισυναγμὸς τῶν τριῶν γραμμάτων, ἄφελε ἅπαξ ζ΄ ἐκ τῶν ζ΄ καὶ ἀπομένει ι΄. θὲς οὖν ἀντὶ ἄλλου τινὸς γράμματος ἐντὸς κύκλου ι΄. ὅταν δὲ τύχῃ κείμενον ἄνωθεν ἢ κάτωθεν τῆς κεραίας γραμμῆς ι΄, οὐ δύνασαι πολλ(α)πλασιάσαι τὸ ι΄ μετὰ ἑτέρου τινὸς γράμματος, ἐπεὶ τὸ πολλ(α)πλασιαζόμενον γράμμα μετὰ τοῦ ι΄ οὐκ ἐπιδέχεται αὔξησι(ν), ἀλλὰ μᾶλλον καὶ αὐτὸ ι΄ γίνεται. κἂντε οὖν τὰ δύο γράμματα τὰ ἄνωθεν καὶ κάτωθεν ὄντα τῆς κεραίας γραμμῆς ἐστι ι΄, κἂντε τὸ μέν ἐστι ι΄, τὸ δ᾽ ἕτερόν ἐστι δηλωτικόν τινος ἀριθμοῦ, ἀνενέργητα μένοσι, ὡς ι΄ πολλ(α)πλασιαζόμενα γίνεσθαι. λάμβανε δὲ μόνον τὸ περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς κείμενον γράμμα, ὅπερ ἐστὶ τοῦ τζακίσματος, καὶ θὲς τοῦτο ἐντὸς κύκλου τινός. εἰ δὲ τὸ περὶ τὸ τέλος τῆς αὐτῆς κεραίας γραμμῆς κείμενον γράμμα ἐστὶ ι΄, ἄνωθεν δὲ καὶ κάτωθεν τῆς αὐτῆς κεραίας γραμμῆς εἰσι δηλωτικὰ δύο τινὰ γράμματα, πολλ(α)πλασίαζε ταῦτα, κἂντε ἅπαξ κἂντε πολλ(ά)κις ἔχῃς ταῦτα πολλ(α)πλασιάσαι. καὶ τὸν ἐκ τούτων γενόμενον πολλ(α)πλασιασμὸν ἐπὶ τῶν ζ΄ μέρισον, εἴπερ ἐστὶ πλεῖο τῶν ζ΄, καὶ τὸ ἐναπομεῖναν κάτωθεν τῶν ζ΄ ἐντὸς κύκλου γράψον ὡς σύνηθες. ἔασον δὲ τὸ ι΄, ὅπερ ἐστὶ περὶ τὸ τέλος τῆς κεραίας γραμμῆς, ὡς οὐδὲν ὄντα.
μετὰ δὲ τὸ τελέσαι τὴν πρώτην ταύτην μαρτυρίαν, καθ᾽ ὃν τρόπον λέγομεν, ζήτει καὶ τὸν ἄνωθεν ἀριθμόν, ὃν εἰώθαμεν ἐξαρχῆς θέτειν πρὸς τὸ διαμερίσαι. καὶ ἐκ τούτου ἀνὰ δύο λάμβανε γράμματα καὶ τὰς δηλωτικὰς ψήφους αὐτῶν ἐπὶ τῶν ζ΄ μέριζε μέχρι καὶ τοῦ τελευταίου γράμματος, ὡς καὶ ἐπὶ τῶν ἄλλων σαφέστερον δεδηλώκαμεν. τὸ ἐναπομεῖναν δὲ κάτωθεν τῶν ζ΄ – θὲς καὶ τοῦτο ἐντὸς κύκλου τινός. εἰ μὲν οὖν εὑρεθῶσι αἱ δύο μαρτυρίαι, ἃς ἔθηκας ἐντὸς κύκλων, ὅμοιαι, ἔστι ὀρθὸς ὁ ἐξελθὼν

---

20 ἐλάττω] vel ἔλαττο 26 αὔξησιν] αὐξεσι C 35 εἴπερ] ὑπερ C 37 ὄντα] sic pro ὂν C 42 ἐναπομεῖναν] ἐννααπὸμήναν C

τέλειος διαμερισμός, εἰ δὲ ὧσι ἀνόμοιαι αἱ δύο τούτων μαρτυρίαι, ἡ μὲν ἔχουσα οὕτως, ἡ δὲ ἄλλως πως, οὐ καλῶς ἤδη ἐγένετο ὁ τέλειος διαμερισμός.

δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὡς ἔλαττον χρὴ εἶναι πάντῃ τὸ τζάκισμα τῆς τοῦ μεριστοῦ δηλουμένης ποσότητος. διὰ γὰρ τοῦτο καὶ τζάκισμα λέγεται ὡς τοῦ μεριστοῦ ἔλαττο || f. 28r
ὄντα. τὸ γὰρ ἔλαττο τοῦ μείζονος δικαίως ἂν λέγοιτο τζάκισμα. διατμηθὲν γάρ, ὡς ἂν εἴπῃ τις, γέγονε τζάκισμα. εἰ μὲν οὖν τὸ τζάκισμα ἔλαττόν ἐστι τοῦ μεριστοῦ, ἀληθῶς καὶ καλῶς ἐστι τζάκισμα. εἰ δὲ μεῖζόν ἐστι ἢ καταπάντα ἴσον καὶ ὅμοιον μηδὲν ὅλως τοῦ μεριστοῦ ἐλαττούμενον, καὶ αὖθις οὐ καλῶς – οἶσθα – γέγονε ὁ τέλειος διαμερισμός, ὃν ἐποίησας. μεταποιήσας δὲ πάλιν τὸν τούτων διαμερισμὸν εὑρήσεις πάντως ἔλαττο εἶναι τὸ τζάκισμα· οὐδὲ γὰρ ψευ<σ>θήσεται πώποτε τὸ μὴ ἄλλως ἐνδέχεσθαι εἶναι.

λθ **Περὶ τοῦ ἐν μόνῃ φαντασίᾳ γενομένου διαμερισμοῦ**

Μὴ μόνον δὲ ἐν μόνῃ φαντασίᾳ πολλ(α)πλασιάζειν ἔστι, ἀλλὰ καὶ διαμερίζειν ἔξεστιν, οὐκ ἐπὶ πάντων, ἀλλ' ἐξ ὧν ἔστι τῶν ἐνδεχομένων διαμερίσαι τῷ τρόπῳ τούτῳ.

σκόπει τοίνυν καλῶς οὐκ ἐπὶ τῶν διαμεριζομένων μειζόνων σωμάτων, ἀλλ' ἐπὶ τοῦ διαμερίζοντος, ὅπερ εἰώθαμεν καλεῖν μεριστήν, τίνες ἂν ἀριθμοί εἰσι ἐπιστρεπτικοί. καὶ ὅσοι ἂν ἀριθμοὶ τοῦ ζητουμένου μεριστοῦ εἰσι ἐπιστρεπτικοί, ἔχῃς ἂν καλῶς διαμερίσαι ἐν μόνῃ τῇ σῇ φαντασίᾳ ἀγράφως τὸν ζητούμενον ἀριθμόν, ὅσοι δὲ οὐκ ἐπιστρέφοσι, οὐκ ἔχεις διαμερίσαι ἐν τῇ σῇ φαντασίᾳ. ἐπιστρεπτικοὺς δὲ ἀριθμοὺς λέγομεν τοὺς διττῶς πολλ(α)πλασιαζομένους καὶ πάλιν εἰς τὸ αὐτὸ ἐπιστρέφοντας ὡς τὰ κα΄ – τρὶς γὰρ ζ΄ γίνονται κα΄ καὶ ζ΄κις γ΄ πάλιν γίνονται κα΄ – ἢ πάλιν ὡς τὰ κη΄ – δ΄κις γὰρ ζ΄ γίνονται κη΄ καὶ ζ΄κις δ΄ πάλιν γίνονται κη΄ – ἢ πάλιν ὡς τὰ λ΄ – ε΄κις γὰρ ς΄ γίνονται λ΄ καὶ ς΄κις ε΄ πάλιν γίνονται λ΄ – ἢ πάλιν ὡς τὰ ρ΄ – ε΄κις γὰρ κ΄ γίνονται ρ΄ καὶ κ΄κις ε΄ πάλιν γίνονται ρ΄ – καὶ ἑξῆς ὁμοίως πάντα ἄλλον ἐπιστρεπτικὸν ἀριθμὸν τῷ τρόπῳ τούτῳ διττῶς πολλ(α)πλασιαζόμενον. οἱ δὲ μήπω στρέφοντές εἰσι ὡς τὰ ια΄ καὶ ιζ΄ καὶ κγ΄ καὶ λα΄ καὶ ἑξῆς ὁμοίως. εἰσὶ γὰρ ἀμέριστοι καὶ ἀνυπόστροφοι ἀριθμοὶ καὶ οὐ δύνασαι δι' αὐτῶν διαμερίσαι τὸν ζητούμενον ἀριθμόν, ὃν βούλ(ει) διαμερίσαι.

ρ΄ μετὰ τῶν ιη΄ διαμεριζόμενα

Τὰ ιη΄ ἐπιστρέφοσι· δὶς γὰρ θ΄ γίνονται ιη΄ καὶ θ΄κις β΄ πάλιν γίνονται ιη΄. μέρισον τὰ ρ΄ εἰς μέρη δύο, καθὼς γίνονται καὶ τὰ δὶς θ΄ ιη΄. μεριζόμενα δὲ τὰ ρ΄ εἰς μέρη δύο γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ ν΄. μέρισον δὲ τὰ ν΄ μετὰ τῶν θ΄· ε΄κις οὖν θ΄ γίνονται με΄, ἀπομένοσι καὶ ε΄ τζάκισμα μέχρι τῶν ν΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ τῇ σῇ φαντασίᾳ, ὅτι τὰ ρ΄ μετὰ τῶν ιη΄ διαμεριζόμενα γίνεται ὁ τέλειος τούτων διαμερισμὸς ε΄, καθότι ε΄κις ἐχώρεσαν τὰ θ΄ ἐπὶ τῶν ν΄, καὶ ἀπομένει καὶ τὸ παρὸν τζάκισμα $\frac{\varepsilon}{\theta}$.

ρκ΄ μετὰ τῶν ιη΄ διαμεριζόμενα

Μέρισον καὶ τὰ ρκ΄ εἰς μέρη δύο, καθὼς καὶ ἐπὶ τῶν ρ΄ οὕτως ἐποίησας, καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ ξ΄. μέρισον δὲ τὰ ξ΄ μετὰ τῶν θ΄· ς΄κις οὖν θ΄ γίνονται νδ΄, ἀπομένοσι καὶ τζάκισμα ς΄ μέχρι τῶν ξ΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ τῇ σῇ φαντασίᾳ, ὅτι τὰ ρκ΄ μετὰ τῶν ιη΄ διαμεριζόμενα γίνεται ὁ τέλειος τούτων διαμερισμὸς ς΄, καθότι ς΄κις ἐχώρεσαν τὰ θ΄ ἐπὶ τῶν ξ΄, καὶ ἀπομένει καὶ τὸ παρὸν

---

3 παντῃ] πανται **C** 5 λέγοιτο] λέγῖτο **C** 8 οἶσθα] εἶσθα **C** 13 ἔξεστιν] ἐξέσθιν **C**
20 διττῶς] δυτὼς **C** 26 μήπω στρέφοντες] μη``πο στρέφωνταις **C**

τζάκισμα $\frac{\varsigma}{\vartheta}$, τουτέστι τὰ ς΄, ἅπερ ἀπολείπονται τὰ νδ΄ πρὸς τὸ γενέσθαι ξ΄. τὰ δὲ ς΄ μετὰ τῶν ϑ΄ συγκρινόμενά ἐστι δύο τρίτα ἑνὸς ἀκεραίου.

Καὶ ἄλλως πάλιν τὰ ιη΄ ἐπιστρέφοσι καὶ οὕτως· τρὶς ς΄ γίνονται ιη΄ καὶ ς΄κις γ΄ πάλιν γίνονται ιη΄. μέρισον τὰ ρκ΄ εἰς μέρη γ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν γ΄ ἀνὰ μ΄· τρὶς γὰρ μ΄ ρκ΄ γίνονται. μέρισον τὰ μ΄ μετὰ τῶν ς΄· ς΄κις οὖν ς΄ γίνονται λς΄, ἀπομένοσι καὶ δ΄ τζάκισμα μέχρι τῶν μ΄. καὶ ἰδοὺ καὶ οὕτως εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος τούτων διαμερισμός ἐστι ς΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\delta}{\varsigma}$, ὅπερ ἔχει τοιοῦτον λόγον, ὃν ἔχοσι τὰ ς΄ πρὸς τὰ ϑ΄, τουτέστι δύο τρίτα ἑνὸς ἀκεραίου.

Καὶ τὸ ἀνάπαλι(ν) μέρισον τὰ ρκ΄ εἰς μέρη ς΄ καὶ γίνεται ἕκαστον μέρος τῶν ς΄ ἀνὰ κ΄· ς΄κις γὰρ κ΄ ρκ΄ γίνονται. καὶ ὥσπερ ἐμέρισας τὰ ρκ΄ μετὰ τῶν γ΄ καὶ ἐγένοντο μ΄, ἐμέρισας δὲ τὰ μ΄ μετὰ τῶν ς΄, νῦν μερίσας τὰ ρκ΄ εἰς μέρη ς΄ καὶ ἐγένετο ἕκαστον ἕκτον ἀνὰ κ΄. μέρισον τὰ κ΄ μετὰ τῶν γ΄· ς΄κις οὖν γ΄ γίνονται ιη΄, περισσεύοσι καὶ β΄ τζάκισμα μέχρι τῶν κ΄. καὶ ἰδοὺ καὶ οὕτως εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος τούτων διαμερισμός ἐστι ς΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta}{\gamma}$, ὅπερ ἔχει τοιοῦτον λόγον, ὃν ἔχοσι τὰ ς΄ πρὸς τὰ ϑ΄ καὶ τὰ δ΄ πρὸς τὰ ς΄, τουτέστι δύο τρίτα ἑνὸς ἀκεραίου.

τ΄ μετὰ τῶν κα΄ διαμεριζόμενα

Τὰ κα΄ ἐπιστρέφοσι· τρὶς γὰρ ζ΄ γίνονται κα΄ καὶ ζ΄κις γ΄ πάλιν γίνονται κα΄. μέρισον τὰ τ΄ εἰς μέρη γ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν γ΄ ἀνὰ ρ΄. μέρισον τὰ ρ΄ μετὰ τῶν ζ΄· ιδ΄κις οὖν ζ΄ γίνονται ϛη΄, ἀπομένοσι καὶ β΄ τζάκισμα μέχρι τῶν ρ΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν τ΄ μετὰ τῶν κα΄ ἐστὶ ιδ΄ καὶ $\frac{\beta}{\zeta}$. καὶ γὰρ τοσαυτά<κις> ἐχώρεσαν τὰ ζ΄ πρὸς τὰ ρ΄.

τ΄ μετὰ τῶν κδ΄ διαμεριζόμενα

Τὰ κδ΄ ἐπιστρέφοσι· δὶς γὰρ ιβ΄ γίνονται κδ΄ καὶ ιβ΄κις β΄ πάλιν γίνονται κδ΄. μέρισον τὰ τ΄ εἰς μέρη δύο καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ ρν΄. μέρισον τὰ ρν΄ μετὰ τῶν ιβ΄· ιβ΄κις οὖν ιβ΄ γίνονται ρμδ΄. χωρῶσι δὲ τὰ ιβ΄ εἰς τὰ ρν΄ ιβ΄κις καὶ ἀπομένοσι καὶ ς΄ τζάκισμα μέχρι τῶν ρν΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν τ΄ μετὰ τῶν κδ΄ ἐστὶ ιβ΄ καὶ $\frac{\varsigma}{\iota\beta}$, ἅπερ ἐστὶ μέρος μισὸν ἑνὸς ἀκεραίου, τουτέστι ιβ΄ς″.

Καὶ ἄλλως πάλιν μέρισον τὰ τ΄ εἰς μέρη ιβ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν ιβ΄ ἀνὰ κε΄· ιβ΄κις γὰρ κε΄ τ΄ γίνονται. καὶ ὥσπερ ἐμέρισας τὰ τ΄ εἰς μέρη δύο || καὶ ἐγένετο ἕκαστον μέρος τῶν δύο ἀνὰ ρν΄, ἐμέρισας δὲ τὰ ρν΄ μετὰ τῶν ιβ΄, οὕτως καὶ νῦν τὸ ἀνάπαλι(ν) ποίησον. μερίσας γὰρ τὰ τ΄ εἰς μέρη ιβ΄ ἐγένετο ἕκαστον μέρος τῶν ιβ΄ ἀνὰ κε΄. μέρισον δὲ τὰ κε΄ μετὰ τῶν β΄· ιβ΄κις οὖν β΄ γίνονται κδ΄, περισσεύει καὶ α΄ τζάκισμα μέχρι τῶν κε΄. καὶ ἰδοὺ καὶ οὕτως εὗρες, ὅτι ὁ τέλειος τούτων διαμερισμός ἐστι ιβ΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\alpha}{\beta}$, τουτέστι ιβ΄ς″. ὥσπερ γὰρ τὸ τζάκισμα, ὅπερ ἀπέμεινε, πρότερον ἦν $\frac{\varsigma}{\iota\beta}$, τὰ δὲ ς΄ πρὸς τὰ <ιβ΄> ἐστὶ μέρος μισόν, οὕτως καὶ τὸ παρὸν τζάκισμα $\frac{\alpha}{\beta}$ – τὸ α΄ πρὸς τὰ β΄ μισὸν μέρος ἐστί. f. 28^{v}

Καὶ ἄλλως πάλιν τὰ κδ΄ ἐπιστρέφοσι καὶ οὕτως· δ΄κις ς΄ γίνονται κδ΄ καὶ ς΄κις δ΄ γίνονται πάλιν κδ΄. μέρισον τὰ τ΄ εἰς μέρη δ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν δ΄ ἀνὰ οε΄· δ΄κις γὰρ οε΄ τ΄ γίνονται. μέρισον τὰ οε΄ μετὰ τῶν ς΄· ιβ΄κις οὖν ς΄ γίνονται οβ΄, ἀπομένοσι καὶ γ΄ τζάκισμα μέχρι τῶν οε΄. καὶ ἰδοὺ καὶ οὕτως εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν τ΄ μετὰ τῶν κδ΄ ἐστὶ ιβ΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\chi}{\varsigma}$, τουτέστι ιβ΄ς″. τὰ γ΄ γὰρ πρὸς τὰ ς΄ μισὸν μέρος ἐστὶ ὥσπερ καὶ τὰ ς΄ πρὸς τὰ ιβ΄ καὶ τὸ α΄ πρὸς τὰ β΄.

Καὶ τὸ ἀνάπαλι(ν) μέρισον τὰ τ΄ εἰς μέρη ς΄ καὶ γίνεται ἕκαστον μέρος τῶν ς΄ ἀνὰ

ν΄. μέρισον τὰ ν΄ μετὰ τῶν δ΄· ιβ΄κις οὖν δ΄ γίνονται μη΄, ἀπομένει καὶ β΄ τζάκισμα μέχρι τῶν ν΄. καὶ ἰδοὺ καὶ οὕτως εὕρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν τ΄ μετὰ τῶν κδ΄ ἐστὶ ιβ΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta}{\delta}$, τουτέστι ιβ΄ς″. τὰ γὰρ β΄ πρὸς τὰ δ΄ μισὸν μέρος ἐστί.

υ΄ μετὰ τῶν λς΄ διαμεριζόμενα

Τὰ λς΄ ἐπιστρέφοσι· δὶς γὰρ ιη΄ γίνονται λς΄ καὶ ιη΄κις β΄ γίνονται πάλιν λς΄. μέρισον τὰ υ΄ εἰς μέρη δύο καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ σ΄. μέρισον τὰ σ΄ μετὰ τῶν ιη΄· ια΄κις οὖν ιη΄ γίνονται ρϛη΄, ἀπομένει καὶ τζάκισμα β΄ μέχρι τῶν σ΄. καὶ ἰδοὺ εὕρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν υ΄ μετὰ τῶν λς΄ ἐστὶ ια΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta}{\iota\eta}$, ὅπερ δηλοῖ β΄ ὀκτακαιδέκατα.

Τὰ λς΄ ἐπιστρέφοσι καὶ οὕτως· τρὶς ιβ΄ γίνονται λς΄ καὶ ιβ΄κις γ΄ πάλιν γίνονται λς΄. οὐ δύνασαι οὖν μερίσαι εἰς μέρη γ΄ τὰ υ΄, ἀλλ᾽ οὐδὲ πάλιν εἰς μέρη ιβ΄ δύνασαι μερίσαι τὰ υ΄, διὸ οὐδὲ τὸν τέλειον διαμερισμὸν τῶν υ΄ μετὰ τῆς ἐπιστροφῆς τῶν γ΄ καὶ ιβ΄ τῶν πολλ(α)πλασιαζόντων τὰ λς΄ ἐναλλὰξ δύνασαι εὑρεῖν.

εἰ δὲ τὰ υ΄ ἦν ἂν χ΄, μέρισον τὰ χ΄ εἰς μέρη γ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν τριῶν ἀνὰ σ΄. μέρισον δὲ τὰ σ΄ μετὰ τῶν ιβ΄· ις΄κις οὖν ιβ΄ γίνονται ρϛβ΄, ἀπομένει καὶ τζάκισμα η΄ μέχρι τῶν σ΄. καὶ ἰδοὺ ὁ διαμερισμὸς τῶν χ΄ μετὰ τῶν λς΄ ἐστὶ ις΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\eta}{\iota\beta}$, ἅπερ ἐστὶ ις΄ καὶ δύο τρίτα ἑνὸς ἀκεραίου· δὶς γὰρ δ΄ γίνονται η΄ καὶ τρὶς δ΄ γίνονται ιβ΄.

Καὶ τὸ ἀνάπαλιν μέρισον τὰ χ΄ μετὰ τῶν ιβ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν ιβ΄ ἀνὰ ν΄. μέρισον τὰ ν΄ μετὰ τῶν γ΄· ις΄κις οὖν γ΄ γίνονται μη΄, ἀπομένει καὶ τζάκισμα β΄ μέχρι τῶν ν΄. καὶ ἰδοὺ καὶ οὕτως εὕρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν χ΄ μετὰ τῶν λς΄ ἐστὶ ις΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta}{\gamma}$, τουτέστι ις΄ καὶ δύο τρίτα ἑνὸς ἀκεραίου. τὰ γὰρ β΄ πρὸς τὰ γ΄ τοιοῦτον λόγον ἔχοσ(ι), ὃν ἔχοσι καὶ τὰ η΄ πρὸς τὰ ιβ΄.

Τὰ λς΄ ἐπιστρέφοσι καὶ οὕτως· ς΄κις ς΄ γίνονται λς΄ καὶ ς΄ ς΄κις πάλιν γίνονται λς΄. οὐ δύνασαι οὖν μερίσαι εἰς μέρη ς΄ τὰ υ΄, διὸ οὐδὲ τὸν διαμερισμὸν τῶν υ΄ δύνασαι εὑρεῖν μετὰ τῆς ἐπιστροφῆς τῶν ς΄.

μέρισον δὲ τὰ χ΄ εἰς μέρη ς΄ καὶ γίνεται ἕκαστον μέρος τῶν ς΄ ἀνὰ ρ΄. μέρισον τὰ ρ΄ μετὰ τῆς τῶν ς΄ τῆς δευτέρας δηλονότι ἐπιστροφῆς τῶν λς΄, ἧς εἴπομεν, ὅτι ς΄κις ς΄ γίνονται λς΄ καὶ ς΄ ς΄κις πάλιν γίνονται λς΄. μεριζόμενα δὲ τὰ ρ΄ μετὰ τῶν ς΄ ις΄κις ς΄ γίνονται ϛς΄, ἀπομένοσι καὶ δ΄ τζάκισμα μέχρι τῶν ρ΄. καὶ ἰδοὺ καὶ οὕτως εὕρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ διαμερισμὸς τῶν χ΄ μετὰ τῶν λς΄ ἐστὶ ις΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\delta}{\varsigma}$, τουτέστι ις΄ καὶ δύο τρίτα ἑνὸς ἀκεραίου. ὃν γὰρ λόγον ἔχοσι τὰ η΄ πρὸς τὰ ιβ΄ καὶ τὰ β΄ πρὸς τὰ γ΄, τὸν αὐτὸν ἔχοσι καὶ τὰ δ΄ πρὸς τὰ ς΄.

,αυ΄ μετὰ τῶν ξδ΄ διαμεριζόμενα

Τὰ ξδ΄ ἐπιστρέφοσι· δὶς γὰρ λβ΄ γίνονται ξδ΄ καὶ λβ΄ δὶς πάλιν γίνονται ξδ΄. μέρισον τὰ ,αυ΄ εἰς μέρη δύο καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ ψ΄. μέρισον τὰ ψ΄ μετὰ τῶν λβ΄· ι΄κις δὲ λβ΄ γίνονται τκ΄, κ΄κις δὲ λβ΄ γίνονται δὶς τκ΄, τουτέστι χμ΄. πρόσθες καὶ ἅπαξ λβ΄ καὶ γίνονται ὁμοῦ χοβ΄. κα΄κις οὖν λβ΄ γίνονται χοβ΄, ἀπομένοσι καὶ τζάκισμα κη΄ μέχρι τῶν ψ΄. καὶ ἰδοὺ εὕρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν ,αυ΄ μετὰ τῶν ξδ΄ ἐστὶ κα΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\kappa\eta}{\lambda\beta}$, τουτέστι κα΄ καὶ ζ΄ ὄγδοα ἑνὸς ἀκεραίου. δ΄κις γὰρ ζ΄ γίνονται κη΄ καὶ δ΄κις η΄ γίνονται λβ΄.

---

10 ὀκτακαιδέκατα] **vel** ὀκτὰ καὶ δέκατα 40 χοβ΄ **(bis)**] ψοβ **(bis) falso C**

Τὰ ξδ΄ ἐπιστρέφοσι καὶ οὕτως· δ΄κις ις΄ γίνονται ξδ΄ καὶ ις΄κις δ΄ γίνονται πάλιν ξδ΄. μέρισον τὰ ,αυ΄ εἰς μέρη δ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν δ΄ ἀνὰ τν΄. μέρισον τὰ τν΄ μετὰ τῶν ις΄· ι΄κις οὖν ις΄ γίνονται ρξ΄, κ΄κις οὖν ις΄ γίνονται δὶς ρξ΄, τουτέστι τκ΄. πρόσθες καὶ ἅπαξ ις΄ – ὁμοῦ τλς΄. κα΄κις οὖν ις΄ γίνονται τλς΄, ἀπομένει καὶ τζάκισμα ιδ΄ μέχρι τῶν τν΄. καὶ ἰδοὺ καὶ οὕτως εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν ,αυ΄ μετὰ τῶν ξδ΄ ἐστὶ κα΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\iota\delta}{\iota\varsigma}$, τουτέστι κα΄ καὶ ζ΄ ὄγδοα ἑνὸς ἀκεραίου. ὃν γὰρ λόγον ἔχουσι τὰ κη΄ πρὸς τὰ λβ΄, τὸν αὐτὸν ἔχουσι καὶ τὰ ιδ΄ πρὸς τὰ ις΄. δὶς γὰρ ιδ΄ γίνονται κη΄ καὶ δὶς ις΄ γίνονται λβ΄. καὶ ὃν λόγον ἔχουσι τὰ ιδ΄ πρὸς τὰ ις΄, τὸν αὐτὸν ἔχουσι καὶ τὰ ζ΄ πρὸς τὰ η΄. δὶς γὰρ ζ΄ γίνονται ιδ΄ καὶ δὶς η΄ γίνονται ις΄, καθὼς ἐροῦμεν τὸ περὶ τούτου σαφέστερον μετὰ τὸ ἀποδῶσαι τὸ παρὸν ζήτημα τοῦ ἐν φαντασίᾳ γενομένου διαμερισμοῦ.

Τὰ ξδ΄ ἐπιστρέφοσι καὶ οὕτως· η΄κις η΄ γίνονται ξδ΄ καὶ η΄ ὀκτάκις πάλιν γίνονται ξδ΄. μέρισον τὰ ,αυ΄ εἰς μέρη η΄ καὶ γίνεται ‖ ἕκαστον μέρος τῶν η΄ ἀνὰ ροε΄· f. 29^{r}
η΄κις γὰρ ροε΄ γίνονται ,αυ΄. μέρισον τὰ ροε΄ μετὰ τῶν η΄, ἐπεὶ καὶ ἡ δευτέρα ἐπιστροφή ἐστι η΄· η΄κις γὰρ η΄ γίνονται ξδ΄. τὰ δὲ ροε΄ μετὰ τῶν η΄ μεριζόμενα κα΄κις η΄ γίνονται ρξη΄· δ΄κις γὰρ κα΄ γίνονται πδ΄ καὶ η΄κις κα΄ γίνονται ρξη΄. καὶ ἰδοὺ κα΄κις η΄ γίνονται ρξη΄, περισσεύοσι καὶ ζ΄ τζάκισμα μέχρι τῶν ροε΄. εὗρες οὖν καὶ οὕτως ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν ,αυ΄ μετὰ τῶν ξδ΄ ἐστὶ κα΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\zeta}{\eta}$, τουτέστι κα΄ καὶ ζ΄ ὄγδοα ἑνὸς ἀκεραίου.

ρπ΄ χιλιάδαι μετὰ τῶν ρκ΄ διαμεριζόμεναι

Τὰ ρκ΄ ἐπιστρέφοσι· ς΄κις γὰρ κ΄ γίνονται ρκ΄ καὶ κ΄κις ς΄ πάλιν γίνονται ρκ΄. μέρισον τὰς ρπ΄ χιλιάδας εἰς μέρη κ΄ καὶ γίνεται ἕκαστον μέρος τῶν κ΄ ἀνὰ ,ϑ΄· κ΄κις γὰρ ,ϑ΄ γίνονται ρπ΄ χιλιάδαι. μέρισον τὰς ϑ΄ χιλιάδας μετὰ τῶν ς΄, τουτέστι εἰς μέρη ς΄, καὶ γίνεται ἕκαστον μέρος τῶν ς΄ ἀνὰ ,αφ΄· ς΄κις γὰρ ,αφ΄ γίνονται ,ϑ΄. καὶ ἰδοὺ εὗρες ἐν μόνῃ φαντασίᾳ, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν ρπ΄ χιλιάδων μετὰ τῶν ρκ΄ ἐστὶ ,αφ΄, καθότι τὰ ς΄ πρὸς τὰ ,ϑ΄ τοσαυτάκις χωρῶσι, τουτέστι ,αφ΄κις. ,α΄κις γὰρ ς΄ γίνονται ,ς΄ καὶ φ΄κις ς΄ γίνονται ,γ΄, ,ς΄ δὲ καὶ ,γ΄ ὁμοῦ γίνονται ,ϑ΄. καὶ ὥσπερ χωρῶσι τὰ ς΄ πρὸς τὰ ,ϑ΄ ,αφ΄κις, οὕτως χωρῶσι καὶ τὰ ρκ΄ πρὸς τὰς ρπ΄ χιλ(ι)άδας. ὃν γὰρ λόγον ἔχουσι τὰ ς΄ πρὸς τὰ ,ϑ΄, τὸν αὐτὸν ἔχουσι καὶ τὰ ρκ΄ πρὸς τὰς ρπ΄ χιλ(ι)άδας.

Τὰ ρκ΄ ἐπιστρέφοσι καὶ οὕτως· ιβ΄κις ι΄ γίνονται ρκ΄ καὶ ι΄κις ιβ΄ πάλιν γίνονται ρκ΄. μέρισον τὰς ρπ΄ χιλ(ι)άδας εἰς μέρη ι΄ καὶ γίνεται ἑκάστη μερὶς τῶν ι΄ ἀνὰ ιη΄ χιλ(ι)άδας· ι΄κις γὰρ ιη΄ γίνονται ρπ΄. μέρισον τὰς ιη΄ χιλιάδας μετὰ τῶν ιβ΄, τουτέστι εἰς μέρη ιβ΄, καὶ οὕτως πάλιν ἑκάστη μερὶς τῶν ιβ΄ γίνεται ἀνὰ ,αφ΄· ιβ΄κις γὰρ ,αφ΄ γίνονται ιη΄ χιλιάδαι. καὶ ἰδοὺ καὶ οὕτως εὗρες, ὅτι ὁ τέλειος διαμερισμὸς τῶν ρπ΄ χιλιάδων μετὰ τῶν ρκ΄ ἐστὶ ,αφ΄.

Καὶ τὸ ἀνάπαλι(ν) μέρισον τὰς ρπ΄ χιλ(ι)άδας εἰς μέρη ιβ΄ καὶ γίνεται ἑκάστη μερὶς τῶν ιβ΄ ἀνὰ ιε΄ χιλιάδας· ιβ΄κις γὰρ ιε΄ γίνονται ρπ΄. μέρισον τὰς ιε΄ χιλ(ι)άδας μετὰ τῶν ι΄ καὶ γίνεται πάλιν ὁ τέλειος τούτων διαμερισμὸς ,αφ΄· ι΄κις γὰρ ,αφ΄ ιε΄ χιλ(ι)άδαι γίνονται.

Ὡσαύτως καὶ πάντα ἕτερον ἐπιστρεπτικὸν ἀριθμὸν ἔχεις διαμερίζειν ἐν μόνῃ τῇ σῇ φαντασίᾳ διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως καὶ εἰδέναι καλῶς πάντα τέλειον διαμερισμόν, ὃν ἂν ζητῇς, πόσος γίνεται.

---

12 διαμερισμοῦ] πολλπλασιασμου **C** 29 ,αφ΄κις] ,αφ ἀκοις **C**

μ **Περὶ τοῦ πῶς ἔστι εἰδέναι, τίνα λόγον ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον, ἀκέραιον ὄντα ἢ καὶ σχιζόμενον, τουτέστι διατμηθέν**

῎Οταν βούλῃ εἰδέναι, τίνα λόγον ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον, τρίτον δηλονότι ἢ τέταρτον ἢ καὶ ὡς ἄλλως ἔχει δηλῶσαι – εἰ μὲν δύνασαι κατανοῆσαι τοῦτο καλῶς, ὡς ὁρᾶται κείμενον ἄνωθεν τοῦ μεριστοῦ καὶ τῆς κεραίας γραμμῆς, τίνα λόγον ἔχει πρὸς τὸν μεριστὴν συγκρινόμενον, ἤδη ἔχεις καλῶς τὸ ζητούμενον. εἰ δὲ ἀκεραίου ὄντος τοῦ τζακίσματος καὶ τοῦ μεριστοῦ οὐ δύνασαι κατανοῆσαι καλῶς, τίνα λόγον ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον, σχίσον τὸ τζάκισμα εἰς ἐλάχιστα μέρη. τὸ δὲ σχίσον – μέρισον βούλ(ε)ται – εἰς ἐλάχιστα μέρη οὕτως, ὥστε ἐνδέχεσθαι σχίσαι καὶ διαμερίσασθαι καὶ τὸν μεριστὴν εἰς τοσαῦτα μέρη, ὅσα ἂν καὶ τὸ τζάκισμα ἔσχισας. εἰ οὖν τὸ τζάκισμα ἔσχισας εἰς μέρη δέκα, καὶ τὸν μεριστὴν εἰς μέρη σχίσον δέκα. εἰ δὲ εἰς κ΄ ἢ καὶ λ΄ ἔσχισας τὸ τζάκισμα, καὶ τὸν μεριστὴν ὁμοίως εἰς κ΄ ἢ καὶ λ΄ μέρη σχίσον. καὶ ὡς ἐν συντόμῳ εἰπεῖν, εἰς ὅσα ἂν μέρη σχίσῃς τὸ τζάκισμα, εἰς τοσαῦτα μέρη σχίσον καὶ τὸν μεριστήν. τοῦτο δὲ ποίει οὕτως, μέχρις ἂν ἔχῃς σχίσαι καὶ διαμερίσασθαι τὸ τζάκισμα καὶ τὸν μεριστὴν εἰ<ς> τὸ ἐλάχιστον μέρος, ὅπερ ἐνδέχεται γενέσθαι. γενόμενα δὲ τὰ δύο αὐτῶν μέρη τοῦ τζακίσματος δηλονότι καὶ τοῦ μεριστοῦ εἰς τὸ ἐλάχιστον μέρος, καθ᾽ ὃν τρόπον λέγομεν, κατανοῆσαι ἔχεις σαφέστερον, τίνα λόγον ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον.

῞Ινα δὲ σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, φέρε εἴπωμεν τοῦτο καὶ δι᾽ ὑποδείγματος. ἔστω ὅτι τὸ μὲν τζάκισμα, ὅπερ ἐστὶ ἄνωθεν τῆς κεραίας γραμμῆς, δηλοῖ ρν΄, ὁ δὲ μεριστής, ὅστις ἐστὶ κάτωθεν τῆς κεραίας γραμμῆς, δηλοῖ σ΄. οὕτως οὖν, ὡς ἔστι κείμενα τὸ τζάκισμα καὶ ὁ μεριστής, καὶ μὴ σχιζομένων τούτων ῥᾳδίως ἂν ἔχῃς κατανοῆσαι, τίνα λόγον ἔχει τὸ τζάκισμα, ὅπερ ἐστὶ ρν΄, συγκρινόμενον μετὰ τοῦ μεριστοῦ, ὅστις ἐστὶ σ΄. τρὶς γὰρ ν΄ γίνονται ρν΄ καὶ δ΄κις ν΄ γίνονται σ΄, καὶ τὸ μὲν τζάκισμα ἔχει τρὶς ν΄, ὁ δὲ μεριστὴς ἔχει δ΄<κις> ν΄. γ΄ δὲ καὶ δ΄ οὕτως κείμενα $\frac{\gamma}{\delta}$ δηλῶσι τρία τέταρτα. καὶ ἰδοὺ μὴ σχιζομένων τῶν δύο μερῶν – τοῦ τζακίσματος λέγω καὶ τοῦ μεριστοῦ – ἀκεραίων ὄντων εὕρες, ὅτι ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον τοιοῦτον λόγον, ὃν ἔχουσι τὰ γ΄ πρὸς τὰ δ΄, τουτέστι τρία τέταρτα. ἵνα δὲ ἴδῃς, ὅτι σχιζόμενα τὸ τζάκισμα καὶ ὁ μεριστὴς γίνονται τρία τέταρτα, καθὼς καὶ μὴ σχιζομένων αὐτῶν οὕτως εὗρες, σχίσον τὸ τζάκισμα τὰ ρν΄ εἰς μέρη ν΄ καὶ γίνεται ἕκαστον μέρος τῶν ν΄ ἀνὰ γ΄· θὲς ἄνωθεν τῆς κεραίας γραμμῆς γ΄. σχίσον καὶ τὸν μεριστὴν τὰ σ΄ εἰς μέρη ν΄, καθὼς ἔσχισας καὶ τὸ τζάκισμα εἰς μέρη ν΄, καὶ γίνεται ἕκαστον μέρος τῶν ν΄ ἀνὰ δ΄· θὲς κάτωθεν τῆς κεραίας γραμμῆς δ΄. καὶ ἰδοὺ ἐγένετο τὸ τζάκισμα σχιζόμενον εἰς τὸ ἐλάχιστον μέρος γ΄, ὅπερ ἦν πρότερον ρν΄, ὁ δὲ μεριστὴς δ΄, ὅστις ἦν πρότερον σ΄. ὃν γὰρ λόγον ἔχουσι τὰ γ΄ πρὸς τὰ δ΄, τὸν αὐτὸν ἔχουσι καὶ τὰ ρν΄ πρὸς τὰ σ΄, τουτέστι τρία τέταρτα. καὶ ἰδοὺ καὶ πρὸ τοῦ σχίσαι τὸ τζάκισμα καὶ τὸν μεριστὴν εὗρες, ὅτι ἔχει λόγον ‖ τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον τρία τέταρτα, καὶ μετὰ τὸ σχίσαι ἀμφότερα τὰ δύο μέρη αὐτῶν εὗρες πάλιν, ὅτι ἐστὶ τρία τέταρτα. πολλ(ά)κις γὰρ ἀκεραίων ὄντων τοῦ τζακίσματος καὶ τοῦ μεριστοῦ οὐ δύνασαι κατανοῆσαι καλῶς, τίνα λόγον ἔχει τὸ τζάκισ<μα> πρὸς τὸν μεριστὴν συγκρινόμενον. σχιζόμενα δὲ τὰ δύο μέρη αὐτῶν εἰς τὸ ἐλάχιστον μέρος, καθὼς ἂν ἔχῃ δυνάμεως

f. 29^{v}


---

2 in dextro marg. fol. 29^{r}: ⊣ ζήτει τὸ παρὸν σημεῖον ἔμπροσθεν περὶ τὸ τέλος – cf. f. 142/1^{v}– f. 145^{v} extra hunc librum 43 δυνάμεως] δινάμαιος **C**

ταῦτα γενέσθαι, γενήσεταί σοι γνώριμος ὁ λόγος, ὃν ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον.

μα Περὶ τοῦ τίνα χρείαν ποιῶσι τὰ τρία τέταρτα τὸ τζάκισμα, ὅπερ ἀπέμεινε ἐκ τῶν ,αρν΄ ὑπερπύρων, ὧν διεμερίσαντο ἄν(θρωπ)οι σ΄


Ἵνα δὲ πάλιν ἴδῃς, τίνα χρείαν ποιῶσι τὰ τρία τέταρτα, ἅπερ εἴπομεν, ἔστω ὅτι ἄν(θρωπ)οι σ΄ ἔχοσι διαμερίσασθαι ὑπέρπυρα ,αρν΄. θὲς οὖν ἀνωθεν ὡς σύνηθες τὰ ,αρν΄ ὑπέρπυρα, κάτωθεν δὲ τοὺς σ΄ ἀν(θρώπ)ους. μέρισον δὲ τὰ ,αρν΄ ὑπέρπυρα μετὰ τῶν σ΄ ἀν(θρώπ)ων, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς γράμμα ἕνα, ὅπερ δηλοῖ ὑπέρπυρα ε΄, ἀπομένει καὶ τὸ παρὸν τζάκισμα $\frac{\alpha\,\varepsilon\,\mu}{\beta\,\mu\,\mu}$. καὶ ἰδοὺ ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων οἰκειοῦται ἐκ τῶν ,αρν΄ ὑπερπύρων ὑπέρπυρα ε΄. τὸ δὲ τζάκισμα, ὅπερ ἀπέμεινε ἐκ τῶν ,αρν΄ ὑπερπύρων, τουτέστι τὰ ρν΄, ἔστι ὑπέρπυρα. ἔχοσι δὲ λόγον πρὸς τοὺς σ΄ ἀν(θρώπ)ους, τουτέστι τὸν μεριστήν, τρία τέταρτα, καθὼς προείπομεν. καὶ εἰ μὲν τὸ τζάκισμα ἦν ἂν σ΄, ὥσπερ ἐστὶ καὶ ὁ μεριστὴς σ΄, οἰκειώσατο ἂν ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων ἀνὰ ὑπέρπυρα ς΄, τζάκισμα δὲ οὐκ ἂν ἦν τὸ τυχόν.



ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί – τὸ τζάκισμά ἐστι ὑπέρπυρα ρν΄, λείπονται καὶ ὑπέρπυρα ν΄ πρὸς τὸ γενέσθαι σ΄ – πρόσθες οὖν τὰ ν΄ ὑπέρπυρα ἐπὶ τῶν ,αρν΄ ὑπερπύρων καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,ασ΄. μέρισον τὰ ,ασ΄ ὑπέρπυρα μετὰ τῶν σ΄ ἀν(θρώπ)ων· ς΄κις οὖν σ΄ γίνονται ,ασ΄. καὶ ἰδοὺ, ὡς εἴπομεν, προστεθέντων τῶν ν΄ ὑπερπύρων, ὧν λείπονται τὸ τζάκισμα πρὸς τὸ γενέσθαι σ΄, ἐπὶ τῶν ,αρν΄ ὑπερπύρων καὶ γενόμενα ὑπέρπυρα ,ασ΄ οἰκειοῦται ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων ὑπέρπυρα ς΄. νῦν δὲ ,αρν΄ ὑπέρπυρα ὄντα μετὰ τῶν σ΄ ἀν(θρώπ)ων διαμεριζόμενα περιέρχεται ἕκαστον τῶν σ΄ ἀνὰ ὑπέρπυρα ε΄. ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ρν΄, ἅπερ ἐστὶ τρία τέταρτα τῶν σ΄, ὧν ἔχεις μεριστήν.

λάβε τοίνυν καί σοι γ΄ τέταρτα ἑνὸς ὑπερπύρου. καὶ τὸ μὲν ἕνα ὑπέρπυρόν ἐστι κουκκιὰ κ΄, τὰ δὲ γ΄ τέταρτα τῶν κ΄ ἐστὶ κουκκιὰ ιε΄· τρὶς γὰρ ε΄ γίνονται ιε΄ καὶ δ΄κις ε΄ γίνονται κ΄. καὶ ἰδοὺ εὗρες, ὅτι ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων ἐκ τῶν ,αρν΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα ε΄ κουκκιὰ ιε΄. τοῦτό σοι ἐδήλωσε τὰ ρν΄ ὑπέρπυρα τὸ τζάκισμα, ὅτι ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων οἰκειοῦται καὶ γ΄ τέταρτα ἑνὸς μεριστοῦ, ταῦτὸν δὲ εἰπεῖν ἑνὸς ὑπερπύρου γ΄ τέταρτα, ἅπερ ἐστὶ κουκκιὰ ιε΄. ὁσάκις γὰρ χωρεῖ ὁ μεριστὴς ἐπὶ τῶν διαμεριζομένων, κἄντε ὑπέρπυρά ἐστι κἄντε φλουριά, τοσαῦτα ὑπέρπυρα ἢ καὶ φλουριὰ οἰκειοῦται ἕκαστος. ε΄κις δὲ χωρέσας ὁ μεριστής, ὅστις ἐστὶ ἄν(θρωπ)οι σ΄, ἐπὶ τῶν ,αρν΄ ὑπερπύρων καὶ ε΄ ὑπέρπυρα οἰκειοῦται ἕκαστος ἐκ τῶν ,αρν΄ ὑπερπύρων. ἀπομένει δὲ καὶ τζάκισμα ὑπέρπυρα ρν΄. ἔστι δὲ ταῦτα γ΄ τέταρτα ἑνὸς ὑπερπύρου καὶ ἑνὸς μεριστοῦ· ταὐτὸν γάρ ἐστι. τὰ δὲ γ΄ τέταρτα τοῦ ἑνὸς ὑπερπύρου ἐστί, ὡς εἴπομεν, κουκκιὰ ιε΄.


Ἵνα δὲ ἴδῃς, ὅτι ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων οἰκειοῦται ἐκ τῶν ρν΄ ὑπερπύρων τοῦ τζακίσματος γ΄ τέταρτα ἑνὸς ὑπερπύρου, τουτέστι κουκκιὰ ιε΄, ποίησον τὰ ρν΄ ὑπέρπυρα τὸ τζάκισμα κουκκιά. ἔχεις δὲ ποιῆσαι προχείρως κουκκιὰ τὰ ρν΄ ὑπέρπυρα οὕτως· θὲς ἄνωθεν μὲν τὰ ρν΄ ὑπέρπυρα, ἐκ πλαγίου δὲ ἑνὸς



32 φλουριά] **hic et passim** ϕ̈ **C** 33 χωρέσας] **sic pro** χωρήσας **C**

ὑπερπύρου κουκκιά, τουτέστι κ΄. πολλ(α)πλασίασον δὲ τὰ ρν΄ ὑπέρπυρα μετὰ τῶν ἐκ πλαγίου κουκκιῶν κ΄, ὡς εἰώθαμεν ποιεῖν ἐπὶ τοῦ πολλ(α)πλασιασμοῦ, καὶ γίνεται ὁ τέλειος τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ,γ΄. καὶ ἰδοὺ τὰ ρν΄ ὑπέρπυρα γίνονται κουκκιὰ ,γ΄. θὲς οὖν ἄνωθεν τὰ ,γ΄ κουκκιά, κάτωθεν δὲ θὲς μεριστὴν τοὺς σ΄ ἀν(θρώπ)ους. καὶ μέρισον τὰ ,γ΄ κουκκιὰ μετὰ τῶν σ΄ ἀν(θρώπ)ων καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς τὰ παρόντα δύο γράμματα α ε΄, ἅπερ δηλῶσι ιε΄. καὶ ἰδοὺ εὗρες, ὅτι ἐκ τοῦ τζακίσματος τῶν ρν΄ ὑπερπύρων, ὧν ἐποίησαν κουκκιὰ ,γ΄, οἰκειοῦται ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων κουκκιὰ ιε΄, τουτέστι γ΄ τέταρτα ἑνὸς ὑπερπύρου, καθὼς καὶ ἀπὸ μόνης τῆς συγκρίσεως τῶν ρν΄ ὑπερπύρων τοῦ τζακίσματος μετὰ τῶν σ΄ ἀν(θρώπ)ων, ὧν ἔχεις μεριστήν, εὗρες οὕτως.


Ἔστω δὲ πάλιν, ὅτι βούλ(ει) διαμερίσαι φλουριὰ ,αμ΄ εἰς ἀν(θρώπ)ους ν΄ καὶ εἰδέναι, τί οἰκειοῦται ἕκαστος τῶν ν΄ ἀν(θρώπ)ων ἐκ τῶν ,αμ΄ φλουριῶν. θὲς οὖν ἄνωθεν τὰ ,αμ΄ φλουριά, κάτωθεν δὲ μεριστὴν θὲς τοὺς ν΄ ἀν(θρώπ)ους. μέρισον δὲ τὰ ,αμ΄ φλουριὰ μετὰ τῶν ν΄ ἀν(θρώπ)ων, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς τὰ παρόντα δύο γράμματα β υ΄, ἅπερ δηλῶσι κ΄, ἀπομένει καὶ τὸ παρὸν τζάκισμα $\frac{\delta\ \upsilon}{\varepsilon\ \upsilon}$. καὶ ἰδοὺ οἰκειοῦται ἕκαστος τῶν ν΄ ἀν(θρώπ)ων ἐκ τῶν ,αμ΄ φλουριῶν φλουριὰ κ΄. τὸ δὲ τζάκισμα, ὅπερ ἀπέμεινε, ἔστι φλουριὰ μ΄. ἔχει δὲ τὸ τζάκισμα τὰ μ΄ φλουριὰ πρὸς τοὺς ν΄ ἀν(θρώπ)ους τὸν μεριστὴν συγκρινόμενον, ὃν λόγον ἔχουσι τὰ δ΄ πρὸς τὰ ε΄, τουτέστι τέσσερα πέμπτα. σχίσον γὰρ τὰ μ΄ φλουριὰ εἰς μέρη δέκα καὶ γίνεται ἕκαστον μέρος τῶν δέκα ἀνὰ δ΄· σχίσον καὶ τοὺς ν΄ ἀν(θρώπ)ους εἰς μέρη δέκα, καθὼς ἔσχισας οὕτως καὶ τὰ μ΄ φλουριὰ τὸ τζάκισμα, καὶ γίνεται ἕκαστον μέρος τῶν δέκα ἀνὰ ε΄. θὲς οὖν ἄνωθεν ἀντὶ τῶν μ΄ φλουριῶν τὸ τζάκισμα δ΄, κάτωθεν δὲ ἀντὶ τῶν ν΄ ἀν(θρώπ)ων τὸν μεριστὴν ε΄, ἅπερ οὕτως κείμενα $\frac{\delta}{\varepsilon}$ ἔχουσι τοιοῦτον λόγον, ὃν ἔχουσι καὶ τὰ μ΄ πρὸς τὰ ν΄, τουτέστι τέσσερα πέμπτα. οἰκειοῦται δὲ ἕκαστος τῶν ν΄ ἀν(θρώπ)ων ἐκ τῶν ,αμ΄ φλουριῶν φλουριὰ κ΄ καὶ τέσσερα πέμπτα ἑνὸς φλουριοῦ.



φ β υ τζάκισμα $\frac{\delta}{\varepsilon}$

τὰ δὲ τέσσερα πέμπτα τοῦ ἑνὸς φλουριοῦ – λάβε τὰ οὕτως· ἔστω ὅτι ἕκαστον φλουρὶ χρήζει ὑπέρπυρα η΄, ἅπερ ἐστὶ κουκκιὰ ρξ΄. μέρισον τὰ ρξ΄ κουκκιὰ εἰς μέρη ε΄ καὶ γίνεται ἕκαστον μέρος τῶν ε΄ ἀνὰ κουκκιὰ λβ΄· ε΄κις γὰρ λβ΄ ρξ΄ γίνονται. τὸ πέμπτον οὖν μέρος τῶν ρξ΄ ἐστὶ λβ΄. λάβε δὲ δ΄κις λβ΄, ἅπερ ἐστὶ κουκκιὰ ρκη΄· τοῦτο γὰρ ἐστι, ὅπερ λέγομεν, δ΄ πέμπτα ἑνὸς φλουριοῦ. καὶ ἰδοὺ οἰκειοῦται ἕκαστος τῶν ν΄ ἀν(θρώπ)ων ἐκ τῶν ,αμ΄ φλουριῶν φλουριὰ κ΄ καὶ κουκκιὰ ρκη΄, ἅπερ ἐστὶ δ΄ πέμπτα ἑνὸς φλουριοῦ, τουτέστι φλουριὰ κ΄ ὑπέρπυρα ς΄ κουκκιὰ η΄. ‖ τοῦτο ἐδήλωσε ἡμῖν τὸ τζάκισμα, ὅτι ἀπὸ μὲν τῶν ,α΄ φλουριῶν οἰκειοῦται ἕκαστος τῶν ν΄ ἀν(θρώπ)ων φλουριὰ κ΄, ἀπὸ δὲ τῶν μ΄ φλουριῶν – τὸ τζάκισμα – οἰκειοῦται ἕκαστος τῶν ν΄ ἀνὰ κουκκιὰ ρκη΄, ἅπερ ἐστὶ ὑπέρπυρα ς΄ κουκκιὰ η΄. ὥσπερ γὰρ τὰ μ΄ φλουριά ἐστι δ΄ πέμπτα τῶν ν΄ ἀν(θρώπ)ων, οὕτως οἰκειοῦται ἕκαστος τῶν ν΄ δ΄ πέμπτα ἑνὸς φλουριοῦ, ἅπερ ἐστὶ κουκκιὰ ρξ΄. f. 30r

Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, καθὼς δηλοῖ τὸ τζάκισμα καὶ ὁ μεριστής, ποίησον τὰ μ΄ φλουριά, τὸ τζάκισμα, ὑπέρπυρα. ἐπεὶ δὲ εἴπομεν, ὅτι ἕκαστον φλουρὶ ἔστω ὅτι χρήζει ὑπέρπυρα η΄, η΄κις μ΄ γίνονται τκ΄. πολλ(α)πλασίασον τὰ τκ΄ ὑπέρπυρα τῶν μ΄ φλουριῶν μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου,



36 κουκκιὰ ρκη΄] ωνρκη C

καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ϛυ΄. καὶ ἰδοὺ τὰ μ΄ φλουριὰ γίνονται κουκκιὰ ,ϛυ΄. μέρισον τὰ ,ϛυ΄ κουκκιὰ μετὰ τῶν ν΄ ἀν(θρώπ)ων καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς τὰ παρόντα τρία γράμματα α β η΄, ἅπερ δηλῶσι ρκη΄. καὶ ἰδού, ὡς εἴπομεν, οἰκειοῦται ἕκαστος τῶν ν΄ ἀν(θρώπ)ων ἐκ τῶν μ΄ φλουριῶν – τὸ τζάκισμα, ὅπερ ἐποίησεν κουκκιὰ ,ϛυ΄, – δ΄ πέμπτα ἑνὸς φλουριοῦ, ἅπερ ἐστὶ κουκκιὰ ρκη΄, τουτέστι ὑπέρπυρα ϛ΄ κουκκιὰ η΄.

τοῦτο ἡμῖν δύναται καὶ ἐπὶ τῶν ἄλλων πάντων ποιῆσαι τὸ τζάκισμα· δηλωτικὸν γάρ ἐστι ἀναλογούσης ποσότητος μετὰ τοῦ μεριστοῦ συγκρινόμενον, ὡς εἰδέναι ἔχεις διὰ τῆς πείρας σαφέστερον. ὃν γὰρ λόγον ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον, τὸν αὐτὸν ἔχει καὶ ἕκαστον μέρος τοῦ μεριστοῦ, τουτέστι ἕκαστος τῶν σ΄ ἀν(θρώπ)ων ἢ τῶν ν΄ ἀν(θρώπ)ων, ὧν ἂν ἔχῃς μεριστήν, κἄντε φλουριὰ διαμερίζῃς κἄντε ὑπέρπυρα κἄντε τι ἕτερον, τρίτον δηλονότι ἢ τέταρτον ἢ καὶ ὡς ἄλλως ἔχοσι δηλῶσαι τὸ τζάκισμα μετὰ τοῦ μεριστοῦ συγκρινόμενον. τὸ δὲ τρίτον ἢ τέταρτόν ἐστι μέρος ἑνὸς φλουριοῦ ἢ ἑνὸς ὑπερπύρου ἢ τοῦ εἴδους ἐκείνου καὶ τῆς ποσότητος, ἧς μερίζεις. πᾶν γὰρ εἶδος, ὅπερ ζητεῖς διαμερίσαι, εἰς ὅσα ἂν μέρη βούλ(ῃ), κἄντε φλουριά ἐστι κἄντε ὑπέρπυρα κἄντε λίτραι εἰσὶ κἄντε οὐγγίαι ἢ ἄλλον τι ἕτερον – ὃν λόγον ἔχει τὸ τζάκισμα πρὸς τὸν μεριστὴν συγκρινόμενον, τρίτον δηλονότι ἢ τέταρτον, λάβε τὸ αὐτὸ μέρος ἐκ τοῦ ἑνὸς φλουριοῦ ἢ ἐκ τοῦ ἑνὸς ὑπερπύρου, οὗ ζητεῖς διαμερίσαι. καὶ ἔστι καὶ τοῦτο τὸ τρίτον ἢ τέταρτον, ὅπερ προσέθηκας ἐκ τῆς δηλώσεως τοῦ τζακίσματος, προσθ(ή)κη τοῦ μέρους ἐκείνου, οὗπερ ἂν ἔχῃ καὶ τὰ φλουριὰ ἢ τὰ ὑπέρπυρα ἢ πᾶν ἕτερον εἶδος, ὅπερ ἂν ζητῇς διαμερίσαι, ὃ οἰκειώσατο ἕκαστος τοῦ μεριστοῦ ἐκ τῆς διαμεριζομένης ποσότητος, ἧς ἂν ζητῇς διαμερίσαι, εἰς ὅσα ἂν μέρη βούλεσαι.

μβ Περὶ τοῦ πῶς ἔστι δηλῶσαι, τίνα λόγον ἔχει τὸ τζάκισμα μετὰ τοῦ μεριστοῦ συγκρινόμενον, γ″ ἢ δ″ ἢ ε″, καὶ ποῖα σημεῖα τίθεμεν

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, τίνα σημεῖα γραμμάτων εἰώθαμεν θέτειν ἄνωθεν τῆς κεραίας γραμμῆς ἀνήκοντα τῷ τζακίσματι, τίνα δὲ κάτωθεν τῆς κεραίας γραμμῆς ἀνήκοντα τῷ μεριστῇ πρὸς τὸ δηλῶσαι γ″ ἢ δ″ ἢ ε″ ἢ καὶ ὡς ἄλλως δηλῶσαι ἔχει τὸ τζάκισμα μετὰ τοῦ μεριστοῦ συγκρινόμενον.

ὅτε οὖν ἄνωθεν τῆς κεραίας γραμμῆς ἐστι τζάκισμα α΄, κάτωθεν δὲ ὁ μεριστής ἐστι β΄ οὕτως κείμενα $\frac{\alpha}{\beta}$, δηλοῖ τὸ τζάκισμα μισὸν μέρος ἑνὸς ἀκεραίου· τὸ γὰρ α΄ μισόν ἐστι τῶν β΄. ὅτε δέ ἐστι ἄνωθεν τῆς κεραίας γραμμῆς α΄, κάτωθεν δὲ γ΄ οὕτως κείμενα $\frac{\alpha}{\gamma}$, δηλοῖ τὸ τζάκισμα ἕνα τρίτον ἑνὸς ἀκεραίου. ὁ γὰρ μεριστής, ὅστις ἐστὶ κάτωθεν τῆς κεραίας γραμμῆς, ἔστι τὸ ἀκέραιον σῶμα. ὁσάκις γὰρ χωρεῖ ἀφαιρεθῆναι ὁ μεριστὴς ἐπὶ τὸν διαμεριζόμενον ἀριθμόν, ὃν ἂν διαμερίζῃς, τοσαῦτα ἀκέραια γίνεται ὁ τέλειος διαμερισμός. ὅτε δὲ πάλιν ἄνωθεν τῆς κεραίας γραμμῆς ἐστι α΄, κάτωθεν δὲ δ΄ κείμενα οὕτως $\frac{\alpha}{\delta}$, δηλοῖ τὸ τζάκισμα ἕνα τέταρτον ἑνὸς ἀκεραίου, ἄνωθεν πάλιν α΄, κάτωθεν δὲ ϛ΄ οὕτως κείμενα $\frac{\alpha}{\varsigma}$ δηλοῖ ἕνα ἕκτον, ἄνωθεν μὲν α΄, κάτωθεν δὲ ι΄ οὕτως κείμενα $\frac{\alpha}{\alpha\,\iota}$ δηλοῖ ἕνα δέκατον, ἄνωθεν μὲν α΄, κάτωθεν δὲ ιβ΄ οὕτως κείμενα $\frac{\alpha}{\alpha\,\beta}$ δηλοῖ ἕνα δωδέκατον καὶ ἑξῆς ὁμοίως.

εἰ δὲ ἄνωθεν μέν ἐστι β΄, κάτωθεν δὲ γ΄ οὕτως κείμενα $\frac{\beta}{\gamma}$ δηλοῖ δύο τρίτα, ἄνωθεν μὲν β΄, κάτωθεν δὲ δ΄ οὕτως κείμενα $\frac{\beta}{\delta}$ δηλοῖ δύο τέταρτα· τὰ δὲ δύο τέταρτά ἐστι μισόν, καθώς ἐστι μισὸν τὰ β΄ πρὸς τὰ δ΄. ἄνωθεν μὲν β΄, κάτωθεν δὲ ε΄ οὕτως

---

16 οὐγγίαι] **hic et passim** $o^{\alpha\iota}_{\Gamma\Gamma}$ **C**

κείμενα $\frac{\beta}{\varepsilon}$ δηλοῖ δύο πέμπτα, ἄνωθεν μὲν β΄, κάτωθεν δὲ ς΄ οὕτως κείμενα $\frac{\beta}{\varsigma}$ δηλοῖ δύο ἕκτα. δύο δὲ ἕκτα ἐστὶ τρίτον μέρος τοῦ ὅλου σώματος, καθὼς καὶ τὰ β΄ πρὸς τὰ ς΄ ἐστὶ τρίτον μέρος. ἄνωθεν μὲν β΄, κάτωθεν δὲ ιβ΄ οὕτως κείμενα $\frac{\beta}{\alpha\,\beta}$ δηλοῖ δύο δωδέκατα, ὅπερ ἐστὶ ἕνα ἕκτον· σχίσον γὰρ τὰ ἄνωθεν β΄ καὶ ἀπομένει α΄, σχίσον καὶ τὰ κάτωθεν ιβ΄ εἰς δύο καὶ γίνεται ἕκαστον τῶν δύο ἀνὰ ς΄. α΄ δὲ καὶ ς΄ οὕτως κείμενα $\frac{\alpha}{\varsigma}$ δηλοῖ ἕνα ἕκτον.

εἰ δὲ ἄνωθεν μέν ἐστι γ΄, κάτωθεν δὲ δ΄ οὕτως κείμενα $\frac{\gamma}{\delta}$ δηλοῖ τρία τέταρτα, ἄνωθεν μὲν γ΄, κάτωθεν δὲ ε΄ οὕτως κείμενα $\frac{\gamma}{\varepsilon}$ δηλοῖ τρία πέμπτα, ἄνωθεν μὲν γ΄, κάτωθεν δὲ ς΄ οὕτως κείμενα $\frac{\gamma}{\varsigma}$ δηλοῖ τρία ἕκτα. τὰ δὲ τρία ἕκτα ἐστὶ μισόν, καθὼς καὶ τὰ γ΄ πρὸς τὰ ς΄ ἐστὶ μισόν. ἄνωθεν μὲν γ΄, κάτωθεν δὲ ζ΄ οὕτως κείμενα $\frac{\gamma}{\zeta}$ δηλοῖ τρία ἕβδομα καὶ ἑξῆς ὁμοίως.

εἰ δὲ ἄνωθεν μέν ἐστι δ΄, κάτωθεν δὲ ε΄ οὕτως κείμενα $\frac{\delta}{\varepsilon}$ δηλοῖ τέσσερα πέμπτα, ἄνωθεν μὲν δ΄, κάτωθεν δὲ ς΄ οὕτως κείμενα $\frac{\delta}{\varsigma}$ δηλοῖ τέσσερα ἕκτα. τὰ δὲ τέσσερα ἕκτα ἐστὶ δύο τρίτα· σχιζόμενα γὰρ τὰ δ΄ καὶ ς΄ γίνονται β΄ καὶ γ΄, ἅπερ οὕτως κείμενα $\frac{\beta}{\gamma}$ δηλῶσι δύο τρίτα. ἄνωθεν μὲν πάλιν δ΄, κάτωθεν δὲ ζ΄ οὕτως κείμενα $\frac{\delta}{\zeta}$ δηλοῖ τέσσερα ἕβδομα καὶ ἑξῆς ὁμοίως.

εἰ δὲ ἄνωθεν μέν ἐστι ε΄, κάτωθεν δὲ ς΄ οὕτως κείμενα $\frac{\varepsilon}{\varsigma}$ δηλοῖ πέντε ἕκτα, ἄνωθεν μὲν ε΄, κάτωθεν δὲ ζ΄ οὕτως κείμενα $\frac{\varepsilon}{\zeta}$ δηλοῖ πέντε ἕβδομα καὶ ἑξῆς ὁμοίως.

εἰ δὲ [ἄνω] ἄνωθεν μέν ἐστι ς΄, κάτωθεν δὲ ζ΄ οὕτως κείμενα $\frac{\varsigma}{\zeta}$ δηλοῖ ἓξ ἕβδομα, ἄνωθεν μὲν ς΄, κάτωθεν δὲ η΄ οὕτως κείμενα $\frac{\varsigma}{\eta}$ δηλοῖ ἓξ ὄγδοα. τὰ δὲ ἓξ ὄγδοά ἐστι τρία τέταρτα· σχιζόμενα γὰρ τὰ ς΄ καὶ η΄ γίνονται γ΄ καὶ δ΄, ἅπερ οὕτως κείμενα $\frac{\gamma}{\delta}$ δηλῶσι τρία τέταρτα. ἄνωθεν μὲν πάλιν ς΄, κάτωθεν δὲ θ΄ οὕτως ‖ κείμενα $\frac{\varsigma}{\vartheta}$ **f. 30^{v}** δηλοῖ ἓξ ἔννατα. τὰ δὲ ἓξ ἐννατά ἐστι δύο τρίτα· σχίσον γὰρ τὰ ς΄ καὶ θ΄ εἰς μέρη τρία, καὶ τὰ μὲν ς΄ γίνονται β΄, τὰ δὲ θ΄ γίνονται γ΄, ἅπερ οὕτως κείμενα $\frac{\beta}{\gamma}$ δηλῶσι δύο τρίτα. ἄνωθεν μὲν πάλιν ς΄, κάτωθεν δὲ ι΄ οὕτως κείμενα $\frac{\varsigma}{\alpha\,\iota}$ δηλοῖ ἓξ δέκατα. τὰ δὲ ἓξ δεκατά ἐστι τρία πέμπτα· σχιζόμενα γὰρ τὰ ς΄ καὶ ι΄ γίνονται γ΄ καὶ ε΄, ἅπερ οὕτως κείμενα $\frac{\gamma}{\varepsilon}$ δηλῶσι τρία πέμπτα. ἄνωθεν μὲν ς΄, κάτωθεν δὲ ια΄ οὕτως κείμενα $\frac{\varsigma}{\alpha\,\alpha}$ δηλοῖ ἓξ ἑνδέκατα καὶ ἑξῆς ὁμοίως.

εἰ δὲ ἄνωθεν μέν ἐστι ζ΄, κάτωθεν δὲ η΄ οὕτως κείμενα $\frac{\zeta}{\eta}$ δηλοῖ ἑπτὰ ὄγδοα καὶ ἑξῆς ὁμοίως. ἄνωθεν μὲν πάλ<ιν> η΄, κάτωθεν δὲ θ΄ οὕτως κείμενα $\frac{\eta}{\vartheta}$ δηλοῖ ὀκτὼ ἔννατα καὶ ἑξῆς ὁμοίως. ἄνωθεν μὲν ιε΄, κάτωθεν δὲ ιζ΄ οὕτως κείμενα $\frac{\alpha\,\varepsilon}{\alpha\,\zeta}$ δηλοῖ ιε΄ ἑπτακαιδέκατα. ἄνωθεν μὲν κγ΄, κάτωθεν δὲ λε΄ οὕτως κείμενα $\frac{\beta\,\gamma}{\gamma\,\varepsilon}$ δηλοῖ κγ΄ τριακοστὰ πέμπτα, ἄνωθεν μὲν πάλιν κε΄, κάτωθεν δὲ πάλιν λε΄ οὕτως κείμενα $\frac{\beta\,\varepsilon}{\gamma\,\varepsilon}$ δηλοῖ κε΄ τριακοστὰ πέμπτα. τὰ δὲ κε΄ τριακοστὰ πέμπτα ἐστὶ ε΄ ἕβδομα· σχιζόμενα γὰρ τὰ κε΄ καὶ λε΄ εἰς μέρη πέντε τὰ μὲν κε΄ γίνονται ε΄, τὰ δὲ λε΄ γίνονται ζ΄, ἅπερ οὕτως κείμενα $\frac{\varepsilon}{\zeta}$ ἔχοσι τοιοῦτον λόγον, ὃν ἔχοσι καὶ τὰ κε΄ πρὸς τὰ λε΄, τουτέστι πέντε ἕβδομα. ταὐτὸν γάρ ἐστι κε΄ τριακοστὰ πέμπτα καὶ ε΄ ἕβδομα.

τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων πάντων γίνεται μέχρι ἑκατοντάδων καὶ χιλιάδων τζακίσματος καὶ μεριστοῦ. τὸ ἄνωθεν γὰρ γράμμα τοῦ τζακίσματος καὶ τὸ κάτωθεν τοῦ μεριστοῦ, κἄντε ἀνὰ ἑνὸς γράμματός εἰσι κείμενα κἄντε καὶ ἀνὰ πλείστων γραμμάτων – ὅτε τὸ μὲν ἄνωθέν ἐστι γ΄, τὸ δὲ κάτωθεν δ΄ οὕτως κείμενα $\frac{\gamma}{\delta}$, οὐκ ἔχεις εἰπεῖν τρία τέσσερα – ἀσήμως γὰρ φωνεῖ τε καὶ ἀχρήστως – ἀλλ᾽ ἔχεις εἰπεῖν τρία τέταρτα. ἄλλ᾽ οὐδὲ πάλιν ἄνωθεν μὲν ζ΄, κάτωθεν δὲ η΄ οὕτως κείμενα $\frac{\zeta}{\eta}$ ἔχεις

---

32 ἑπτακαιδέκατα] ἑπτα καὶ δέκατα **C sic pro** ἕβδομα καὶ δέκατα – **similiter alia ordinalia composita**

εἰπεῖν ἑπτὰ ὀκτώ, ἀλλὰ ζ΄ ὄγδοα. καὶ ὡς ἐν συντόμῳ εἰπεῖν· καθὼς ἂν δηλῶσι τὰ ἄνωθεν τῆς κεραίας γραμμῆς γράμματα, κἄντε ἕνα ἐστὶ κἄντε καὶ πλείονα, τουτέστι α΄ ἢ β΄ ἢ γ΄ ἢ δ΄ καὶ ἑξῆς ὁμοίως ἢ πάλιν ια΄ ἢ ιβ΄ καὶ ἑξῆς ὁμοίως, μετὰ τῶν [κάτων] κάτωθεν τῆς κεραίας γραμμῆς γραμμάτων ἢ γράμματος, γ΄ δηλονότι ἢ δ΄ ἢ ε΄ καὶ ἑξῆς ὁμοίως ἢ καὶ ιγ΄ καὶ ιδ΄ καὶ ἑξῆς ὁμοίως – καθὼς ἂν δηλῶσι τὰ δύο γράμματα τὰ ἄνω καὶ κάτω τῆς κεραίας γραμμῆς, τὴν αὐτὴν ἀποτελῶσι ποσότητα, τουτέστι β΄ καὶ δ΄ ἐστὶ δύο τέταρτα, γ΄ δὲ καὶ ε΄ ἐστὶ τρία πέμπτα, ε΄ δὲ καὶ ζ΄ ἐστὶ πέντε ἕβδομα, ιβ΄ δὲ καὶ ιε΄ ἐστὶ δώδεκα πεντακαιδέκατα καὶ ἑξῆς ὁμοίως. αὐτὰ γὰρ τὰ ἄνωθεν καὶ κάτωθεν γράμματα μόνα δηλῶσι, τίνα ἂν ἔχωμεν ταῦτα ἀποκαλεῖσθαι φωνὴν καὶ πόσου μέρους ἐστὶ ταῦτα δηλωτικὰ ἑκάτερα συγκρινόμενα.

μγ Περὶ τοῦ πῶς ἔστι ἑνῶσαι δύο τζακίσματα, τουτέστι $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$, καὶ εἰδέναι, πόσα γίνονται ἑνούμενα τὰ δύο μέρη αὐτῶν

Ἔστω ὅτι ἐκ δύο τινῶν διαμερισμῶν ἐναπέμειναν τζακίσματα δύο, τὸ μὲν $\frac{\beta}{\gamma}$, τὸ δὲ $\frac{\gamma}{\delta}$. ζητεῖς δὲ ἑνῶσαι ταῦτα καὶ εἰδέναι, πόσα ἀκέραια γίνονται τὰ δύο μέρη αὐτῶν ἑνωθέντων. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. πολλ(α)πλασίασον τὰς δύο κάτωθεν ψήφους, τουτέστι τὰ γ΄ καὶ δ΄· τρὶς οὖν δ΄ γίνονται ιβ΄ καί ἐστι ταῦτα ἓν σῶμα τῶν δύο μερῶν. δι᾽ αὐτῶν γὰρ τῶν ιβ΄ λαμβάνονται τὰ $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$. λάβε γὰρ τὰ $\frac{\beta}{\gamma}$ τῶν ιβ΄, ἅπερ ἐστὶ η΄. λάβε καὶ τὰ $\frac{\gamma}{\delta}$ τῶν ιβ΄, ἅπερ ἐστὶ θ΄. ἕνωσον δὲ τὰ η΄ μετὰ τῶν θ΄ καὶ γίνονται ὁμοῦ ιζ΄. μέρισ[ισ]ον δὲ τὰ ιζ΄ μετὰ τοῦ σώματος τῶν ιβ΄, καὶ ὁσάκις χωρῶσι τὰ ιβ΄ πρὸς τὰ ιζ΄, τοσαῦ<τα> ἀκέραια γίνονται. χωρῶσι δὲ τὰ ιβ΄ ἐπὶ τῶν ιζ΄ ἅπαξ, περισσεύοσι καὶ ε΄, ἅπερ οὕτως κείμενα $\frac{\varepsilon}{\alpha\,\beta}$ δηλῶσι ε΄ δωδέκατα. καὶ ἰδοὺ ἑνούμενα τὰ $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$ γίνονται τὰ δύο μέρη αὐτῶν ἀκέραιον α΄ καὶ $\frac{\varepsilon}{\alpha\,\beta}$ ἑνὸς ἀκεραίου. Καὶ ἄλλως προχειροτέρως. γράψον τὰ $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$ σύνεγγυς καὶ πάλιν πολ-(λ)απλασίασον τὰ δύο κάτωθεν γράμματα τὰ γ΄ δηλονότι καὶ δ΄· τρὶς οὖν δ΄ γίνονται ιβ΄, ἅπερ ἐστί, ὡς εἴπομεν, ἓν σῶμα τῶν δύο μερῶν. πολλ(α)πλασίασον δὲ καὶ τὰ ἄνωθεν β΄ μετὰ τῶν κάτωθεν δ΄ στ(αυ)ροειδῶς ἐναλλάξ· δὶς οὖν δ΄ γίνονται η΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ ἄνωθεν γ΄ μετὰ τῶν κάτωθεν γ΄ στ(αυ)ροειδῶς ἐναλλάξ· τρὶς οὖν γ΄ γίνονται θ΄. ἕνωσον τὰ η΄ μετὰ τῶν θ΄ καὶ πάλιν γίνονται, ὡς τὸ πρότερον, ιζ΄. μέρισον πάλιν τὰ ιζ΄ μετὰ τοῦ σώματος τῶν ιβ΄, ὁσάκις ἂν χωρῶσι· ἅπαξ οὖν ιβ΄ χωρέσαν ἐπὶ τῶν ιζ΄ ἐστὶ ἀκέραιον α΄, ἀπομένει καὶ τζάκισμα $\frac{\varepsilon}{\alpha\,\beta}$. καὶ ἰδοὺ καὶ οὕτως εὗρες, ὅτι ἑνούμενα τὰ $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$ γίνεται ἀκέραιον α΄ καὶ $\frac{\varepsilon}{\alpha\,\beta}$.

$\frac{\beta}{\gamma}\times\frac{\gamma}{\delta}$

Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, ὡς ἡ μεταχείρισις αὐτὴ προχείρως διασημαίνεται, ποίησον τοῦτο καὶ διὰ τῆς κοινῆς καὶ πολ(ι)τευομένης μεταχειρίσεως. ἔστω γὰρ ὅτι διεμέρισας φλουριά τινα καὶ ἀπέμεινε τζάκισμα $\frac{\beta}{\gamma}$ ἑνὸς φλουριοῦ. ὡσαύτως διεμέρισας καὶ ἕτερα φλουριὰ καὶ ἀπέμεινε τζάκισμα $\frac{\gamma}{\delta}$ ἑνὸς φλουριοῦ. ἕκαστον δὲ φλουρὶ ἔστω ὅτι χρῄζει ὑπέρπυρα ς΄, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄. τὰ $\frac{\beta}{\gamma}$ τῶν ρκ΄ κουκκιῶν ἐστι κουκκιὰ π΄, ἅπερ ἐστὶ ὑπέρπυρα δ΄. τὰ δὲ $\frac{\gamma}{\delta}$ τῶν ρκ΄ κουκκιῶν ἐστι κουκκιὰ ς΄, ἅπερ ἐστὶ ὑπέρπυρα δ΄ κουκκιὰ ι΄. ἕνωσον τὰ δ΄ ὑπέρπυρα, ἅπερ ἐστὶ $\frac{\beta}{\gamma}$ ἑνὸς φλουριοῦ, μετὰ τῶν δ΄ ὑπερπύρων καὶ κουκκιῶν ι΄, ἅπερ ἐστὶ $\frac{\gamma}{\delta}$ ἑνὸς φλουριοῦ, καὶ γίνονται ὁμοῦ ὑπέρπυρα η΄ κουκκιὰ ι΄. ἐπεὶ δὲ εἴπομεν, ὅτι ἕκαστον φλουρὶ ἔστω ὅτι χρῄζει ὑπέρπυρα ς΄,

---

1 ἀλλὰ] ἀλλ᾽ ε **sic C** 13 **in sinistro marg. fol. 30^{v}:** ℳ ζήτει τὸ παρὸν περὶ τὸ τέλος τῆς βίβλου – **cf. cap. 162 libri qui dicitur secundus atque fol. 153^{r} – fol. 156/1^{v}, fol. 158$^{r/v}$ extra librum** 23 σύνεγγυς] σήνέγκης **hic et passim C**

ἄφελε ἅπαξ ὑπέρπυρα ς΄ ὑπὲρ ἑνὸς φλουριοῦ. ἔχεις οὖν φλουρὶ α΄, ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα β΄ κουκκιὰ ι΄, ἅπερ ἐστὶ $\frac{\varepsilon}{\alpha\,\beta}$ τῶν ς΄ ὑπερπύρων, ὧν χρῄζει τὸ φλουρί. τὸ γὰρ δωδέκατον μέρος τῶν ρκ΄ κουκκιῶν ἐστι κουκκιὰ ι΄· ιβ΄κις γὰρ ι΄ ρκ΄ γίνονται. ε΄ δὲ δωδέκατα, τουτέστι ε΄κις κουκκιὰ ι΄, γίνονται κουκκιὰ ν΄, ἅπερ ἐστὶ ὑπέρπυρα β΄ κουκκιὰ ι΄. καὶ ἰδοὺ καὶ διὰ τῆς κοινῆς ταύτης καὶ πολ(ι)τευομένης μεταχειρίσεως εὕρες, ὅτι ἑνωθέντων τῶν $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$ τοῦ ἑνὸς φλουριοῦ γίνονται ὁμοῦ ὑπέρπυρα η΄ κουκκιὰ ι΄, ἅπερ ἐστὶ φλουρὶ α΄ καὶ $\frac{\varepsilon}{\alpha\,\beta}$ ἑνὸς φλουριοῦ, τουτέστι ὑπέρπυρα β΄ κουκκιὰ ι΄.

μδ **Περὶ τοῦ πῶς ἔστι ἑνῶσαι τέσσερα διάφορα τζακίσματα, τουτέστι $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$ καὶ $\frac{\delta}{\varepsilon}$ καὶ $\frac{\varepsilon}{\varsigma}$, καὶ εἰδέναι ἑνωθέντων τούτων πάντων, πόσα ἀκέραια γίνονται**

Ἔστω ὅτι ἐκ διαφόρων τεσσάρων διαμερισμῶν ‖ ἐναπέμειναν τὰ τέσσερα ἀνόμοια ταῦτα τζακίσματα $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$ καὶ $\frac{\delta}{\varepsilon}$ καὶ $\frac{\varepsilon}{\varsigma}$. ζητεῖς δὲ ἑνῶσαι ταῦτα καὶ εἰδέναι, πόσα ἀκέραια γίνονται τὰ τέσσερα μέρη αὐτῶν ἑνωθέντων. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. πολλ(α)πλασίασον πρῶτον τὰ δύο κάτωθεν γράμματα, τὰ γ΄ δηλονότι καὶ δ΄· γ΄ οὖν δ΄κις γίνονται ιβ΄. πολλ(α)πλασίασον δὲ τὰ ιβ΄ μετὰ τοῦ κάτωθεν γράμματος τοῦ τρίτου τζακίσματος, ὅπερ ἐστὶ ε΄· ιβ΄κις οὖν ε΄ γίνονται ξ΄. πολλαπλασίασον δὲ τὰ ξ΄ μετὰ τοῦ κάτωθεν γράμματος τοῦ τετάρτου τζακίσματος, ὅπερ ἐστὶ ς΄· ξ΄κις οὖν ς΄ γίνονται τξ΄. ταῦτα δὲ τὰ τξ΄ ἐστὶ ἓν σῶμα τῶν τεσσάρων τζακισμάτων, δι᾽ οὗ λαμβάνονται τὰ οἰκεῖα μέρη αὐτῶν.

λάβε οὖν τὰ $\frac{\beta}{\gamma}$ τῶν τξ΄, ἅπερ ἐστὶ σμ΄. λάβε καὶ τὰ $\frac{\gamma}{\delta}$ τῶν τξ΄, ἅπερ ἐστὶ σο΄. λάβε καὶ τὰ $\frac{\delta}{\varepsilon}$ τῶν τξ΄, ἅπερ ἐστὶ σπη΄. λάβε καὶ τὰ $\frac{\varepsilon}{\varsigma}$ τῶν τξ΄, ἅπερ ἐστὶ τ΄. ἕνωσον δὲ τὰ σμ΄ καὶ σο΄ καὶ σπη΄ καὶ τ΄ καὶ γίνονται ὁμοῦ ,αϛη΄. μέρισον ταῦτα τὰ ,αϛη΄ μετὰ τῶν τξ΄, ὧν εἴπομεν, ὅτι ἐστὶ ἓν σῶμα τῶν τεσσάρων τζακισμάτων, ἅπερ νῦν ἔχοσι λόγον μεριστοῦ. ὁσάκις δὲ χωρῶσι τὰ τξ΄ ἐπὶ τῶν ,αϛη΄, τοσαῦτα ἀκέραια γίνονται. τὸ δὲ ἐναπομεῖναν μέρος ἐστὶ τζάκισμα συγκρινόμενον μετὰ τοῦ μεριστοῦ, ὅστις ἐστὶ τξ΄. τρὶς οὖν τξ΄ γίνονται ,απ΄, ἀπομένει καὶ τζάκισμα ιη΄. καὶ ἰδοὺ ὁ διαμερισμὸς τῶν ,αϛη΄ μετὰ τῶν τξ΄ ἐστὶ ἀκέραια γ΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\alpha\,\eta}{\gamma\,\varsigma\,\iota\eta}$. οὕτως οὖν, ὡς ὁρᾶται, τὸ τζάκισμα δηλοῖ ιη΄ τριακοσιοστὰ ἑξηκοστά. σχίσον δὲ τὰ ιη΄ εἰς μέρη ιη΄ καὶ γίνεται ἕκαστον αὐτῶν μέρος α΄. σχίσον καὶ τὰ τξ΄ εἰς μέρη ιη΄ καὶ γίνεται ἕκαστον μέρος κ΄· ιη΄κις γὰρ κ΄ τξ΄ γίνονται. α΄ δὲ καὶ κ΄ οὕτως κείμενα $\frac{\alpha}{\beta\,\iota\eta}$ δηλῶσι ἕνα εἰκοστόν· ὃν γὰρ λόγον ἔχοσι τὰ ιη΄ πρὸς τὰ τξ΄, τὸν αὐτὸν ἔχει καὶ τὸ α΄ πρὸς τὰ κ΄. καὶ ἰδοὺ τὰ τέσσερα τζακίσματα ἑνούμενα γίνονται ἀκέραια γ΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\alpha}{\beta\,\iota\eta}$, ὅπερ ἐστὶ ἕνα εἰκοστὸν ἑνὸς ἀκεραίου.

α α α γ ϛ η γ ϛ ιη γ καὶ $\frac{\alpha\,\eta}{\gamma\,\varsigma\,\iota\eta}$	β δ ιη β ζ ιη β η η γ ιη ιη α ιη ϑ η

Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, ὡς ἡ μεταχείρισις αὐτὴ προχείρως διασημαίνεται, ποίησον τοῦτο καὶ διὰ τῆς κοινῆς καὶ πολιτευομένης μεταχειρίσεως. ἔστω γὰρ ἕκαστον φλουρὶ ὑπέρπυρα ς΄, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄. τὰ $\frac{\beta}{\gamma}$ τῶν ς΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα δ΄. τὰ $\frac{\gamma}{\delta}$ τῶν ς΄ ὑπερπύρων, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄, ἔστι κουκκιὰ ϛ΄, τουτέστι ὑπέρπυρα δ΄ κουκκιὰ ι΄. τὰ $\frac{\delta}{\varepsilon}$ τῶν ρκ΄ κουκκιῶν ἐστι κουκκιὰ ϛς΄, ἅπερ ἐστὶ ὑπέρπυρα δ΄ κουκκιὰ ις΄. τὰ $\frac{\varepsilon}{\varsigma}$ τῶν ρκ΄ κουκκιῶν ἐστι κουκκιὰ

‖ δ	
$^{(\alpha)}_{\|}$ δ $^{(\alpha)}_{:}$ ι	
$^{(\alpha)}_{\|}$ δ $^{(\alpha)}_{:}$ ις	
$^{(\alpha)}_{\|}$ ε	
ὁμοῦ ‖ η ⁝ ς	

3 δωδέκατον] $\overset{\alpha}{\iota\beta}$ του **C** 14 γ΄ οὖν] $\overset{\eta\varsigma}{\Gamma}$ οὖν **C, hic nota non pro** τρὶς οὖν, **sed pro** τρεῖς οὖν **adhibita**

ρ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ε΄. ἕνωσον ταῦτα πάντα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ιη΄ κουκκιὰ ς΄. ἐπεὶ δὲ εἴπομεν, ὅτι ἕκαστον φλουρὶ χρῄζει ὑπέρπυρα ς΄, τὰ ιη΄ ὑπέρπυρα γίνονται φλουριὰ γ΄. τὰ δὲ ς΄ κουκκιά ἐστι ἕνα εἰκοστὸν τῶν ρκ΄ κουκκιῶν· ς΄κις γὰρ κ΄ ρκ΄ γίνονται. καὶ ἰδοὺ καὶ οὕτως εὗρες, ὅτι τὰ τέσσερα τζακίσματα γίνονται ὁμοῦ φλουριὰ γ΄ καὶ κουκκιὰ ς΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\beta\,\mu}$.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διαφόρων ἀνομοίων τζακισμάτων διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

με **Περὶ τοῦ πῶς ἔστι ἀφελεῖν $\frac{\beta}{\gamma}$ ἐκ τῶν $\frac{\gamma}{\delta}$ καὶ εἰδέναι τὸ ἐναπομένον, πόσον ἐστί**

Ἔστω δὲ ὅτι ζητεῖς ἀφελεῖν $\frac{\beta}{\gamma}$ ἐκ τῶν $\frac{\gamma}{\delta}$ καὶ εἰδέναι τὸ ἐναπομένον μέρος, πόσον ἐστί. πολλ(α)πλασίασον τὰ κάτωθεν δύο ψήφους, τουτέστι τὰ γ΄ καὶ δ΄, καθὼς καὶ πρότερον οὕτως ἐποίησας· τρὶς οὖν δ΄ γίνονται ιβ΄. ἔστι δὲ ταῦ<τα> ἓν σῶμα τῶν δύο μερῶν. λάβε δὲ πάλιν $\frac{\beta}{\gamma}$ τῶν ιβ΄, ἅπερ ἐστὶ η΄. λάβε καὶ $\frac{\gamma}{\delta}$ τῶν ιβ΄, ἅπερ ἐστὶ ϑ΄. ἄφελε τὰ η΄, ἅπερ ἐστὶ $\frac{\beta}{\gamma}$, ἐκ τῶν ϑ΄, ἅπερ ἐστὶ $\frac{\gamma}{\delta}$· περισσεύει καὶ α΄ μέχρι τῶν ϑ΄. τὸ δὲ α΄, ὅπερ περισσεύει, μετὰ τῶν ιβ΄ οὕτως κείμενον $\frac{\alpha}{\alpha\,\beta}$ δηλοῖ ἕνα δωδέκατον. καὶ ἰδοὺ εὗρες, ὅτι ἀφαιρουμένων τῶν $\frac{\beta}{\gamma}$ ἐκ τῶν $\frac{\gamma}{\delta}$ τὸ ἐναπομένον ἐστὶ ἕνα δωδέκατον ἑνὸς ἀκεραίου.

Καὶ ἄλλως προχειροτέρως. γράψον σύνεγγυς τὰ $\frac{\beta}{\gamma}$ καὶ $\frac{\gamma}{\delta}$, καθὼς καὶ πρότερον οὕτως ἐποίησας, καὶ πάλιν πολλ(α)πλασίασον τὰ δύο κάτωθεν γράμματα, τὰ γ΄ δηλονότι καὶ δ΄· τρεῖς οὖν δ΄κις γίνονται ιβ΄, ἅπερ ἐστὶ ἓν σῶμα τῶν δύο μερῶν. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν β΄ μετὰ τῶν κάτωθεν δ΄ στ(αυ)ροειδῶς ἐναλλάξ· δὶς οὖν δ΄ γίνονται η΄. πολλ(α)πλασίασον καὶ τὰ κάτωθεν γ΄ μετὰ τῶν ἄνωθεν γ΄ ἐναλλάξ· τρὶς οὖν γ΄ γίνονται ϑ΄. ἄφελε δὲ τὰ η΄, ἅπερ ἐστὶ $\frac{\beta}{\gamma}$, ἐκ τῶν ϑ΄, ὧν ἐστι $\frac{\gamma}{\delta}$, καὶ περισσεύει καὶ α΄ μέχρι τῶν ϑ΄. τὸ δὲ α΄ μετὰ τῶν ιβ΄ οὕτως κείμενον $\frac{\alpha}{\alpha\,\beta}$ δηλοῖ ἕνα δωδέκατον. καὶ ἰδοὺ καὶ οὕτως ἀφαιρουμένων τῶν $\frac{\beta}{\gamma}$ ἐκ τῶν $\frac{\gamma}{\delta}$ ἐναπομένει ἔτι καὶ ἕνα δωδέκατον ἑνὸς ἀκεραίου.

$\frac{\beta}{\gamma} \times \frac{\gamma}{\delta}$


Ποίησον τοῦτο καὶ διὰ τῆς κοινῆς καὶ πολιτευομένης μεταχειρίσεως. τὸ α΄ φλουρί, ὡς εἴπομεν, χρῄζει ὑπέρπυρα ς΄, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν ρκ΄ κουκκιῶν ἐστι κουκκιὰ π΄, ἅπερ ἐστὶ ὑπέρπυρα δ΄. τὰ δὲ $\frac{\gamma}{\delta}$ τῶν ρκ΄ κουκκιῶν ἐστι κουκκιὰ ς΄, ἅπερ ἐστὶ ὑπέρπυρα δ΄ κουκκιὰ ι΄. ἄφελε οὖν τὰ δ΄ ὑπέρπυρα, ἅπερ ἐστὶ $\frac{\beta}{\gamma}$, ἐκ τῶν δ΄ ὑπερπύρων καὶ κουκκιῶν ι΄, ἅπερ ἐστὶ $\frac{\gamma}{\delta}$, καὶ περισσεύοσι ἔτι καὶ κουκκιὰ ι΄. τὰ δὲ κουκκιὰ ι΄ ἐστὶ ἕνα δωδέκατον τῶν ρκ΄ κουκκιῶν· ι΄κις γὰρ ιβ΄ ρκ΄ γίνονται. καὶ ἰδοὺ καὶ διὰ κοινῆς καὶ πολ(ι)τευομένης ταύτης μεταχειρίσεως εὗρες, ὅτι

---

5 $\frac{\alpha}{\beta\,\mu}$] **sc.** ἑνὸς φλουριοῦ

8 **ad titulum huius capitis in inf. marg. fol. 31^{r} scriptum (cf. f. 126^{v} – f. 140^{r} ed. HUNGER/VOGEL 1963):**

ὀφειλμὸς τζακισμάτων



13. 23 $\frac{\beta}{\gamma}$ **sc.** τῶν ιβ΄ 13. 23 $\frac{\gamma}{\delta}$ **sc.** τῶν ιβ΄ 15 ἐναπομένον] ενναπομενον **C** 21 δὶς οὖν δ΄] $\overset{\eta\varsigma}{\beta}$ οὖν $\overset{\alpha}{\delta}$κοις **C** 29 $\frac{\beta}{\gamma}$ **sc.** τῶν ρκ΄ ὑπερπύρων 30 $\frac{\gamma}{\delta}$ **sc.** τῶν ρκ΄ ὑπερπύρων

ἀφαιρουμένων $\frac{\beta}{\gamma}$ ἐκ τῶν $\frac{\gamma}{\delta}$ ἀπομένοσι κουκκιὰ ι΄, ἅπερ ἐστὶ ἕνα δωδέκατον τῶν ρκ΄ κουκκιῶν, τουτέστι τῶν ς΄ ὑπερπύρων, ὧν χρῄζει φλουρὶ α΄.
ὡσαύτως καὶ πᾶν ἕτερον ὅμοιον ζήτημα, κἂντε ἑνῶσαι βούλ(ῃ) κἂντε ἀφελεῖν, διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

μς **Περὶ τοῦ πῶς ἔστι εἰδέναι τὰ $\frac{\zeta}{\eta}$, πόσα $\frac{\alpha}{\varepsilon}$ γίνονται**

Ἔστω ὅτι ζητεῖς εἰδέναι τὰ $\frac{\zeta}{\eta}$, πόσα $\frac{\alpha}{\varepsilon}$ γίνονται. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως· γράψον ταῦτα σύνεγγυς, πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν ζ΄ μετὰ τῶν κάτωθεν ε΄ στ(αυ)ροειδῶς ἐναλλάξ· ζ΄κις οὖν ε΄ γίνονται λε΄. πολλ(α)πλασίασον δὲ καὶ τὸ ἄνωθεν α΄ μετὰ τῶν κάτωθεν η΄ στ(αυ)ροειδῶς ἐναλλάξ· ἅπαξ οὖν η΄ πάλιν ἐστὶ η΄. καὶ τὰ μὲν λε΄ ἐστὶ σῶμα, τὰ δὲ η΄ ἐστὶ μεριστὴς τοῦ σώματος || τῶν λε΄. μέρισον δὲ τὰ λε΄ μετὰ τοῦ μεριστοῦ, τουτέστι μετὰ τῶν η΄, καὶ ὁσάκις χωρῶσι τὰ η΄ πρὸς τὰ λε΄, τοσαῦτα $\frac{\alpha}{\varepsilon}$ ποιῶσι τὰ $\frac{\zeta}{\eta}$. τὰ δὲ η΄ πρὸς τὰ λε΄ χωρῶσι δ΄κις· δ΄κις γὰρ η΄ γίνονται λβ΄. ἀπομένοσι καὶ γ΄ τζάκισμα, ἅπερ οὕτως κείμενα $\frac{\gamma}{\eta}$ δηλῶσι τρία ὄγδοα. καὶ ἰδοὺ τὰ $\frac{\zeta}{\eta}$ γίνονται πέμπτα δ΄ καὶ τρία ὄγδοα ἑνὸς πέμπτου.

$\frac{\zeta}{\eta} \times \frac{\alpha}{\varepsilon}$

γ
ϛ ε
η

δ καὶ $\frac{\gamma}{\eta}$

f. 31^{v}

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἕκαστον τῶν $\frac{\zeta}{\eta}$ ἐστὶ ἔλαττον τοῦ $\frac{\alpha}{\varepsilon}$ καὶ τοσοῦτον ἔλαττο, ὅσον ἐστὶ τὰ $\frac{\gamma}{\eta}$ τοῦ $\frac{\alpha}{\varepsilon}$. ἑνωθέντος γὰρ τοῦ ἑνὸς ὀγδόου μετὰ τῶν τριῶν ὀγδόων τοῦ ἑνὸς πέμπτου γίνονται τὰ δύο ἑνούμενα, ὅσον ἐστὶ ἕκαστον μέρος τοῦ ἑνὸς πέμπτου.

Ἵνα δὲ ἴδῃς, ὅτι τὰ $\frac{\zeta}{\eta}$ γίνονται πέμπτα δ΄ καὶ $\frac{\gamma}{\eta}$ ἑνὸς πέμπτου καὶ ὅτι ἑνωθέντος $\frac{\alpha}{\eta}$ μετὰ τῶν $\frac{\gamma}{\eta}$ τοῦ ἑνὸς πέμπτου γίνονται τὰ δύο ταῦτα ἑνούμενα, ὅσον ἐστὶ ἕκαστον μέρος τοῦ ἑνὸς πέμπτου, φέρε ποιήσωμεν τοῦτο διὰ τῆς κοινῆς καὶ πολ(ι)τευομένης μεταχειρίσεως. ἔστω σῶμα ἓν ὑπέρπυρα π΄. τὰ $\frac{\zeta}{\eta}$ τῶν π΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα ο΄· τὸ γὰρ ἕνα ὄγδοον τῶν π΄ ἐστὶ ὑπέρπυρα ι΄, τὰ δὲ $\frac{\zeta}{\eta}$ ἐστὶ ζ΄κις ὑπέρπυρα ι΄, ἅπερ ἐστὶ ὑπέρπυρα ο΄. τὰ δὲ ο΄ ὑπέρπυρα, ἅπερ ἐστὶ $\frac{\zeta}{\eta}$ τῶν π΄ ὑπερπύρων – λέγει ἡμῖν ἡ πρόχειρος μεταχείρισις, ὅτι γίνονται πέμπτα δ΄ καὶ $\frac{\gamma}{\eta}$ τοῦ ἑνὸς πέμπτου.
τὸ πέμπτον δὲ τῶν π΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα ις΄· ε΄κις γὰρ ις΄ π΄ γίνονται. τὰ δὲ δ΄ πέμπτα ἐστὶ δ΄κις ὑπέρπυρα ις΄, ἅπερ ἐστὶ ὑπέρπυρα ξδ΄. λείπονται καὶ ὑπέρπυρα ς΄ μέχρι τῶν ο΄ ὑπερπύρων, ὧν εἴπομεν, ὅτι τὰ $\frac{\zeta}{\eta}$ τῶν π΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα ο΄. τὰ δὲ ς΄ ὑπέρπυρα πρὸς τὰ ις΄ ὑπέρπυρα τοῦ ἑνὸς πέμπτου ἔχοσι λόγον, ὃν ἔχοσ(ι) τὰ γ΄ πρὸς τὰ η΄. σχιζόμενα γὰρ τὰ ς΄ καὶ τὰ ις΄ γίνονται γ΄ καὶ η΄, ἅπερ οὕτως κείμενα $\frac{\gamma}{\eta}$ δηλῶσι τρία ὄγδοα τῶν ις΄ ὑπερπύρων, ὧν οἰκειοῦται ἕκαστον πέμπτον ἐκ τῶν π΄ ὑπερπύρων. καὶ ἰδοὺ τὰ $\frac{\zeta}{\eta}$ τῶν π΄ ὑπερπύρων, ἅπερ ἐστὶ ὑπέρπυρα ο΄, γίνονται πέμπτα δ΄ καὶ $\frac{\gamma}{\eta}$ ἑνὸς πέμπτου, ὡς καὶ διὰ τῆς προχείρου μεταχειρίσεως εὕρομεν οὕτως.
ζήτει τὸ $\frac{\alpha}{\eta}$ τῶν π΄ ὑπερπύρων· τὸ δὲ ἕνα ὄγδοον τῶν π΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα ι΄, καθὼς καὶ τὰ $\frac{\zeta}{\eta}$ ἐστὶ ὑπέρπυρα ο΄. τὰ δὲ ς΄ ὑπέρπυρα, ἅπερ λείπονται τὰ ξδ΄ ὑπέρπυρα πρὸς τὸ γενέσθαι ὑπέρπυρα ο΄, ἔστι $\frac{\gamma}{\eta}$ τῶν ις΄ ὑπερπύρων, ὧν εἴπομεν, ὅτι οἰκειοῦται τὸ ἕνα πέμπτον ἐκ τῶν π΄ ὑπερπύρων. ἕνωσον δὲ τὸ $\frac{\alpha}{\eta}$, ἅπερ ἐστὶ ὑπέρπυρα ι΄, μετὰ τῶν $\frac{\gamma}{\eta}$, ἅπερ ἐστὶ ὑπέρπυρα ς΄, καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ις΄, καθώς ἐστι καὶ τὸ ἕνα πέμπτον ὑπέρπυρα ις΄. καὶ ἰδού, καθὼς εἴπομεν, τὸ $\frac{\alpha}{\eta}$ ἐστὶ ἔλαττο τοῦ $\frac{\alpha}{\varepsilon}$, ὅσον ἐστὶ τὰ $\frac{\gamma}{\eta}$ τοῦ ἑνὸς πέμπτου. ἑνωθέντος γὰρ τοῦ $\frac{\alpha}{\eta}$ καὶ τῶν $\frac{\gamma}{\eta}$

---

18 ὀγδόου] ἑβδόμου **C falso** 20.36.39.41.42 $\frac{\alpha}{\eta}$] $\frac{\alpha}{\zeta}$ **C** 36 ὄγδοον] ἕβδομον **C iterum falso** 40 $\frac{\gamma}{\eta}$] τοῦ ἑνὸς πέμπτου **supplendum**

τοῦ ἑνὸς πέμπτου γίνεται, ὅσον ἐστὶ τὸ ἕνα πέμπτον, ὡς εἴπομεν ἄνωθεν.
ὡσαύτως καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης προχείρου μεταχειρίσεως ἔχεις εἰδέναι, καὶ τὰ $\frac{\delta}{\varepsilon}$, πόσα $\frac{\alpha}{\delta}$ γίνονται, καὶ τὰ $\frac{\varepsilon}{\varsigma}$, πόσα $\frac{\alpha}{\gamma}$ γίνονται, καὶ ἑξῆς ὁμοίως. ἔχεις δὲ εἰδέναι, καὶ πόσον μέρος λείπεται τὸ $\frac{\text{Ϛ}}{\varepsilon}$ πρὸς τὸ γενέσθαι $\frac{\alpha}{\delta}$ καὶ τὸ $\frac{\alpha}{\varsigma}$ πρὸς τὸ γενέσθαι $\frac{\alpha}{\gamma}$ καὶ ἑξῆς ὁμοίως.

μζ Περὶ τοῦ πῶς ἔστι εἰδέναι, ποῖόν ἐστι πλέον, τὰ $\frac{\varepsilon}{\varsigma}$ ἢ τὰ $\frac{\eta}{\phi}$, καὶ πῶς ἔστι προσθεῖναι ἐπὶ τῶν $\frac{\varepsilon}{\varsigma}$, ὅσον λείπεται γενέσθαι $\frac{\eta}{\phi}$

Ἔστω ὅτι ζητεῖς εἰδέναι, ποῖόν ἐστι πλέον, τὰ $\frac{\varepsilon}{\varsigma}$ ἢ τὰ $\frac{\eta}{\phi}$, καὶ πόσον ἐστὶ πλέον τὸ ὑπερέχον μέρος ἐκ τοῦ ἐλλείποντος. προστιθέμενον δὲ τὸ ὑπερέχον ἐπὶ τοῦ ἐλλείποντος γενήσεται τὸ ἐλλεῖπον, ὅσον ἐστὶ καὶ τὸ ὑπερέχον.
ἔχεις δὲ ταῦτα μεταχειρίσασθαι οὕτως. γράψον τὰ σχήματα αὐτῶν σύνεγγυς. πολλ(α)πλασίασον δὲ τὰς κάτωθεν δύο ψήφους, τὰ ϛ΄ δηλονότι καὶ τὰ θ΄· ϛ΄κις οὖν θ΄ γίνονται νδ΄. ἔστι δὲ ταῦ<τα> ἓν σῶμα τῶν δύο μερῶν, δι᾽ οὗ τὰ $\frac{\varepsilon}{\varsigma}$ καὶ τὰ $\frac{\eta}{\phi}$ λαμβάνονται. λάβε δὲ τὰ $\frac{\varepsilon}{\varsigma}$ τῶν νδ΄, ἅπερ ἐστὶ με΄· τὸ γὰρ ἕκτον τῶν νδ΄ ἐστὶ θ΄, ε΄κις δὲ θ΄ με΄ γίνονται. λάβε καὶ τὰ $\frac{\eta}{\phi}$ τῶν νδ΄, ἅπερ ἐστὶ μη΄· τὸ γὰρ ἔνατον τῶν νδ΄ ἐστὶ ϛ΄, η΄κις δὲ ϛ΄ μη΄ γίνονται. ἔστι δὲ τὰ $\frac{\eta}{\phi}$ τῶν νδ΄ μη΄, τὰ δὲ $\frac{\varepsilon}{\varsigma}$ τῶν νδ΄ ἐστὶ με΄. καὶ ἰδοὺ τὰ $\frac{\eta}{\phi}$ ἐστὶ πλείω γ΄ πεντηκοστὰ τέταρτα ἐκ τῶν $\frac{\varepsilon}{\varsigma}$. τὰ γὰρ $\frac{\varepsilon}{\varsigma}$ ἐστὶ με΄, τὰ δὲ $\frac{\eta}{\phi}$ ἐστὶ μη΄, τουτέστι γ΄ πλέον τῶν με΄ τῶν ἐπέχοντα λόγον $\frac{\varepsilon}{\varsigma}$. τὰ δὲ γ΄, ἅπερ ἔχουσι πλείω τὰ μη΄ ἐκ τῶν με΄, τουτέστι τὰ $\frac{\eta}{\phi}$ ἐκ τῶν $\frac{\varepsilon}{\varsigma}$, συγκρινόμενα μετὰ τῶν νδ΄ ἔχουσι λόγον, ὃν ἔχει τὸ α΄ πρὸς τὰ ιη΄, τουτέστι ἕνα ὀκτακαιδέκατον. σχίσον γὰρ τὰ γ΄ εἰς μέρη τρία καὶ γίνεται ἕκαστον μέρος τῶν τριῶν ἀνὰ α΄, σχίσον καὶ τὰ νδ΄ εἰς μέρη τρία καὶ γίνεται ἕκαστον μέρος τῶν τριῶν ἀνὰ ιη΄, ἅπερ οὕτως κείμενα $\frac{\alpha}{\text{ιη}}$ δηλῶσι ἕνα ὀκτακαιδέκατον ἑνὸς ἀκεραίου σώματος. καὶ ἰδοὺ εὕρες, ὅτι τὰ $\frac{\eta}{\phi}$ ἐστὶ πλείω τῶν $\frac{\varepsilon}{\varsigma}$. εὗρες δέ, ὅτι ἐστὶ πλείω τὰ $\frac{\eta}{\phi}$ ἐκ τῶν $\frac{\varepsilon}{\varsigma}$ $\frac{\alpha}{\text{ιη}}$ ἑνὸς ἀκεραίου σώματος. προστιθεμένου δὲ τοῦ ἑνὸς ὀκτακαιδεκάτου, ταὐτὸν δ᾽ εἰπεῖν τῶν γ΄ πεντηκοστῶν τετάρτων, ἐπὶ τῶν $\frac{\varepsilon}{\varsigma}$ γενήσονται τὰ $\frac{\varepsilon}{\varsigma}$, ὅσον ἐστὶ καὶ τὰ $\frac{\eta}{\phi}$.

$\frac{\varepsilon}{\varsigma} \times \frac{\eta}{\phi}$

εἰ βούλ(ει) δὲ εἰδέναι τὰ $\frac{\varepsilon}{\varsigma}$ καὶ $\frac{\eta}{\phi}$ ἑνο<ύ>μενα τὰ δύο μέρη αὐτῶν, πόσα ἀκέραια γίνονται, ἕνωσον τὰ με΄, ἅπερ οἰκειοῦνται τὰ $\frac{\varepsilon}{\varsigma}$ ἐκ τῶν νδ΄, μετὰ τῶν μη΄, ὧν οἰκειοῦνται τὰ $\frac{\eta}{\phi}$ ἐκ τῶν νδ΄, καὶ γίνονται ὁμοῦ Ϛγ΄. μέρισον τὰ Ϛγ΄ μετὰ τῶν νδ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς α΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\gamma\,\phi}{\varepsilon\,\delta}$, ὅπερ δηλοῖ λθ΄ πεντηκοστὰ τέταρτα. τὰ δὲ λθ΄ πεντηκοστὰ τέταρτα ἔχουσι λόγον, ὃν ἔχουσι καὶ τὰ ιγ΄ πρὸς τὰ ιη΄, τουτέστι ιγ΄ ὀκτακαιδέκατα. σχίσον γὰρ τὰ λθ΄ εἰς μέρη τρία καὶ γίνεται ἕκαστον μέρος τῶν τριῶν ἀνὰ ιγ΄, σχίσον καὶ τὰ νδ΄ εἰς μέρη τρία

γ
φ $\frac{\gamma\,\phi}{\varepsilon\,\delta}$
δ
ε

α καὶ $\frac{\alpha\,\gamma}{\alpha\,\eta}$

---

in sinistro marg. fol. 31^{v} de capitibus 45, 46, 47: τὰ παρόντα τρία κεφάλαια, τὸ με΄ καὶ μϛ΄ καὶ μζ΄ καὶ τὸ ἔχον τὸ παρὸν σημεῖον ℭ, γράψον ταῦτα πρὸ τοῦ ρμδ΄ κεφαλαίου **(cf. librum qui dicitur secundus)**· ἐνταῦτα **(sic!)** γὰρ οὐ κεῖτονται χρησίμως.
in sinistro marg. fol. 31^{v} ad titulum cap. 47: ℭ ζήτει τὸ παρὸν σημεῖον ἔμπροσθεν περὶ τὸ τέλος τῆς βίβλου

17 post με΄ **in sinistro marg. fol. 31^{v}:** καὶ ἄλλως· πολλ(α)πλασίασον τὰ ἄνωθεν ε΄ μετὰ τῶν κάτωθεν θ΄ ἐναλλάξ· ε΄κις οὖν θ΄ γίνονται με΄. πολλ(α)πλασίασον καὶ τὰ κάτωθεν ϛ΄ μετὰ τῶν ἄνωθεν η΄ ἐναλλάξ· ϛ΄κις οὖν η΄ γίνονται μη΄.

26 τῶν γ΄ πεντηκοστῶν τετάρτων] τῶν $^{\omega\nu}\gamma^{\omega\nu}$ νδ **C** **32/33** πεντηκοστὰ τέταρτα] $^{\alpha}$νδ **C**

καὶ γίνεται ἕκαστον μέρος τῶν τριῶν ἀνὰ ιη΄, ἅπερ οὕτως κείμενα $\frac{\iota\gamma}{\iota\eta}$ δηλῶσι ιγ΄ ὀκτακαιδέκατα ἑνὸς ἀκεραίου. καὶ ἰδοὺ τὰ $\frac{\varepsilon}{\varsigma}$ καὶ $\frac{\eta}{\phi}$ ἑνούμενα γίνονται ἀκέραιον α΄ καὶ $\frac{\iota\gamma}{\iota\eta}$ ἑνὸς ἀκεραίου.

Καὶ τὸ ἀνάπαλι(ν). ἔστω ὅτι ζητεῖς ἀφελεῖν ἐκ τῶν $\frac{\eta}{\phi}$ τὸ περισσότερον τῶν $\frac{\varepsilon}{\varsigma}$. καὶ πάλιν πολλ(α)πλασίασον τὰ δύο κάτωθεν γράμματα, τὰ ς΄ καὶ θ΄ δηλονότι· ς΄κις οὖν θ΄ γίνονται νδ΄. πολλ(α)πλασίασον δὲ ἐναλλὰξ τὰ ἄνωθεν || ε΄ μετὰ τῶν f. 32^{r}
κάτωθεν θ΄· ε΄κις οὖν θ΄ γίνονται με΄. καὶ τὰ κάτωθεν ς΄ μετὰ τῶν ἄνωθεν η΄ ἐναλλάξ· ς΄κις οὖν η΄ γίνονται μη΄. καὶ τὰ μὲν με΄ ἐστὶ $\frac{\varepsilon}{\varsigma}$, τὰ δὲ μη΄ ἐστὶ $\frac{\eta}{\phi}$. ἄφελε οὖν τὰ γ΄, ἅπερ περισσεύοσι ἐκ τῶν μη΄, καὶ ἀπομένοσι με΄. τὰ δὲ γ΄ ἐστὶ ἕνα ὀκτακαιδέκατον. ἄφελε δὲ $\frac{\alpha}{\iota\eta}$ ἐκ τῶν $\frac{\eta}{\phi}$ καὶ ἀπομένοσι με΄, τουτέστι $\frac{\varepsilon}{\varsigma}$. καὶ ἰδοὺ ἀφεῖλες τὸ περισσεῦον τῶν $\frac{\eta}{\phi}$, ὅπερ ἐστὶ $\frac{\alpha}{\iota\eta}$ ἑνὸς ἀκεραίου.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὰ δηλωθέντα ζητήματα.

μη

Περὶ τοῦ πῶς ἔστι πολλ(α)πλασιάσαι $\frac{\alpha}{\beta}$ μετὰ $\frac{\alpha}{\beta}$, καὶ $\frac{\alpha}{\gamma}$ μετὰ $\frac{\alpha}{\gamma}$, καὶ β΄ καὶ $\frac{\alpha}{\delta}$ μετὰ $\frac{\beta}{\gamma}$, καὶ β΄ καὶ $\frac{\gamma}{\delta}$ μετὰ γ΄ καὶ $\frac{\delta}{\varepsilon}$, καὶ ἑξῆς ὁμοίως

Ἔστω ὅτι βούλ(ει) πολλ(α)πλασιάσαι $\frac{\alpha}{\beta}$ μετὰ $\frac{\alpha}{\beta}$ καὶ εἰδέναι ὁ τούτων πολλ(α)πλασιασμός, πόσος γίνεται. καὶ πρῶτον δεῖ τοῦτο εἰδέναι, ὅτι πᾶν τζάκισμα ἔλαττόν ἐστι ἑνὸς ἀκεραίου, διὸ καὶ τζάκισμα λέγεται. ἐπεὶ δὲ πᾶν τζάκισμα ἔλαττόν ἐστι ἑνὸς ἀκεραίου, τζάκισμα μετὰ τζακίσματος πολλ(α)πλασιαζόμενον ὁ τούτων πολλ(α)πλασιασμὸς οὐκ αὔξεται, ἀλλὰ ἐλαττοῦται μάλιστα. πολλ(α)πλασιαζόμενον γὰρ $\frac{\alpha}{\beta}$ μετὰ $\frac{\alpha}{\beta}$ ὁ τούτων πολλ(α)πλασιασμὸς γίνεται $\frac{\alpha}{\delta}$, καὶ γὰρ $\frac{\alpha}{\beta}$κις $\frac{\alpha}{\beta}$, ταὐτὸν γὰρ εἰπεῖν τὸ ἥμισυ τοῦ μισοῦ, ἔστι $\frac{\alpha}{\delta}$. πολλ(α)πλασιαζόμενον δὲ καὶ $\frac{\alpha}{\gamma}$ μετὰ τοῦ $\frac{\alpha}{\gamma}$ – $\frac{\alpha}{\gamma}$κις $\frac{\alpha}{\gamma}$, ταὐτὸν γὰρ εἰπεῖν τὸ τρίτον τοῦ τρίτου, ἔστι $\frac{\alpha}{\phi}$. ὁ δὲ τούτων πολλ(α)πλασιασμὸς τεχνικῶς γίνεται οὕτως.

Θὲς τὸ μισὸν μετὰ τοῦ μισοῦ σύνεγγυς $\frac{\alpha}{\beta}$ $\frac{\alpha}{\beta}$. πολλ(α)πλασίασον δὲ τὰς ἄνωθεν δύο ψήφους· ἅπαξ οὖν α΄ πάλιν ἐστὶ α΄. πολλ(α)πλασίασον καὶ τὰς κάτωθεν δύο ψήφους· δὶς οὖν β΄ γίνονται δ΄, ἅπερ οὕτως κείμενα $\frac{\alpha}{\delta}$ δηλῶσι ἕνα τέταρτον.

$\frac{\alpha}{\gamma}$ μετὰ τοῦ $\frac{\alpha}{\gamma}$ πολλ(α)πλασιαζόμενα

Θὲς τὸ $\frac{\alpha}{\gamma}$ μετὰ τοῦ $\frac{\alpha}{\gamma}$ σύνεγγυς. πολλ(α)πλασίασον δὲ τὰς ἄνωθεν δύο ψήφους· ἅπαξ οὖν α΄ πάλιν ἐστὶ α΄. πολλ(α)πλασίασον καὶ τὰς κάτωθεν δύο ψήφους· τρὶς οὖν γ΄ γίνονται θ΄, ἅπερ οὕτως κείμενα $\frac{\alpha}{\phi}$ δηλῶσι ἕνα ἔννατον. καὶ ἰδοὺ πολλ(α)πλασιαζόμενον $\frac{\alpha}{\beta}$ μετὰ $\frac{\alpha}{\beta}$ ὁ τούτων πολλ(α)πλασιασμὸς ἐλαττούμενος γίνεται $\frac{\alpha}{\delta}$, πολλ(α)πλασιαζόμενον δὲ καὶ $\frac{\alpha}{\gamma}$ μετὰ τοῦ $\frac{\alpha}{\gamma}$ ὁ τούτων πολλ(α)πλασιασμὸς ἐλαττούμενος γίνεται $\frac{\alpha}{\phi}$.

$\frac{\alpha}{\gamma}$ μετὰ τοῦ $\frac{\alpha}{\delta}$ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὰς ἄνωθεν δύο ψήφους· ἅπαξ οὖν α΄ πάλιν ἐστὶ α΄. πολλ(α)πλασίασον καὶ τὰς κάτωθεν δύο ψήφους· γ΄ οὖν δ΄κις γίνονται ιβ΄, ἅπερ οὕτως κείμενα $\frac{\alpha}{\alpha\,\beta}$ δηλῶσι ἕνα δωδέκατον. καὶ ἰδοὺ τὸ $\frac{\alpha}{\gamma}$ μετὰ τοῦ $\frac{\alpha}{\delta}$ πολλ(α)πλασιαζόμενα ὁ τούτων πολλ(α)πλασιασμὸς ἐλαττούμενος γίνεται ἕνα δωδέκατον ἑνὸς ἀκεραίου.

$\frac{\gamma}{\delta}$ μετὰ $\frac{\delta}{\varepsilon}$ πολλ(α)πλασιαζόμενα

Πολλ(α)πλασίασον τὰς ἄνωθεν δύο ψήφους· τρεῖς οὖν δ΄κις γίνονται ιβ΄. πολλ(α)πλασίασον καὶ τὰς κάτωθεν δύο ψήφους· δ΄κις οὖν ε΄ γίνονται κ΄, ἅπερ οὕτως κείμενα $\frac{\alpha\,\beta}{\beta\,\eta}$ δηλῶσι ιβ΄ εἰκοστά. σχιζόμενα δὲ γίνονται $\frac{\varsigma}{\alpha\,\eta}$, σχιζόμενα δὲ πάλιν τὰ ς΄ δέκατα γίνονται $\frac{\gamma}{\varepsilon}$. καὶ ἰδοὺ τὰ $\frac{\gamma}{\delta}$ μετὰ τῶν $\frac{\delta}{\varepsilon}$ πολλ(α)πλασιαζόμενα ὁ τούτων πολ-


---

40 τρεῖς] τρὶς **C**

λ(α)πλασιασμὸς ἐλαττούμενος γίνεται $\frac{\gamma}{\varepsilon}$ ἑνὸς ἀκεραίου.

β΄ καὶ $\frac{\alpha}{\delta}$ μετὰ τῶν $\frac{\beta}{\gamma}$ πολλ(α)πλασιαζόμενα


Πολλ(α)πλασίασον τὰ β΄ ἀκέραια μετὰ τῶν κάτωθεν δ΄· δ΄κις οὖν β΄ γίνονται η΄. πρόσθες καὶ τὸ ἄνωθεν α΄ καὶ γίνονται θ΄. πολλ(α)πλασίασον τὰ θ΄ μετὰ τῶν β΄ τῶν ἄνωθεν τῶν γ΄· δὶς οὖν θ΄ γίνονται ιη΄. πολλ(α)πλασίασον δὲ καὶ τὰς κάτωθεν δύο ψήφους τῶν τζακισμάτων· δ΄κις οὖν γ΄ γίνονται ιβ΄. μέρισον τὰ ιη΄ μετὰ τῶν ιβ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς α΄ καὶ τζάκισμα ς΄ δωδέκατα. τὰ δὲ ς΄ δωδέκατα ἔχοσι λόγον τοιοῦτον, ὃν ἔχει τὸ α΄ πρὸς τὰ β΄, τουτέστι μισόν. καὶ ἰδοὺ τὰ β΄ καὶ $\frac{\alpha}{\delta}$ μετὰ τῶν $\frac{\beta}{\gamma}$ πολλ(α)πλασιαζόμενα γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α΄ς″.




Καὶ ἄλλως. πολλ(α)πλασίασον τὰ β΄ ἀκέραια μετὰ τῶν $\frac{\beta}{\gamma}$· δὶς οὖν $\frac{\beta}{\gamma}$ γίνονται $\frac{\delta}{\gamma}$, ἅπερ ἐστὶ ἀκέραιον α΄ καὶ $\frac{\alpha}{\gamma}$. πολλ(α)πλασίασον καὶ τὸ $\frac{\alpha}{\delta}$ μετὰ τῶν $\frac{\beta}{\gamma}$. οἱ ἄνωθεν οὖν δύο ψῆφοι – ἅπαξ β΄ πάλιν ἐστὶ β΄, οἱ κάτωθεν δὲ ψῆφοι – δ΄κις γ΄ γίνονται ιβ΄, ἅπερ οὕτως κείμενα $\frac{\beta}{\alpha\,\beta}$ δηλῶσι β΄ δωδέκατα, σχιζόμενα δὲ γίνονται $\frac{\alpha}{\varsigma}$. ἕνωσον τὸ $\frac{\alpha}{\varsigma}$ μετὰ τοῦ α΄ καὶ $\frac{\alpha}{\gamma}$, ταὐτὸν γὰρ εἰπεῖν μετὰ τοῦ α΄ καὶ $\frac{\beta}{\varsigma}$, καὶ γίνονται ὁμοῦ α΄ καὶ $\frac{\gamma}{\varsigma}$, ἅπερ ἐστὶ α΄$\frac{\alpha}{\beta}$. καὶ ἰδοὺ καὶ οὕτως ἐγένετο ὁ πολλ(α)πλασιασμὸς τούτων α΄ς″.

β΄ καὶ $\frac{\gamma}{\delta}$ μετὰ τῶν γ΄ καὶ $\frac{\delta}{\varepsilon}$ πολλ(α)πλασιαζόμενα


Πολλ(α)πλασίασον τὰ β΄ ἀκέραια μετὰ τῶν δ΄ τῶν κάτωθεν ὄντων τῶν γ΄· δ΄κις οὖν β΄ γίνονται η΄. πρόσθες καὶ τὰ ἄνωθεν γ΄ καὶ γίνονται ια΄. πολλ(α)πλασίασον καὶ τὰ γ΄ ἀκέραια μετὰ τῶν ε΄ τῶν κάτωθεν ὄντων τῶν δ΄· ε΄κις οὖν γ΄ γίνονται ιε΄. πρόσθες καὶ τὰ ἄνωθεν δ΄ καὶ γίνονται ιθ΄. πολλ(α)πλασίασον τὰ ιθ΄ μετὰ τῶν ια΄· ια΄κις οὖν ιθ΄ γίνονται σθ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰς κάτωθεν δύο ψήφους τῶν $\frac{\gamma}{\delta}$ καὶ τῶν $\frac{\delta}{\varepsilon}$· δ΄κις οὖν ε΄ γίνονται κ΄. μέρισον τὰ σθ΄ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς α μ΄ καὶ $\frac{\vartheta}{\beta\,\mu}$. καὶ ἰδοὺ τὰ β΄ καὶ $\frac{\gamma}{\delta}$ μετὰ τῶν γ΄ καὶ $\frac{\delta}{\varepsilon}$ πολλ(α)πλασιαζόμενα γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α μ΄ καὶ $\frac{\vartheta}{\beta\,\mu}$.




Καὶ ἄλλως. πολλ(α)πλασίασον τὰ β΄ ἀκέραια μετὰ τῶν γ΄ ἀκεραίων· δὶς οὖν γ΄ γίνονται ς΄. πολλ(α)πλασίασον τὰ β΄ ἀκέραια καὶ μετὰ τῶν $\frac{\delta}{\varepsilon}$· δὶς οὖν $\frac{\delta}{\varepsilon}$ γίνονται $\frac{\eta}{\varepsilon}$, ἅπερ ἐστὶ ἀκέραιον α΄ καὶ $\frac{\gamma}{\varepsilon}$. πολλ(α)πλασίασον δὲ καὶ τὰ $\frac{\gamma}{\delta}$ μετὰ τῶν γ΄ ἀκεραίων· $\frac{\gamma}{\delta}$ οὖν τρὶς γίνονται $\frac{\vartheta}{\delta}$, ἅπερ ἐστὶ ἀκέραια β΄ καὶ $\frac{\alpha}{\delta}$. πολλ(α)πλασίασον δὲ καὶ τὰ $\frac{\gamma}{\delta}$ μετὰ τῶν $\frac{\delta}{\varepsilon}$· τρὶς οὖν δ΄ γίνονται ιβ΄ καὶ δ΄κις ε΄ γίνονται κ΄, ἅπερ οὕτως κείμενα $\frac{\alpha\,\beta}{\beta\,\mu}$ δηλῶσι ιβ΄ εἰκοστά, ἅπερ ἐστὶ $\frac{\gamma}{\varepsilon}$. ἐπεὶ δὲ τὰ τρία τζακίσματά εἰσι ἀνόμοια $\frac{\gamma}{\varepsilon}\ \frac{\alpha}{\delta}\ \frac{\gamma}{\varepsilon}$ ὁμοῦ α μ καὶ $\frac{\vartheta}{\beta\,\mu}$ καὶ οὐ δύνασαι ἑνῶσαι ταῦτα, θὲς τὰ σχήματα αὐτῶν σύνεγγυς. καὶ ὥσπερ εἰώθαμεν ποιεῖν ἐπὶ τῶν συμβεβηκότων διαφόρων τζακισμάτων, οὕτως καὶ νῦν ποίησον. πολλ(α)-




2.18 eaedem multiplicationes in inf. marg. fol. 32^{r} velociter exaratae exstant:




ἤγουν α ς″





πλασίασον γὰρ τὰς κάτωθεν δύο πρώτας ψήφους, τὰ ε΄ δηλονότι καὶ δ΄ ε΄κις οὖν δ΄ γίνονται κ΄. πολλ(α)πλασίασον δὲ τὰ κ΄ μετὰ τῆς κάτωθεν ψήφου τοῦ τρίτου || τζακίσματος, τουτέστι μετὰ τῶν ε΄· κ΄κις οὖν ε΄ γίνονται ρ΄. τὰ δὲ ρ΄ ἐστὶ ἓν σῶμα τῶν τριῶν τούτων διαφόρων τζακισμάτων. λάβε δὲ τὰ $\frac{\gamma}{\varepsilon}$ τῶν ρ΄, ἅπερ ἐστὶ ξ΄· τὸ γὰρ πέμπτον τῶν ρ΄ ἐστὶ κ΄, τρὶς δὲ κ΄ ἐστὶ ξ΄. λάβε καὶ τὸ $\frac{\alpha}{\delta}$ τῶν ρ΄, ὅπερ ἐστὶ κε΄· δ΄κις γὰρ κε΄ ρ΄ γίνονται. λάβε καὶ πάλ(ιν) $\frac{\gamma}{\varepsilon}$ τῶν ρ΄, ἅπερ ἐστὶ πάλιν ξ΄. ἕνωσον τὰ ξ΄ καὶ κε΄ καὶ ξ΄ καὶ γίνονται ὁμοῦ ρμε΄. μέρισον τὰ ρμε΄ μετὰ τῶν ρ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ἀκέραιον α΄ καὶ τζάκισμα $\frac{\delta\,\varepsilon}{\alpha\,\mu\,\mu}$, ἅπερ σχιζόμενα εἰς μέρη πέντε γίνονται $\frac{\vartheta}{\beta\,\mu}$. ἕνωσον τοῦτο τὸ α΄ καὶ $\frac{\vartheta}{\beta\,\mu}$ μετὰ τῶν ς΄ καὶ α΄ καὶ β΄, ὧν ἐπολλ(α)πλασίασας, καὶ γίνονται ὁμοῦ πάλιν α μ΄ καὶ $\frac{\vartheta}{\beta\,\mu}$, καθὼς οὕτως καὶ διὰ τῆς πρώτης μεταχειρίσεως εὗρες.



δ΄ καὶ $\frac{\gamma}{\delta}$ μετὰ τῶν ϑ΄ καὶ $\frac{\beta}{\varepsilon}$ πολλ(α)πλασιαζόμενα


Πολλ(α)πλασίασον τὰ δ΄ ἀκέραια μετὰ τῶν κάτωθεν δ΄· δ΄κις οὖν δ΄ γίνονται ις΄. πρόσθες καὶ τὰ ἄνωθεν γ΄ καὶ γίνονται ὁμοῦ ιϑ΄. πολλ(α)πλασίασον καὶ τὰ ϑ΄ ἀκέραια μετὰ τῶν κάτωθεν ε΄· ε΄κις οὖν ϑ΄ γίνονται με΄. πρόσθες καὶ τὰ ἄνωθεν β΄ καὶ γίνονται ὁμοῦ μζ΄. πολλ(α)πλασίασον τὰ μζ΄ μετὰ τῶν ιϑ΄· ιϑ΄κις οὖν μζ΄ γίνονται ωϛγ΄. πολλ(α)πλασίασον καὶ τὰς κάτωθεν δύο ψήφους τῶν $\frac{\gamma}{\delta}$ καὶ τῶν $\frac{\beta}{\varepsilon}$. δ΄κις οὖν ε΄ γίνονται κ΄. μέρισον τὰ ωϛγ΄ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς μδ΄ καὶ $\frac{\iota\gamma}{\kappa}$. καὶ ἰδοὺ τὰ δ΄ καὶ $\frac{\gamma}{\delta}$ μετὰ τῶν ϑ΄ καὶ $\frac{\beta}{\varepsilon}$ πολλ(α)πλασιαζόμενα πολλ(α)πλασιάζοσι μδ΄ καὶ $\frac{\iota\gamma}{\kappa}$.

Καὶ ἄλλως. πολλ(α)πλασίασον τὰ δ΄ ἀκέραια μετὰ τῶν ϑ΄ ἀκεραίων· δ΄κις οὖν ϑ΄ γίνονται λϛ΄. πολλ(α)πλασίασον πάλιν τὰ δ΄ ἀκέραια καὶ μετὰ τῶν $\frac{\beta}{\varepsilon}$· δ΄κις οὖν $\frac{\beta}{\varepsilon}$ γίνονται $\frac{\eta}{\varepsilon}$, ἅπερ ἐστὶ ἀκέραιον α΄ καὶ $\frac{\gamma}{\varepsilon}$. πολλ(α)πλασίασον δὲ καὶ τὰ $\frac{\gamma}{\delta}$ μετὰ τῶν ϑ΄ ἀκεραίων· $\frac{\gamma}{\delta}$ οὖν ϑ΄κις γίνονται $\frac{\beta\,\zeta}{\delta}$, ἅπερ ἐστὶ ἀκέραια ϛ΄ καὶ $\frac{\gamma}{\delta}$. πολλ(α)πλασίασον δὲ πάλιν τὰ $\frac{\gamma}{\delta}$ μετὰ τῶν $\frac{\beta}{\varepsilon}$· τρὶς οὖν β΄ γίνονται ϛ΄ καὶ δ΄κις ε΄ γίνονται κ΄, ἅπερ οὕτως κείμενα $\frac{\varsigma}{\beta\,\mu}$ δηλῶσι ϛ΄ εἰκοστά. θὲς σύνεγγυς τὰ τρία ἀνόμοια τζακίσματα. οἱ κάτωθεν οὖν δύο πρῶτοι ψῆφοι πολλ(α)πλασιαζόμενοι δ΄κις ε΄ γίνονται κ΄. πολλ(α)πλασίασον τὰ κ΄ μετὰ τῶν κάτωθεν κ΄ τοῦ τρίτου τζακίσματος· κ΄κις οὖν κ΄ γίνονται υ΄. ἔστι δὲ τὰ υ΄ ταῦτα ἓν σῶμα τῶν τριῶν τζακισμάτων. λάβε οὖν τὰ $\frac{\gamma}{\varepsilon}$ τῶν υ΄, ἅπερ ἐστὶ σμ΄· τὸ γὰρ πέμπτον τῶν υ΄ ἐστὶ π΄, τρὶς δὲ π΄ σμ΄ γίνονται. λάβε δὲ καὶ τὰ $\frac{\gamma}{\delta}$ τῶν υ΄, ἅπερ ἐστὶ τ΄. λάβε δὲ καὶ τὰ $\frac{\varsigma}{\beta\,\mu}$ τῶν υ΄, ἅπερ ἐστὶ ρκ΄· τὸ γὰρ εἰκοστὸν τῶν υ΄ ἐστὶ κ΄, ϛ΄κις δὲ κ΄ ρκ΄ γίνονται

ὁμοῦ $\frac{\chi\xi}{\beta\,\mu}$.

---

13 eadem multiplicatio in sinistro marg. fol. 32^{v} velociter exarata invenitur:



ται. ἕνωσον τὰ σμ΄ καὶ τ΄ καὶ ρκ΄ καὶ γίνονται ὁμοῦ χξ΄. μέρισον τὰ χξ΄ μετὰ τῶν υ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ἀκέραιον α΄ καὶ τζάκισμα $\frac{\beta\,\xi\,\mu}{\delta\,\mu\,\mu}$, ἅπερ εἰς μέρη κ΄ σχιζόμενα γίνονται $\frac{\iota\gamma}{\kappa}$. θὲς οὖν τὸ α΄ καὶ $\frac{\iota\gamma}{\kappa}$ κατωτέρω τῶν λς΄ καὶ α΄ καὶ ς΄ καὶ ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ πάλιν μδ΄ καὶ $\frac{\iota\gamma}{\kappa}$, καθὼς οὕτως καὶ διὰ τῆς πρώτης μεταχειρίσεως εὕρες.

ὡσαύτως καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῶν δύο τούτων μεταχειρίσεων ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

μθ

Περὶ τοῦ πῶς ἔστι λαβεῖν $\frac{\beta}{\gamma}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λς΄ καὶ $\frac{\gamma}{\delta}$ τῶν $\frac{\gamma}{\delta}$ τῶν μη΄ καὶ $\frac{\beta}{\varepsilon}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λ΄ καὶ ἑξῆς ὁμοίως

Ἔστω ὅτι ζητεῖς λαβεῖν $\frac{\beta}{\gamma}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λς΄. πολλ(α)πλασίασον τὰ ἄνωθεν β΄ μετὰ τῶν ἄνωθεν β΄· δὶς οὖν β΄ γίνονται δ΄. πολλ(α)πλασίασον καὶ τὰ κάτωθεν γ΄ μετὰ τῶν κάτωθεν γ΄· τρὶς οὖν γ΄ γίνονται θ΄, ἅπερ δ΄ καὶ θ΄ οὕτως κείμενα $\frac{\delta}{\vartheta}$ δηλῶσι δ΄ ἔννατα. καὶ ἰδοὺ εὕρες, ὅτι τὰ $\frac{\delta}{\vartheta}$ τῶν λς΄ ἐστὶ $\frac{\beta}{\gamma}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λς΄. τὰ $\frac{\delta}{\vartheta}$ οὖν τῶν λς΄ ἐστὶ ις΄· τὸ γὰρ ἔννατον τῶν λς΄ ἐστὶ δ΄, δ΄ δὲ ἔννατα, τουτέστι δ΄κις δ΄, γίνονται ις΄. τὰ ις΄ δέ ἐστι $\frac{\beta}{\gamma}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λς΄. τὰ γὰρ $\frac{\beta}{\gamma}$ τῶν λς΄ ἐστὶ κδ΄· δὶς γὰρ ιβ΄ γίνονται κδ΄ καὶ τρὶς ιβ΄ γίνονται λς΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν κδ΄ ἐστὶ ις΄· δὶς γὰρ η΄ γίνονται ις΄ καὶ τρὶς η΄ γίνονται κδ΄. καὶ ἰδοὺ τὰ $\frac{\beta}{\gamma}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λς΄ ἐστὶ ις΄, ἅπερ ις΄ ἐστὶ $\frac{\delta}{\vartheta}$ τῶν λς΄.

Ἔστω ὅτι ζητεῖς λαβεῖν $\frac{\gamma}{\delta}$ τῶν $\frac{\gamma}{\delta}$ τῶν μη΄. πολλ(α)πλασίασον τὰ ἄνωθεν γ΄ μετὰ τῶν ἄνωθεν γ΄· τρὶς οὖν γ΄ γίνονται θ΄. πολλ(α)πλασίασον καὶ τὰ κάτωθεν δ΄ μετὰ τῶν κάτωθεν δ΄· δ΄κις οὖν δ΄ γίνονται ις΄, ἅπερ θ΄ καὶ ις΄ οὕτως κείμενα $\frac{\vartheta}{\iota\varsigma}$ δηλῶσι θ΄ ἑξακαιδέκατα. καὶ ἰδοὺ τὰ $\frac{\vartheta}{\iota\varsigma}$ τῶν μη΄ ἐστὶ $\frac{\gamma}{\delta}$ τῶν $\frac{\gamma}{\delta}$ τῶν μη΄. τὰ $\frac{\vartheta}{\iota\varsigma}$ οὖν τῶν μη΄ ἐστὶ κζ΄· τὸ γὰρ ἑξακαιδέκατον τῶν μη΄ ἐστὶ γ΄, θ΄ δὲ ἑξακαιδέκατα, τουτέστι θ΄κις γ΄, γίνονται κζ΄. τὰ δὲ κζ΄ ἐστὶ $\frac{\gamma}{\delta}$ τῶν $\frac{\gamma}{\delta}$ τῶν μη΄. τὰ γὰρ $\frac{\gamma}{\delta}$ τῶν μη΄ ἐστὶ λς΄· τρὶς γὰρ ιβ΄ γίνονται λς΄ καὶ δ΄κις ιβ΄ γίνονται μη΄. τὰ δὲ $\frac{\gamma}{\delta}$ τῶν λς΄ ἐστὶ κζ΄· τρὶς γὰρ θ΄ γίνονται κζ΄ καὶ δ΄κις θ΄ γίνονται λς΄. καὶ ἰδοὺ τὰ $\frac{\gamma}{\delta}$ τῶν $\frac{\gamma}{\delta}$ τῶν μη΄ ἐστὶ κζ΄, ἅπερ κζ΄ ἐστὶ $\frac{\vartheta}{\iota\varsigma}$ τῶν μη΄.

Ἔστω δὲ ὅτι ζητεῖς ἐκ τῶν $\frac{\beta}{\gamma}$ τῶν λ΄ λαβεῖν $\frac{\beta}{\varepsilon}$. πολλ(α)πλασίασον τὰ ἄνωθεν β΄ μετὰ τῶν ἄνωθεν β΄· δὶς οὖν β΄ γίνονται δ΄. πολλ(α)πλασίασον καὶ τὰ κάτωθεν γ΄ μετὰ τῶν κάτωθεν ε΄· τρὶς οὖν ε΄ γίνονται ιε΄, ἅπερ δ΄ καὶ ιε΄ οὕτως κείμενα $\frac{\delta}{\iota\varepsilon}$ δηλῶσι δ΄ πεντεκαιδέκατα. καὶ ἰδοὺ τὰ $\frac{\delta}{\iota\varepsilon}$ τῶν λ΄ ἐστὶ $\frac{\beta}{\varepsilon}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λ΄. τὰ $\frac{\delta}{\iota\varepsilon}$ οὖν τῶν λ΄ ἐστὶ η΄· τὸ γὰρ πενταικαιδέκατον τῶν λ΄ ἐστὶ β΄, δ΄ δὲ πενταικαιδέκατα, τουτέστι δ΄κις β΄, γίνονται η΄. τὰ δὲ η΄ ἐστὶ $\frac{\beta}{\varepsilon}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λ΄. τὰ γὰρ $\frac{\beta}{\gamma}$ τῶν λ΄ ἐστὶ κ΄· δὶς γὰρ ι΄ γίνονται κ΄ καὶ τρὶς ι΄ γίνονται λ΄. τὰ δὲ $\frac{\beta}{\varepsilon}$ τῶν κ΄ ἐστὶ η΄· δὶς γὰρ δ΄ γίνονται η΄ καὶ ε΄κις δ΄ γίνονται κ΄. καὶ ἰδοὺ τὰ $\frac{\beta}{\varepsilon}$ τῶν $\frac{\beta}{\gamma}$ τῶν λ΄ ἐστὶ η΄, ἅπερ η΄ ἐστὶ $\frac{\delta}{\iota\varepsilon}$ τῶν λ΄.

ὡσαύτως καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον, ὡς διὰ τῶν τριῶν τούτων ὑποδειγμάτων ‖ δηλοῦται σαφέστατα. f. 33^{r}

31/32: πεντεκαιδέκατα/πενταικαιδέκατα] sic C

ν **Περὶ τοῦ πῶς ἔστι λαβεῖν $\frac{\beta}{\gamma}$ τῶν λε΄ καὶ $\frac{\gamma}{\delta}$ τῶν λε΄ καὶ $\frac{\zeta}{\phi}$ τῶν ε΄ καὶ $\frac{\iota\varepsilon}{\kappa}$ τῶν ια΄ καὶ $\frac{\lambda\alpha}{\nu\varepsilon}$ τῶν ρ΄ καὶ ἑξῆς ὁμοίως**

Ἔστω ὅτι ζητεῖς λαβεῖν $\frac{\beta}{\gamma}$ τῶν λε΄. ἔχεις δὲ ταῦτα λαβεῖν οὕτως. πολλ(α)πλασίασον

α α $\frac{\alpha}{\gamma}$ ξ κ κ κ β γ καὶ $\frac{\alpha}{\gamma}$	β α α κ ε $\frac{\alpha}{\delta}$ δ δ β ς καὶ $\frac{\alpha}{\delta}$	η κ ε $\frac{\eta}{\phi}$ δ γ καὶ $\frac{\eta}{\phi}$	α ξ ε $\frac{\varepsilon}{\beta\,\mu}$ β μ η καὶ $\frac{\alpha}{\delta}$	κ β ξ ε $\frac{\beta\,\mu}{\varepsilon\,\varepsilon}$ γ α κ μ ε ε ε ε ς καὶ $\frac{\delta}{\alpha\,\alpha}$
$\frac{\beta}{\gamma}$ τῶν λε	$\frac{\gamma}{\delta}$ τῶν λε	$\frac{\zeta}{\phi}$ τῶν ε	$\frac{\iota\varepsilon}{\kappa}$ τῶν ια	$\frac{\lambda\alpha}{\nu\varepsilon}$ τῶν ρ

τὰ λε΄ μετὰ τῶν ἄνωθεν β΄· δὶς οὖν λε΄ γίνονται ο΄. μέρισον τὰ ο΄ μετὰ τῶν κάτωθεν γ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κγ΄ καὶ $\frac{\alpha}{\gamma}$. καὶ ἰδοὺ τὰ $\frac{\beta}{\gamma}$ τῶν λε΄ εὗρες, ὅτι ἐστὶ κγ΄ καὶ $\frac{\alpha}{\gamma}$.

Ἔστω δὲ ὅτι ζητεῖς λαβεῖν $\frac{\gamma}{\delta}$ τῶν λε΄. πολλ(α)πλασίασον πάλιν τὰ λε΄ μετὰ τῶν ἄνωθεν γ΄· τρὶς οὖν λε΄ γίνονται ρε΄. μέρισον τὰ ρε΄ μετὰ τῶν κάτωθεν δ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κς΄ καὶ $\frac{\alpha}{\delta}$. καὶ ἰδοὺ τὰ $\frac{\gamma}{\delta}$ τῶν λε΄ ἐστὶ κς΄ καὶ $\frac{\alpha}{\delta}$.

Ἔστω δὲ ὅτι ζητεῖς λαβεῖν $\frac{\zeta}{\phi}$ τῶν ε΄. πολλ(α)πλασίασον τὰ ε΄ μετὰ τῶν ἄνωθεν ζ΄· ε΄κις οὖν ζ΄ γίνονται λε΄. μέρισον τὰ λε΄ μετὰ τῶν κάτωθεν θ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς γ΄ καὶ $\frac{\eta}{\phi}$. καὶ ἰδοὺ τὰ $\frac{\zeta}{\phi}$ τῶν ε΄ ἐστὶ γ΄ καὶ $\frac{\eta}{\phi}$.

Ἔστω δὲ ὅτι ζητεῖς λαβεῖν $\frac{\iota\varepsilon}{\kappa}$ τῶν ια΄. πολλ(α)πλασίασον τὰ ια΄ μετὰ τῶν ἄνωθεν ιε΄· ια΄κις οὖν ιε΄ γίνονται ρξε΄. μέρισον τὰ ⟨ρξε΄⟩ μετὰ τῶν κάτωθεν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς η΄ καὶ $\frac{\varepsilon}{\beta\,\mu}$, τουτέστι η΄ καὶ $\frac{\alpha}{\delta}$. καὶ ἰδοὺ τὰ $\frac{\iota\varepsilon}{\kappa}$ τῶν ια΄ ἐστὶ η΄ καὶ $\frac{\alpha}{\delta}$.

Ἔστω δὲ ὅτι ζητεῖς λαβεῖν $\frac{\lambda\alpha}{\nu\varepsilon}$ τῶν ρ΄. πολλ(α)πλασίασον τὰ ρ΄ μετὰ τῶν ἄνωθεν λα΄· ρ΄κις οὖν λα΄ γίνονται ,γρ΄. μέρισον τὰ ,γρ΄ μετὰ τῶν κάτωθεν νε΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς νς΄ καὶ $\frac{\beta\,\mu}{\varepsilon\,\varepsilon}$, τουτέστι νς΄ καὶ $\frac{\delta}{\iota\alpha}$. καὶ ἰδοὺ τὰ $\frac{\lambda\alpha}{\nu\varepsilon}$ τῶν ρ΄ ἐστὶ νς΄ καὶ $\frac{\delta}{\iota\alpha}$.

Καὶ τὸ ἀνάπαλι(ν). Ἔστω ὅτι ζητεῖς λαβεῖν $\frac{\phi}{\zeta}$ τῶν ε΄. ἔστι δὲ τοῦτο τὸ ἀνάπαλιν τοῦ προτέρου ζητήματος· πρότερον γὰρ ἐζήτησας λαβεῖν ζ΄ ἕννατα τῶν ε΄, νῦν δὲ ζητεῖς λαβεῖν θ΄ ἕβδομα τῶν ε΄. καὶ πάλιν πολλ(α)πλασίασον τὰ ε΄ μετὰ τῶν ἄνωθεν θ΄· ε΄κις οὖν θ΄ γίνονται με΄. μέρισον τὰ με΄ μετὰ τῶν κάτωθεν ζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ς΄ καὶ $\frac{\gamma}{\zeta}$. καὶ ἰδοὺ τὰ θ΄ ἕβδομα τῶν ε΄ ἐστὶ ς΄ καὶ $\frac{\gamma}{\zeta}$.

γ δ ε $\frac{\gamma}{\zeta}$ ξ ς καὶ $\frac{\gamma}{\zeta}$	α κ α ξ $\frac{\alpha\,\mu}{\alpha\,\varepsilon}$ β β μ α ε ε α α δ καὶ $\frac{\beta}{\gamma}$
$\frac{\phi}{\zeta}$ τῶν ε	$\frac{\kappa}{\iota\varepsilon}$ τῶν ια

Ἔστω δὲ ὅτι ζητεῖς λαβεῖν $\frac{\kappa}{\iota\varepsilon}$ τῶν ια΄. πολλ(α)πλασίασον τὰ ια΄ μετὰ τῶν ἄνωθεν κ΄· ια΄κις οὖν κ΄ γίνονται σκ΄. μέρισον τὰ σκ΄ μετὰ τῶν κάτωθεν ιε΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιδ΄ καὶ $\frac{\alpha\,\mu}{\alpha\,\varepsilon}$, τουτέστι ιδ΄ καὶ $\frac{\beta}{\gamma}$. καὶ ἰδοὺ τὰ $\frac{\kappa}{\iota\varepsilon}$ τῶν ια΄ ἐστὶ ιδ΄ καὶ $\frac{\beta}{\gamma}$.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

---

1 **ad titulum huius cap. in dextro marg. fol. 33^{r}:** ἕνωσον τὸ παρὸν κεφάλαιον ἔμπροσθεν, ἔνθα ἐστὶ τὸ ρλξ^{ον} κεφάλαιον

14 ρξε΄ **scripsi: spatium trium litt. atramento coopertum**

να

Περὶ τοῦ πῶς ἔστι διαμερίσαι ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ εἰς μέρη ε΄$\frac{\alpha}{\beta}$ καὶ εἰδέναι, πόσον ἐστὶ μείζων ἑκάστη μερὶς τῶν ε΄$\frac{\alpha}{\beta}$ ἐφ᾽ ἑκάστου τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$

Ἔστω ὅτι βούλ(ει) διαμερίσαι ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ εἰς μέρη ε΄$\frac{\alpha}{\beta}$. γενόμενα δὲ τὰ ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ μέρη ε΄$\frac{\alpha}{\beta}$ ἕκαστον μέρος τῶν ε΄$\frac{\alpha}{\beta}$ ἔσται μεῖζον πάντως ἐφ᾽ ἑκάστου τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$. ζητεῖς δὲ εἰδέναι, πόσον ἐστὶ μεῖζον ἕκαστον τῶν ε΄$\frac{\alpha}{\beta}$ ἐφ᾽ ἑκάστου τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$.

ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. τὰ ε΄ ἔχοσι καὶ τὸ παρὸν τζάκισμα $\frac{\alpha}{\beta}$, ὅπερ ἐστὶ μισὸν μέρος ἑνὸς ἀκεραίου. ἐπεὶ δὲ οὐκ ἔστι ἐξόλου διηρτημένα τὰ ε΄ εἰς ἀκέραια μέρη, ἀλλ᾽ ἔχοσι καὶ ς″, ποίησον καὶ τὰ ε΄ ἀκέραια μισά. πολλ(α)πλασίασον δὲ τὰ ε΄ μετὰ τῶν κάτωθεν β΄· δὶς οὖν β΄ γίνονται ι΄. πρόσθες καὶ τὸ ἄνωθεν α΄, καὶ γίνονται ὁμοῦ ια΄ μισὰ τὰ ε΄ς″. ποίησον καὶ τὰ ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ μισά, καθὼς οὕτως καὶ τὰ ε΄ ἐποίησας, καὶ γίνονται τὰ ζ΄ ἀκέραια μισὰ ιδ΄. διπλασίασον δὲ τὸ $\frac{\alpha}{\gamma}$· δὶς οὖν $\frac{\alpha}{\gamma}$ γίνονται $\frac{\beta}{\gamma}$. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ιδ΄, καὶ γίνονται τὰ ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ μισὰ ιδ΄ καὶ $\frac{\beta}{\gamma}$. καὶ τὰ μὲν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ ἐστὶ σῶμα ἀνάλογον τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$. τὰ δὲ ια΄ [μισά] ἐστι καὶ αὐτὰ σῶμα μὲν ἀνάλογον τῶν ε΄ς″, μεριστὴς δὲ τῶν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$. μέρισον γὰρ τὰ ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ μετὰ τῶν ια΄· χωρῶσι δὲ ἀφαιρεθῆναι τὰ ια΄ ἅπαξ ἐπὶ τῶν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ καὶ ἀπομένει καὶ τζάκισμα γ΄ καὶ $\frac{\beta}{\gamma}$. ποίησον τρίτα τὰ γ΄ καὶ $\frac{\beta}{\gamma}$· τρὶς οὖν γ΄ γίνονται θ΄ καὶ τὰ ἄνωθεν β΄ – ὁμοῦ ια΄ τρίτα τὰ γ΄ ἀκέραια καὶ $\frac{\beta}{\gamma}$. ποίησον καὶ τὰ ια΄, ἅπερ εἶχες μεριστὴν τῶν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$, τρίτα, καθὼς ἐποίησας καὶ τὰ γ΄ καὶ $\frac{\beta}{\gamma}$ τρίτα ια΄· τρὶς οὖν ια΄ γίνονται λγ΄ τρίτα τὰ ια΄, ὁ μεριστὴς δηλονότι. τὰ ια΄ δὲ τρίτα τοῦ τζακίσματος πρὸς τὰ λγ΄ τρίτα τοῦ μεριστοῦ συγκρινόμενα ἔχοσι λόγον $\frac{\alpha}{\gamma}$· τρὶς γὰρ ια΄ γίνονται λγ΄. καὶ ἰδοὺ ὁ διαμερισμὸς τῶν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ μετὰ τῶν ια΄, ὧν εἴπομεν, ὅτι ἐστὶ ὁ μεριστὴς τῶν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$, ἔστι ἀκέραιον α΄ καὶ $\frac{\alpha}{\gamma}$, καθότι ἅπαξ ἐχώρεσαν τὰ ια΄ ἐπὶ τῶν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ καὶ ἀπέμεινε καὶ τζάκισμα γ΄ καὶ $\frac{\beta}{\gamma}$, ἅπερ ἔχοσι καὶ αὐτὰ τρίτον μέρος τῶν ια΄, τοῦ μεριστοῦ δηλονότι. τὸ γὰρ $\frac{\alpha}{\gamma}$ τῶν ια΄ ἐστὶ γ΄ καὶ $\frac{\beta}{\gamma}$· τρὶς γὰρ γ΄ γίνονται θ΄ καὶ τρὶς $\frac{\beta}{\gamma}$ γίνονται $\frac{\varsigma}{\gamma}$, ἅπερ ἐστὶ β΄ ἀκέραια, θ΄ δὲ καὶ β΄ γίνονται ια΄, καθὼς οὕτως εὗρες συγκρίνας τὰ ια΄ τρίτα μετὰ τῶν λγ΄ τρίτων. καὶ ἰδοὺ ἕκαστον μέρος τῶν ε΄$\frac{\alpha}{\beta}$ ἐστι πλεῖον ἐφ᾽ ἑκάστου || τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$, ὅσον ἐστὶ $\frac{\alpha}{\gamma}$ ἑκάστου σώματος τῶν ζ΄. προστιθεμένου γὰρ τοῦ $\frac{\alpha}{\gamma}$ ἑκάστου σώματος τῶν ζ΄ ἐπὶ τοῦ αὐτοῦ σώματος γενήσεται, ὅσον ἐστὶ ἕκαστον σῶμα τῶν ε΄ς″. f. 33v

γ
α δ καὶ $\frac{\beta}{\gamma}$
α⌣α
α καὶ γ καὶ $\frac{\beta}{\gamma}$

Ποιήσωμεν τοῦτο καὶ διὰ τῆς κοινῆς καὶ πολ(ι)τευομένης μεταχειρίσεως, ἵνα ἀποδειχθῇ οὕτως ἔχον τὸ ἀληθές, ὡς ἡ πρόχειρος ἡμῖν δεδήλωκε μεταχείρισις.


ἕστωσαν φλουριὰ ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς φλουριοῦ, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ς΄. καὶ τὰ μὲν ζ΄ φλουριά – ς΄κις ζ΄ γίνονται ὑπέρπυρα μβ΄, τὸ δὲ $\frac{\alpha}{\gamma}$ ἐστὶ ὑπέρπυρα β΄, ὁμοῦ δὲ τὰ ζ΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$ ὑπέρπυρα μδ΄. μεριζόμενα δὲ τὰ μδ΄ ὑπέρπυρα εἰς μέρη ε΄$\frac{\alpha}{\beta}$ ζήτ(ει), πόσον ἐστὶ μεῖζον ἕκαστον σῶμα τῶν ε΄ς″ ἐφ᾽ ἑκάστου σώματος τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$. ἡ πρόχειρος δὲ μεταχείρισις δεδήλωκε ἡμῖν, ὅτι προστ(ι)θεμένου $\frac{\alpha}{\gamma}$ ἐφ᾽ ἑκάστου σώματος τῶν ζ΄ γενήσεται, ὅσον ἐστὶ ἕκαστον σῶμα τῶν ε΄. ἕκαστον δὲ τῶν ζ΄ ἐστὶ ὑπέρπυρα ς΄. πρόσθες καὶ $\frac{\alpha}{\gamma}$ τῶν ς΄ ὑπερπύρων, ὅπερ ἐστὶ ὑπέρπυρα β΄, καὶ γίνονται ὑπέρπυρα η΄. ἕκαστον οὖν τῶν ε΄ς″ χρὴ εἶναι ὑπέρπυρα η΄. τὰ μὲν ε΄ ἀκέραια, ἕκαστον ἀνὰ ὑπέρπυρα η΄, ε΄κις η΄ γίνονται μ΄. λείπονται καὶ ὑπέρπυρα δ΄ μέχρι τῶν μδ΄ ὑπερπύρων. τὸ δὲ ς″ – ἐπεὶ ἕκαστον μέρος τῶν ε΄ οἰκειοῦται ὑπέρπυρα η΄, τὸ ς″ οἰκειοῦται ὑπέρπυρα δ΄. καὶ ἰδοὺ τὰ ζ΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$, ἅπερ ἐστὶ ὑπέρπυρα

---

2 ἐφ᾽ ἑκάστου] sc. μέρους **pro** μερίδος **in divisione:** γ καὶ $\frac{\beta}{\gamma}$] sc. τζάκισμα 31 ἀποδειχθῇ] ἀποδικτει **C** 38 ζ΄] **breviter pro** ζ΄ καὶ $\frac{\alpha}{\gamma}$, ε΄] **brev. pro** ε΄ς″ **scriptum**

μδ΄, εἰς μέρη ε΄ς″ μεριζόμενα γίνονται μὲν πάλιν ὑπέρπυρα μδ΄, ἕκαστον δὲ μέρος τῶν ε΄ς″ οἰκειοῦται ὑπέρπυρα η΄ μὲν τὰ ἀκέραια, δ΄ δὲ τὸ ς″, καθὼς ἡ πρόχειρος μεταχείρισις ἡμῖν οὕτως δεδήλωκε, ὅτι προστ(ι)θεμένου $\frac{\alpha}{\gamma}$ ἐφ᾽ ἑκάστου τῶν ζ΄ γενήσεται ἕκαστον τῶν ζ΄ μετὰ τῆς προσθέσεως τοῦ $\frac{\alpha}{\gamma}$, ὅσον χρὴ εἶναι ἕκαστον τῶν ε΄ ἀκεραίων. ἀναλόγως δὲ πάλιν καὶ τὸ ς″ οὕτως γίνεται.

Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, ἔστω ὅτι βούλ(ει) διαμερίσασθαι ς΄ καὶ $\frac{\beta}{\gamma}$ εἰς μέρη ε΄ καὶ $\frac{\alpha}{\gamma}$ καὶ εἰδέναι, πόσον ἐστὶ μεῖζον ἕκαστον μέρος τῶν ε΄ καὶ $\frac{\alpha}{\gamma}$ ἐκ τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$. πολλ(α)πλασίασον δὲ τὰ ς΄ μετὰ τῶν κάτωθεν γ΄· τρὶς οὖν ς΄ γίνονται ιη΄. πρόσθες καὶ τὰ ἄνωθεν β΄, καὶ γίνονται ὁμοῦ κ΄ τρίτα τὰ ς΄ καὶ $\frac{\beta}{\gamma}$. ὡσαύτως δὲ πάλιν πολλ(α)πλασίασον τὰ ε΄ μετὰ τῶν κάτωθεν γ΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. πρόσθες καὶ τὸ ἄνωθεν α΄, καὶ γίνονται ὁμοῦ ις΄ τρίτα τὰ ε΄ καὶ $\frac{\alpha}{\gamma}$. καὶ τὰ μὲν κ΄ ἐστὶ σῶμα τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$, τὰ ις΄ δέ ἐστι σῶμα μὲν τῶν ε΄ καὶ $\frac{\alpha}{\gamma}$, μεριστὴς δὲ τῶν κ΄. μέρισον τὰ κ΄ μετὰ τῶν ις΄· ἅπαξ οὖν ις΄ ἐστὶ πάλιν ις΄, ἀπομένοσι καὶ δ΄ ἑξακαιδέκατα τζάκισμα. τὰ δὲ δ΄ ἑξακαιδέκατά ἐστι $\frac{\alpha}{\delta}$. ἔστι δὲ ὁ διαμερισμὸς τῶν κ΄ μετὰ τῶν ις΄ ἀκέραιον α΄ καὶ $\frac{\alpha}{\delta}$. καὶ ἰδοὺ εὗρες, ὅτι ἐφ᾽ ἑκάστου τῶν ς΄ προστιθεμένου $\frac{\alpha}{\delta}$ γενήσεται, ὅσον χρὴ εἶναι ἕκαστον σῶμα τῶν ε΄ καὶ $\frac{\alpha}{\gamma}$· καθ᾽ ὃν γὰρ λόγον ἅπαξ ἐχώρεσαν τὰ ις΄ ἐπὶ τῶν κ΄ καὶ ἀπέμεινεν καὶ $\frac{\alpha}{\delta}$, οὕτως ἅπαξ ὅσο ἂν σῶμά ἐστι ἕκαστον τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἀναλόγως. προστιθεμένου ἔτι καὶ $\frac{\alpha}{\delta}$ γενήσεται, ὅσον χρὴ εἶναι ἕκαστον τῶν ε΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως.



Ποιήσωμεν τοῦτο καὶ διὰ τῆς κοινῆς καὶ πολ(ι)τευομένης μεταχειρίσεως. ἔστωσαν φλουριὰ ς΄ καὶ $\frac{\beta}{\gamma}$, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ς΄, ὡς εἴπομεν. καὶ τὰ μὲν ς΄ φλουριά – ς΄κις ς΄ γίνονται ὑπέρπυρα λς΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ ἐστὶ ὑπέρπυρα δ΄, ὁμοῦ δὲ τὰ ς΄ φλουριὰ καὶ $\frac{\beta}{\gamma}$ ὑπέρπυρα μ΄. τὸ $\frac{\alpha}{\delta}$ τῶν ς΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρον α΄ κουκκιὰ ι΄. πρόσθες οὖν ὑπέρπυρον α΄ κουκκιὰ ι΄ ἐπὶ τῶν ς΄ ὑπερπύρων, καθὼς διὰ τῆς προχείρου μεταχειρίσεως εὕρομεν οὕτως, καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ζ΄ κουκκιὰ ι΄. ἕκαστον δὲ σῶμα τῶν ε΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως χρὴ εἶναι ὑπέρπυρα ζ΄ κουκκιὰ ι΄. καὶ τὰ μὲν ε΄ ἀκέραια, ἕκαστον ἀνὰ ὑπερπύρων ζ΄ κουκκιῶν ι΄ – γίνονται ε΄κις ζ΄ λε΄, καὶ β΄ς″, ὁμοῦ ὑπέρπυρα λζ΄ς″. λείπονται καὶ β΄ς″ ὑπέρπυρα μέχρι τῶν μ΄ ὑπερπύρων. τὸ δὲ $\frac{\alpha}{\gamma}$, ἐπεὶ ἕκαστον μέρος τῶν ε΄ οἰκειοῦται ὑπέρπυρα ζ΄ κουκκιὰ ι΄, τουτέστι ὑπέρπυρα ζ΄ς″, τὸ $\frac{\alpha}{\gamma}$ τῶν ζ΄ς″ ὑπερπύρων ἐστὶ ὑπέρπυρα β΄ς″· τρὶς γὰρ ὑπέρπυρα β΄ς″ γίνονται ὑπέρπυρα ζ΄ς″. καὶ ἰδοὺ καὶ διὰ τῆς κοινῆς ταύτης μεταχειρίσεως εὗρες, ὅτι τὰ ς΄ καὶ $\frac{\beta}{\gamma}$ εἰς μέρη ε΄ καὶ $\frac{\alpha}{\gamma}$ μεριζόμενα ἕκαστον μέρος τῶν ε΄ ἐστὶ πλέον $\frac{\alpha}{\delta}$ ἐφ᾽ ἑκάστου σώματος τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἀναλόγως. προστιθεμένου δὲ ἐφ᾽ ἑκάστου τῶν ς΄ ἔτι καὶ $\frac{\alpha}{\delta}$ τοῦ ἑαυτοῦ σώματος γίνεται, ὅσον χρὴ εἶναι ἕκαστον τῶν ε΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως.

νβ Περὶ τοῦ πῶς ἔστι διαμερίσαι ε΄$\frac{\alpha}{\beta}$ εἰς μέρη ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ καὶ εἰδέναι, πόσον ἐστὶ ἔλαττο ἕκαστον τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἐφ᾽ ἑκάστου τῶν ε΄$\frac{\alpha}{\beta}$

Ἔστω δὲ ὅτι τὸ ἀνάπαλι(ν) ζητεῖς εἰδέναι, τουτέστι τὰ ε΄$\frac{\alpha}{\beta}$ μεριζόμενα εἰς μέρη ζ΄ καὶ $\frac{\alpha}{\gamma}$, πόσον ἐστὶ ἔλαττο ἕκαστον μέρος τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἐφ᾽ ἑκάστου μέρους τῶν ε΄ς″. ποίησον δὲ πάλιν κατὰ τὸν ὅμοιον τρόπον τὰ ε΄ς″ μισά· γίνονται δὲ τὰ ε΄ς″ ια΄ μισά. τὰ δὲ ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ γίνονται μισὰ ιδ΄ καὶ $\frac{\beta}{\gamma}$, ὡς τὸ πρότερον. μέρισον δὲ τὰ ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ μετὰ τῶν ια΄, καὶ πάλιν γίνεται ὁ τούτων διαμερισμὸς α΄ καὶ τζάκισμα γ΄ καὶ $\frac{\beta}{\gamma}$. τὰ

14/15 ἑξακαιδέκατά] ῆς κατα **C** 33 τῶν ε΄] **sc.** τῶν ε΄ καὶ $\frac{\alpha}{\gamma}$ 42 μισὰ] μηα **C**

δὲ γ΄ καὶ $\frac{\beta}{\gamma}$ συγκρινόμενα μετὰ τῶν ια΄ εὗρες, ὅτι ἐστὶ $\frac{\alpha}{\gamma}$ τῶν ια΄. νῦν δὲ οὐ μετὰ τῶν ια΄ συγκρινόμενα, ἀλλὰ μετὰ τῶν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ ἐστὶ $\frac{\alpha}{\delta}$· δ΄κις γὰρ γ΄ καὶ $\frac{\beta}{\gamma}$ γίνονται ιδ΄ καὶ $\frac{\beta}{\gamma}$. καὶ ἰδοὺ εὗρες, ὅτι ἕκαστον τῶν ε΄ς″ ἐφ᾽ ἑκάστου τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἐστὶ μέν, ὅσον ἐστὶ ἕκαστον τῶν ζ΄ καὶ ἔτι πλέον $\frac{\alpha}{\delta}$ τοῦ ἑαυτοῦ σώματος, ἑκάστου τῶν ε΄ς″ δηλονότι, ὥστε ἐὰν ἀφέλῃς $\frac{\alpha}{\delta}$ ἐφ᾽ ἑκάστου σώματος τῶν ε΄ς″ ἀναλόγως, τὸ ἐναπομεῖναν μέρος ἐφ᾽ ἑκάστου τῶν ε΄, τοσοῦτον χρὴ εἶναι καὶ ἕκαστον σῶμα τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως.

$$\begin{array}{l} \overset{\gamma}{\not\alpha\ \not\delta}\ \text{καὶ}\ \frac{\beta}{\gamma} \\ \alpha\_\alpha \end{array} \qquad \alpha\ \text{καὶ}\ \frac{\gamma\ \text{καὶ}\ \frac{\beta}{\gamma}}{\alpha\,\delta\ \text{καὶ}\ \frac{\beta}{\gamma}}\ \text{καὶ}\ \frac{\alpha}{\delta}$$

Ποίησον τοῦτο καὶ διὰ τῆς μεταχειρίσεως τῶν φλουριῶν καὶ εὑρήσεις οὕτως, ὡς καὶ ἡ πρόχειρος δεδήλωκε μεταχείρισις. εἴπομεν ἐπὶ τῆς προτέρας μεταχειρίσεως, ὅτι ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ς΄ τὰ ζ΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$ γίνονται ὑπέρπυρα μδ΄. τὰ δὲ ε΄ς″ – ἕκαστον μὲν τῶν ε΄ ἀνὰ ὑπερπύρων η΄, τὸ δὲ ς″ ὑπέρπυρα δ΄ – γίνονται καὶ ταῦτα ὑπέρπυρα μδ΄. ἐπεὶ δὲ ἕκαστον τῶν ε΄ οἰκειοῦται ὑπέρπυρα η΄, ἄφελε $\frac{\alpha}{\delta}$ ἐκ τοῦ σώματος τῶν η΄ ὑπερπύρων, καθὼς ἡ πρόχειρος μεταχείρισις δεδήλωκε, καὶ ἀπομένοσι ὑπέρπυρα ς΄· τὸ γὰρ $\frac{\alpha}{\delta}$ τῶν η΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα β΄, ἀφελόμενος δὲ ὑπέρπυρα β΄ ἐκ τῶν η΄ ἀπομένοσι καὶ ὑπέρπυρα ς΄. καὶ ἰδοὺ ἀφελόμενος $\frac{\alpha}{\delta}$ ἐκ τοῦ σώματος ἑκάστου τῶν ε΄, τουτέστι ἐκ τῶν η΄ ὑπερπύρων, τὰ ἐναπομένοντα ὑπέρπυρα ς΄ ἐστί, ὅσον ἐστὶ ἕκαστον σῶμα τῶν ζ΄ φλουριῶν καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως, καθὼς εἴπομεν, ὅτι ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ς΄ τὰ ζ΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$ γίνονται ὑπέρπυρα μδ΄. ‖ f. 34r

Ἕτερον τούτου ὅμοιον. Ἔστω δὲ ὅτι βούλ(ει) διαμερίσαι ς΄ καὶ $\frac{\beta}{\gamma}$ εἰς μέρη ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ καὶ εἰδέναι, πόσον ἐστὶ ἔλαττο ἕκαστον τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ ἐφ᾽ ἑκάστου τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$. ποίησον τὰ ς΄ καὶ $\frac{\beta}{\gamma}$ τρίτα. τρὶς οὖν ς΄ γίνονται ιη΄. πρόσθες καὶ τὰ ἄνωθεν β΄, καὶ γίνονται ὁμοῦ τρίτα κ΄ τὰ ς΄ καὶ $\frac{\beta}{\gamma}$. ποίησον τρίτα καὶ τὰ ιη΄ καὶ $\frac{\alpha}{\gamma}$. τρὶς οὖν ιη΄ γίνονται νδ΄. πρόσθες καὶ τὸ ἄνωθεν α΄, καὶ γίνονται ὁμοῦ τρίτα νε΄ τὰ ιη΄ καὶ $\frac{\alpha}{\gamma}$. καὶ τὰ μὲν κ΄ ἐστὶ μεριστής, τὰ δὲ νε΄ ἐστὶ σῶμα. μέρισον τὰ νε΄ διὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς β΄ καὶ $\frac{\alpha\,\varepsilon}{\beta\,\kappa}$, τουτέστι β΄ καὶ $\frac{\gamma}{\delta}$. καὶ ἰδοὺ διπλάσιον λόγον καὶ $\frac{\gamma}{\delta}$ ἑνὸς ἀκεραίου ἔχει ἕκαστον σῶμα τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἐφ᾽ ἑκάστου σώματος τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως. μέρισον τοίνυν ἕκαστον σῶμα τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$ εἰς μέρη β΄ καὶ $\frac{\gamma}{\delta}$, καὶ ὅση ἂν γένηται ἑκάστη μερὶς τῶν ς΄ εἰς β΄ καὶ $\frac{\gamma}{\delta}$ μεριζομένη μέρη, τοσαύτη χρὴ εἶναι καὶ ἑκάστη μερὶς τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως. διπλασίασον δὲ πάλιν ἕκαστον μέρος τῶν ιη΄, πρόσθες καὶ $\frac{\gamma}{\delta}$ τοῦ αὐτοῦ σώματος, καὶ ὅσον ἂν γένηται, τοσοῦτόν ἐστι πάλιν ἕκαστον σῶμα τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἀναλόγως.


$$\begin{array}{l} \alpha \\ \not\varepsilon\ \varepsilon \\ \beta\_\kappa \\ \beta\ \text{καὶ}\ \frac{\gamma}{\delta} \end{array} \qquad \frac{\alpha\,\varepsilon}{\beta\,\kappa}$$

---

9 **ad** ἀναλόγως **in inf. marg.**: καὶ ἄλλως. συγκρίνας τὰ γ΄ καὶ $\frac{\beta}{\gamma}$ τὸ τζάκισμα οὐ μετὰ τῶν α δ΄ καὶ $\frac{\beta}{\gamma}$, ὧν ἔχεις σῶμα, ἀλλὰ μετὰ τῶν α α΄, ὧν ἔχεις μεριστήν, γίνεται τζάκισμα $\frac{\alpha\,\alpha}{\gamma\,\gamma}$, τουτέστι $\frac{\alpha}{\gamma}$. μεριζόμενον δὲ ἕκαστον σῶμα τῶν ε΄$\frac{\alpha}{\beta}$ εἰς α΄ καὶ $\frac{\alpha}{\gamma}$, ὅσος ἂν γένηται ὁ τούτων μερισμός, τοσοῦτον ἔσται καὶ ἕκαστον σῶμα τῶν ζ΄ καὶ $\frac{\alpha}{\gamma}$, καθὼς καὶ ἐπὶ τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$ μεριζομένων εἰς μέρη ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ οὕτως ἐγένετο. **(cf. prox. exempl. initio f. 34r)**

35 **in dextro marg.**: καὶ ἄλλως. συγκρίνας τὰ α ε΄ τὸ τζάκισμα οὐ μετὰ τῶν β κ΄, ὧν ἔχεις μεριστήν, ἀλλὰ μετὰ τῶν ε ε΄, ὧν ἔχεις σῶμα, γίνεται τζάκισμα $\frac{\alpha\,\varepsilon}{\varepsilon\,\varepsilon}$, τουτέστι $\frac{\gamma}{\alpha\,\alpha}$. ἔστι δὲ ἕκαστον σῶμα τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$, ὅσον ἐστὶ δὶς ἕκαστον τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ καὶ ἔτι πλείω $\frac{\gamma}{\alpha\,\alpha}$ ἑκάστου σώματος τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$, καθὼς καὶ ἐπὶ τῶν ε΄$\frac{\alpha}{\beta}$ μεριζομένων εἰς μέρη ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ οὕτως ἐγένετο. **(cf. exempl. antecedens)**


Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, ποίησον τοῦτο καὶ διὰ τῆς κοινῆς μεταχειρίσεως τῶν φλουριῶν. ἔστωσαν τοίνυν φλουριὰ ϛ΄ καὶ $\frac{\beta}{\gamma}$, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ϛ΄. τὰ ϛ΄ φλουριὰ καὶ $\frac{\beta}{\gamma}$ γίνονται ὑπέρπυρα μ΄. λάβε οὖν ἑνὸς φλουριοῦ ὑπέρπυρα, τουτέστι ὑπέρπυρα ϛ΄, μέρισον δὲ τὰ ϛ΄ ὑπέρπυρα, ἅπερ ἐστὶ σῶμα ἑκάστου τῶν ϛ΄ φλουριῶν, εἰς μέρη β΄ καὶ $\frac{\chi}{\delta}$. ἐπεὶ δὲ τὰ β΄ ἔχουσι καὶ $\frac{\chi}{\delta}$, ποίησον τὰ β΄ ἀκέραια τέταρτα· δ΄κις οὖν β΄ γίνονται η΄. πρόσθες καὶ τὰ ἄνωθεν γ΄, καὶ γίνονται ια΄ τέταρτα τὰ β΄ καὶ $\frac{\chi}{\delta}$. ποίησον καὶ τὰ ϛ΄ ὑπέρπυρα τέταρτα. γίνονται δὲ τὰ ϛ΄ ὑπέρπυρα τέταρτα κδ΄· δ΄κις γὰρ ϛ΄ κδ΄ γίνονται. μέρισον τὰ κδ΄ τέταρτα μετὰ τῶν ια΄ τετάρτων καὶ ἐξέρχεται γράμμα ἕνα, ὅπερ δηλοῖ ὑπέρπυρα β΄. ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα β΄. ποίησον κουκκιὰ τὰ β΄ ὑπέρπυρα· γίνονται δὲ τὰ β΄ ὑπέρπυρα κουκκιὰ μ΄. μέρισον τὰ μ΄ κουκκιὰ μετὰ τῶν ια΄ καὶ ἐξέρχεται γράμμα ἕνα, ὅπερ δηλοῖ κουκκιὰ γ΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ζ΄. ποίησον τουρν(έ)σι(α) τὰ ζ΄ κουκκιά· γίνονται δὲ τὰ ζ΄ κουκκιὰ τουρν(έ)σι(α) κη΄. μέρισον τὰ κη΄ τουρν(έ)σι(α) μετὰ τῶν ια΄ καὶ ἐξέρχεται γράμμα ἕνα, ὅπερ δηλοῖ τουρν(έ)σι(α) β΄. ἀπομένει καὶ τζάκισμα ϛ΄ ἑνδέκατα. καὶ ἰδοὺ εὗρες, ὅτι διαμεριζόμενα τὰ ϛ΄ ὑπέρπυρα, ἅπερ ἐστὶ τέταρτα κδ΄, εἰς μέρη β΄ καὶ $\frac{\chi}{\delta}$, ἅπερ ἐστὶ τέταρτα ια΄, γίνεται ὁ διαμερισμὸς τούτων ὑπέρπυρα β΄ κουκκιὰ γ΄ τουρν(έ)σι(α) β΄ καὶ τζάκισμα ϛ΄ ἑνδέκατα. ἕκαστον οὖν σῶμα τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀναλόγως εὑρεθήσεται ἔχον τὴν ὁμοίαν ποσότητα, ἣν ἡμῖν ἡ πρόχειρος δεδήλωκε μεταχείρισις, τουτέστι ὑπέρπυρα β΄ κουκκιὰ γ΄ τουρν(έ)σι(α) β΄ καὶ τζάκισμα ϛ΄ ἑνδέκατα.



Ὅσπερ δὲ ἐμέρισας τὰ ϛ΄ ὑπέρπυρα, ἅπερ ἐστὶ σῶμα ἑκάστου τῶν ϛ΄ φλουριῶν, εἰς μέρη β΄ καὶ $\frac{\chi}{\delta}$ καὶ ἀπέδωκας τὴν οἰκείαν ποσότητα ἑκάστου σώματος τῶν ιη΄, τουτέστι ὑπέρπυρα β΄ κουκκιὰ γ΄ τουρν(έ)σι(α) β΄ καὶ τζάκισμα ϛ΄ ἑνδέκατα, οὕτως διπλασίασον ταῦτα, ἅπερ ἐστὶ σῶμα ἑκάστου τῶν ιη΄. πρόσθες ἀλλ⟨ὰ⟩ καὶ $\frac{\chi}{\delta}$ ἑκάστου σώματος τῶν ιη΄, καὶ πάλιν γενήσεται, ὅσον ἐστὶ ἕκαστον σῶμα τῶν ϛ΄ φλουριῶν, τουτ-

---


23 in dextro marg. fol. 34^{r}:



έστι ὑπέρπυρα ς΄. θὲς οὖν δὶς ὑπέρπυρα β΄ κουκκιὰ γ΄ τουρν(έ)σ(ια) β΄ τζά(κισμα) ς΄, κατωτέρω δὲ τούτων θὲς τὰ $\frac{\gamma}{\delta}$ τῶν β΄ ὑπερπύρων καὶ κουκκιῶν γ΄ καὶ τουρν(ε)σί(ων) β΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄ κουκκιὰ ιβ΄ τουρν(έ)σι(α) γ΄ ἔγγιστα. ἕνωσον δὲ τὰ δύο τζακίσματα· δὶς οὖν ς΄ γίνονται ιβ΄, καὶ ἐπεὶ ὁ μεριστής ἐστι ια΄, τὰ ιβ΄ τζακίσματά ἐστι τουρν(έ)σ(ια) α΄ καὶ πλέον τι. ἕνωσον τοῦτο τὸ α΄ τουρν(έ)σι μετὰ τῶν ζ΄ τουρν(ε)σίων, ὧν ἔχοσι τὰ δύο μέρη καὶ $\frac{\gamma}{\delta}$, καὶ γίνονται ὁμοῦ τουρν(έ)σ(ια) η΄, ἅπερ ἐστὶ κουκκιὰ β΄. θὲς τὰ β΄ κουκκιὰ εἰς τὰ κουκκιὰ καὶ ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ κουκκιὰ κ΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄. θὲς τὸ α΄ ὑπέρπυρον εἰς τὰ ὑπέρπυρα καὶ ἕνωσον τὰ ὑπέρπυρα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ς΄. καὶ ἰδοὺ καλῶς ἡμῖν ἡ πρόχειρος δεδήλωκε μεταχείρισις, ὅτι ἕκαστον σῶμα τῶν ς΄ διπλάσιον λόγον καὶ $\frac{\gamma}{\delta}$ ἔχει ἐφ' ἑκάστου σώματος τῶν ιη΄· διαμερισθὲν γὰρ ἕκαστον σῶμα τῶν ς΄ εἰς μέρη β΄ καὶ $\frac{\gamma}{\delta}$ γίνεται, ὅσον ἐστὶ ἕκαστον σῶμα τῶν ιη΄. ἕκαστον δὲ σῶμα τῶν ιη΄ – διπλασιάσας τοῦτο, προσθεὶς δ' ἔτι καὶ $\frac{\gamma}{\delta}$ τοῦ ἑαυτοῦ σώματος, γίνεται πάλιν, ὅσον ἐστὶ ἕκαστον σῶμα τῶν ς΄, ὡς ἀποδέδεικται.

Ποίησον τοῦτο καὶ ἄλλως. τὰ ς΄ φλουριὰ καὶ $\frac{\beta}{\gamma}$ εἴπομεν, ὅτι γίνονται ὑπέρπυρα μ΄. ἐπεὶ οὖν τὰ ιη΄ ἀκέραια ἔχοσι καὶ $\frac{\alpha}{\gamma}$ καὶ οὐ δύνασαι μερίσαι τὰ μ΄ ὑπέρπυρα μετὰ τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$, ποίησον τρίτα τὰ ιη΄. τρὶς οὖν ιη΄ γίνονται νδ΄ καὶ τὸ ἄνωθεν α΄ – ὁμοῦ τρίτα νε΄ τὰ ιη΄ καὶ $\frac{\alpha}{\gamma}$. ποίησον τρίτα καὶ τὰ μ΄ ὑπέρπυρα· τρὶς οὖν μ΄ γίνονται ρκ΄ τρίτα τὰ μ΄ ὑπέρπυρα. μέρισον οὖν τὰ ρκ΄ τρίτα τῶν μ΄ ὑπερπύρων μετὰ τῶν νε΄ τρίτων τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ καὶ ἐξέρχεται γράμμα ἕνα, ὅπερ δηλοῖ ὑπέρπυρα β΄, ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ι΄. ποίησον ταῦτα κουκκιὰ καὶ γίνονται τὰ ι΄ ὑπέρπυρα κουκκιὰ σ΄. μέρισον τὰ σ΄ κουκκιὰ μετὰ τῶν νε΄ καὶ ἐξέρχεται γράμμα ἕνα, ὅπερ δηλοῖ κουκκιὰ γ΄, ἀπομένει καὶ τζάκισμα κουκκιὰ λε΄. ποίησον ταῦτα τουρν(έ)σ(ια), καὶ γίνονται τὰ λε΄ κουκκιὰ τουρν(έ)σ(ια) ρμ΄. μέρισον ταῦτα μετὰ τῶν νε΄ καὶ ἐξέρχεται γράμμα ἕνα, ὅπερ δηλοῖ τουρν(έ)σι(α) β΄. ἀπομένει καὶ τζάκισμα, ὅπερ δηλοῖ λ΄ πεντηκοστὰ πέμπτα. σχίσον τὰ λ΄ εἰς μέρη πέντε καὶ γίνεται ἕκαστον τῶν πέντε ἀνὰ ς΄, σχίσον καὶ τὰ νε΄ εἰς μέρη πέντε καὶ γίνεται ἕκαστον τῶν πέντε ἀνὰ ια΄, ἅπερ οὕτως κείμενα $\frac{\varsigma}{\iota\alpha}$ δηλῶσι ς΄ ἐνδέκατα. καὶ ἰδοὺ καὶ οὕτως εὕρες, ὅτι ἕκαστον σῶμα τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ οἰκειοῦται ὑπέρπυρα β΄ κουκκιὰ γ΄ τουρν(έ)σ(ια) β΄ τζά(κισμα) ς΄ ἐνδέκατα, καθὼς οὕτως εὗρες διαμερίσας τὰ ς΄ ὑπέρπυρα εἰς μέρη β΄ καὶ $\frac{\gamma}{\delta}$.

Θὲς οὖν τὰ οἰκεῖα μέρη τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ καὶ ἕνωσον τὰ τζακίσματα καὶ γίνονται ὁμοῦ τζακίσματα ρι΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ια) ι΄. ἕνωσον δὲ τὰ τουρν(έ)σι(α) καὶ γίνονται ‖ τουρν(έ)σ(ια) μη΄, ἅπερ ἐστὶ κουκκιὰ ιβ΄. ἕνωσον τὰ κουκκιὰ καὶ γίνονται κουκκιὰ π΄, ἅπερ ἐστὶ ὑπέρπυρα δ΄. ἕνωσον τὰ ὑπέρπυρα καὶ γίνονται ὑπέρπυρα μ΄. καὶ ἰδοὺ τὰ ς΄ φλουριὰ καὶ $\frac{\beta}{\gamma}$, ἅπερ ἐστὶ ὑπέρπυρα μ΄, γίνονται μέρη ιη΄ καὶ $\frac{\alpha}{\gamma}$, ἕκαστον μέρος τῶν ιη΄ καὶ $\frac{\alpha}{\gamma}$ ἀνὰ ὑπέρπυρα β΄ κουκκιὰ γ΄ τουρν(έ)σ(ια) β΄ τζά(κισμα) ς΄ ἐνδέκατα, ὡς διὰ τῆς προχείρου




6 ἔγγιστα] ἔγκιςα **C** 38 etc.: cf. additionem in dextro marg. f. 34^{r} (p. 68)

μεταχειρίσεως εὕρομεν οὕτως.
ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

νγ **Περὶ τοῦ ἐὰν τὰ γ΄ γίνωνται δ΄, τὰ ε΄ πόσα γίνονται, καὶ ἐὰν τὰ ια΄ γίνωνται ιε΄, τὰ κ΄ πόσα γίνονται καὶ ἑξῆς ὁμοίως**

Ἔστω ὅτι ζητεῖς εἰδέναι, ἐὰν τὰ γ΄ αὐξανόμενα γίνωνται δ΄, τὰ ε΄ κατὰ τὸν αὐτὸν λόγον πόσα γίνονται αὐξανόμενα. ἔχεις οὖν τοῦτο εἰδέναι διὰ τῆς μεταχειρίσεως τῆς διὰ τῶν τριῶν. διὰ τῶν τριῶν δὲ λέγεται διὰ τὸ πολλ(α)πλασιάζειν τὰ ε΄ μετὰ τῶν δ΄ καὶ διαμερίζειν τὰ πολλ(α)πλασιασθέντα μετὰ τῶν γ΄· διὰ γὰρ τῶν γ΄ καὶ δ΄ καὶ ε΄, οἵτινές εἰσι τρεῖς ἀριθμοὶ ἀνόμοιοι, εὑρίσκεται τὸ ζητούμενον. ἐνεργοῦντες δὲ οἱ τρεῖς τὸ ζητούμενον καλῶς ἂν καὶ διὰ τῶν τριῶν λέγεται.


Πολλ(α)πλασίασον δὲ τὰ ε΄ μετὰ τῶν δ΄, ὡς εἴπομεν· δ΄κις οὖν ε΄ γίνονται κ΄. μέρισον τὰ κ΄ μετὰ τῶν γ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ς΄ καὶ $\frac{\beta}{\gamma}$. καὶ ἰδοὺ ἐὰν τὰ γ΄ γίνωνται αὐξανόμενα δ΄, τὰ ε΄ κατὰ τὸν αὐτὸν ὅμοιον λόγον αὐξανόμενα γίνονται ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς ἀκεραίου.



ἡ δὲ ἀπόδειξις ἡ διὰ τῶν τριῶν, ὅτι ἐστὶ ὀρθὸν τὸ γενόμενον, ἔστι αὕτη. πολλ(α)πλασίασον τὰ ε΄ μετὰ τῶν δ΄ ὡς τὸ πρότερον· δ΄κις οὖν ε΄ γίνονται κ΄. πολλ(α)πλασίασον καὶ τὸν μεριστὴν μετὰ τοῦ ἐξελθόντος διαμερισμοῦ, τουτέστι τὰ γ΄ μετὰ τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$· τρὶς οὖν ς΄ καὶ $\frac{\beta}{\gamma}$ γίνονται κ΄. ἐπεὶ δὲ δ΄κις ε΄ ἐστὶ κ΄ καὶ τρὶς ς΄ καὶ $\frac{\beta}{\gamma}$ πάλιν ἐστὶ κ΄, ἔστι ὀρθὸν τὸ γενόμενον.

Ἕτερον τούτου ὅμοιον. Ἔστω δὲ ὅτι ζητεῖς, ἐὰν τὰ ια΄ αὐξανόμενα γίνωνται ιε΄, τὰ κ΄ πόσα γίνονται αὐξανόμενα κατὰ τὸν ὅμοιον λόγον.


πολλ(α)πλασίασον τὰ κ΄ μετὰ τῶν ιε΄· κ΄κις οὖν ιε΄ γίνονται τ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κζ΄ καὶ $\frac{\gamma}{\iota\alpha}$ ἑνὸς ἀκεραίου. καὶ ἰδοὺ ἐὰν τὰ ια΄ γίνωνται ιε΄, τὰ κ΄ κατὰ τὸν αὐτὸν λόγον γίνονται κζ΄ καὶ $\frac{\gamma}{\iota\alpha}$.



ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία τῆς προτέρας. πολλ(α)πλασίασον γὰρ πάλιν τὰ κ΄ μετὰ τῶν ιε΄· κ΄κις οὖν ιε΄ γίνονται τ΄. πολλ(α)πλασίασον καὶ τὰ κζ΄ καὶ $\frac{\gamma}{\iota\alpha}$ μετὰ τῶν ια΄· ια΄κις οὖν κζ΄ καὶ $\frac{\gamma}{\iota\alpha}$ γίνονται πάλιν τ΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

νδ **Καὶ τὸ ἀνάπαλι(ν)**


Ἔστω δὲ ὅτι ζητεῖς τὸ ἀνάπαλιν· ἐὰν τὰ ιε΄ ἐλαττούμενα γίνωνται ια΄, τὰ κ΄ κατὰ τὸν αὐτὸν λόγον ἐλαττούμενα πόσα γίνονται. νῦν δὲ τὸ ἐναντίον ποίησον. πολλ(α)πλασίασον γὰρ τὰ κ΄ οὐ μετὰ τῶν ιε΄, ἀλλὰ μετὰ τῶν ια΄· κ΄κις οὖν ια΄ γίνονται σκ΄. μέρισον ταῦτα οὐ μετὰ τῶν ια΄, ἀλλὰ μετὰ τῶν ιε΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιδ΄ καὶ $\frac{\alpha\,\iota}{\alpha\,\varepsilon}$, ἅπερ ἐστὶ $\frac{\beta}{\gamma}$. καὶ ἰδοὺ ἐὰν τὰ ιε΄ ἐλαττούμενα γίνωνται ια΄, τὰ κ΄ κατὰ τὸν αὐτὸν λόγον ἐλαττο<ύ>μενα γίνονται ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς ἀκεραίου.




ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία τῶν προτέρων. πολλ(α)πλασίασον γὰρ πάλιν τὰ κ΄ μετὰ τῶν ια΄· κ΄κις οὖν ια΄ γίνονται σκ΄. πολλ(α)πλασίασον καὶ τὰ ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ μετὰ τῶν ιε΄· ιε΄κις οὖν ιδ΄ καὶ $\frac{\beta}{\gamma}$ γίνονται πάλιν σκ΄. καὶ αὕτη ἐστὶ ἡ διὰ τῶν τριῶν ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον. καὶ ταῦτα μὲν περὶ τῶν

ἀκεραίων τριῶν ψήφων. ἐὰν δὲ ἔστι καὶ $\frac{\alpha}{\beta}$ ἢ καὶ $\frac{\alpha}{\gamma}$ καὶ ἑξῆς ὁμοίως, ἔστι ἑτέρα τις μεταχείρισις ὁμοία τῆς παρούσης, ἥτις καὶ αὐτὴ ἔστι διὰ τῶν τριῶν. δι᾽ αὐτῆς δὲ εὑρίσκεται καλῶς πᾶν ὅμοιον ζήτημαν, κἄντε ἀκέραιά ἐστι τὰ ζητούμενα κἄντε ἔχοσι καὶ τζάκισμα $\frac{\alpha}{\beta}$ ἢ καὶ $\frac{\alpha}{\gamma}$ καὶ ἑξῆς ὁμοίως. ἔστι δὲ αὕτη.


Ἕτερον ὅμοιον ζήτημαν δι᾽ ἑτέρας μεταχειρίσεως. Ἔστω ὅτι ζητεῖς, ἐὰν τὰ β΄$\frac{\alpha}{\beta}$ γίνωνται ε΄, τὰ κε΄ πόσα γίνονται. πολλ(α)πλασίασον τὰ β΄ ἀκέραια μετὰ τῶν κάτωθεν β΄, ὧν δηλῶσι μισόν· δὶς οὖν β΄ γίνονται δ΄ μισὰ καὶ α΄, τὸ ἄνωθεν τῆς κεραίας γραμμῆς, ὁμοῦ μισὰ ε΄. θὲς ἄνωθεν μὲν τὰ ε΄ μισά, κάτωθεν δὲ τῶν ε΄ θὲς β΄. θὲς ἄνωθεν καὶ τὰ ε΄ ἀκέραια, κάτωθεν δὲ τῶν ε΄ ἀκεραίων θὲς α΄. καὶ τὸ μὲν α΄, ὅπερ ἐστὶ κάτωθεν τῶν ε΄ ἀκεραίων, δηλοῖ, ὅτι τὰ ἄνωθεν αὐτοῦ ε΄ ἐστὶ ἀκέραια. τὰ δὲ β΄, ἅπερ ἐστὶ κάτωθεν τῶν ε΄ μισῶν, δηλοῖ, ὅτι τὰ ἄνωθεν αὐτῶν ε΄ ἐστὶ μισά. εἰ δὲ τὰ κάτωθεν β΄ ἦν γ΄, ἐδήλει ἂν τὰ γ΄, ὅτι τὰ ἄνωθεν αὐτῶν ε΄ ἐστὶ τρίτα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς ἐναλλὰξ τὸ κάτωθεν α΄ μετὰ τῶν ἄνωθεν τῶν β΄ ε΄ μισῶν· ἅπαξ οὖν ε΄ πάλιν ἐστὶ ε΄. ἔστι δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον στ(αυ)ροειδῶς ἐναλλὰξ τὰ κάτωθεν β΄ μετὰ τῶν ἄνωθεν τοῦ α΄ ἀκεραίων ε΄· δὶς οὖν ε΄ γίνονται ι΄. ταῦτά ἐστι ὁ πολλ(α)πλασιαστὴς τοῦ σώματος. πολλ(α)πλασίασον γὰρ δι᾽ αὐτῶν τῶν ι΄ τὰ κε΄· ι΄κις οὖν κε΄ γίνονται σν΄. μέρισον ταῦτα μετὰ τῶν ε΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ν΄. καὶ ἰδοὺ ἐὰν τὰ β΄$\frac{\alpha}{\beta}$ γίνωνται ε΄, τὰ κε΄ γίνονται ν΄.



Ἕτερον τούτου ὅμοιον. Ἐὰν τὰ β΄$\frac{\alpha}{\beta}$ γίνωνται δ΄ καὶ $\frac{\alpha}{\gamma}$, τὰ κε΄ πόσα γίνονται; τὰ μὲν β΄$\frac{\alpha}{\beta}$, ὡς εἴπομεν, γίνονται μισὰ ε΄. θὲς ἄνωθεν μὲν τὰ ε΄ μισά, κάτωθεν δὲ β΄. τὰ δὲ δ΄ καὶ $\frac{\alpha}{\gamma}$ – τρὶς τὰ δ΄ ἀκέραια γίνονται ιβ΄ τρίτα ‖ καὶ α΄, τὸ ἄνωθεν τῆς κεραίας γραμμῆς, ὁμοῦ τρίτα ιγ΄. θὲς ἄνωθεν μὲν τὰ ιγ΄ τρίτα, κάτωθεν δὲ γ΄. δηλῶσι δὲ τὰ κάτωθεν γ΄, ὅτι τὰ ἄνωθεν αὐτῶν ιγ΄ ἐστὶ τρίτα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς ἐναλλὰξ τὰ κάτωθεν γ΄ μετὰ τῶν ἄνωθεν ε΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. ἔστι δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον στ(αυ)ροειδῶς ἐναλλὰξ τὰ κάτωθεν β΄ μετὰ τῶν ἄνωθεν ιγ΄· δὶς οὖν ιγ΄ γίνονται κς΄. ἔστι δὲ ταῦτα ὁ πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον γὰρ δι᾽ αὐτῶν τὰ κε΄· κς΄κις οὖν κε΄ γίνονται χν΄. μέρισον ταῦτα μετὰ τῶν ιε΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς μγ΄ καὶ $\frac{\alpha}{\gamma}$. ἐὰν οὖν τὰ β΄$\frac{\alpha}{\beta}$ γίνωνται δ΄ καὶ $\frac{\alpha}{\gamma}$, τὰ κε΄ γίνονται μγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς ἀκεραίου. f. 35r



Ἕτερον τούτου ὅμοιον. Ἐὰν τὰ δ΄ καὶ $\frac{\alpha}{\gamma}$ γίνωνται ε΄ καὶ $\frac{\alpha}{\delta}$, τὰ κε΄ καὶ $\frac{\alpha}{\varsigma}$ πόσα γίνονται; τρὶς τὰ δ΄ ἀκέραια γίνονται ιβ΄, καὶ τὸ ἄνωθεν α΄ ὁμοῦ τρίτα ιγ΄. θὲς ἄνωθεν μὲν τὰ ιγ΄ τρίτα, κάτωθεν δὲ γ΄. δ΄κις δὲ ε΄ ἀκέραια γίνονται κ΄ τέταρτα, καὶ α΄ τὸ ἄνωθεν ὁμοῦ τέταρτα κα΄. θὲς ἄνωθεν μὲν τὰ κα΄ τέταρτα, κάτωθεν δὲ δ΄, ἅπερ δ΄ δηλῶσι, ὅτι τὰ ἄνωθεν αὐτῶν κα΄ ἐστὶ τέταρτα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς ἐναλλὰξ τὰ κάτωθεν δ΄ μετὰ τῶν




14 ἐδήλει] ἐδίλη **C pro** ἐδήλου

ἄνωθεν ιγ΄· δ΄κις οὖν ιγ΄ γίνονται νβ΄. ἔστι δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς ἐναλλὰξ τὰ κάτωθεν γ΄ μετὰ τῶν ἄνωθεν κα΄· τρὶς οὖν κα΄ γίνονται ξγ΄. ἔστι δὲ ταῦτα ὁ πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον γὰρ δι᾽ αὐτῶν τὰ κε΄ καὶ $\frac{\alpha}{\varsigma}$· ξγ΄κις οὖν κε΄ γίνονται α ε ζ ε΄. πολλ(α)πλασίασον διὰ τῶν ξγ΄ καὶ τὸ $\frac{\alpha}{\varsigma}$· ξγ΄κις οὖν $\frac{\alpha}{\varsigma}$ γίνονται $\frac{\Xi\Gamma}{\varsigma}$, ἅπερ ἐστὶ ἀκέραια δέκα καὶ $\frac{\chi}{\varsigma}$, τουτέστι ι΄ς″. ἕνωσον καὶ ταῦτα μετὰ τῶν α ε ζ ε΄ καὶ γίνονται ὁμοῦ α ε η ε΄$\frac{\alpha}{\beta}$. ἐπεὶ δέ ἐστι μισόν, ποίησον ταῦτα μισά· δὶς οὖν α ε η ε΄ γίνονται γ α ζ μ΄, καὶ α΄ τὸ ἄνωθεν τῆς κεραίας γραμμῆς ὁμοῦ μισὰ γ α ζ α΄. ποίησον μισὰ καὶ τὸν μεριστήν, τὰ νβ΄· δὶς οὖν νβ΄ γίνονται ρδ΄. μέρισον τὰ ,γροα΄ μισὰ μετὰ τῶν ρδ΄ μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς λ΄ς″ ἔγγιστα. καὶ ἰδοὺ ἐὰν τὰ δ΄ καὶ $\frac{\alpha}{\gamma}$ γίνωνται ε΄ καὶ $\frac{\alpha}{\delta}$, τὰ κε΄ καὶ $\frac{\alpha}{\varsigma}$ γίνονται λ΄ς″ ἔγγιστα.

Καὶ τὸ ἀνάπαλ(ιν). Ἐὰν τὰ ε΄ καὶ $\frac{\alpha}{\delta}$ ἐλαττούμενα γίνωνται δ΄ καὶ $\frac{\alpha}{\gamma}$, τὰ κε΄$\frac{\alpha}{\beta}$ πόσα γίνονται; καὶ τὰ μὲν ε΄ καὶ $\frac{\alpha}{\delta}$ γίνονται $\frac{\beta\,\alpha}{\delta}$, τὰ δὲ δ΄ καὶ $\frac{\alpha}{\gamma}$ γίνονται $\frac{\alpha\,\gamma}{\gamma}$. πολλ(α)πλασίασον στ(αυ)ροειδῶς τὰ κάτωθεν γ΄ μετὰ τῶν ἄνωθεν κα΄· τρὶς οὖν κα΄ γίνονται ξγ΄. ἔστι δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς ἐναλλὰξ τὰ κάτωθεν δ΄ μετὰ τῶν ἄνωθεν ιγ΄· δ΄κις οὖν ιγ΄ γίνονται νβ΄. ἔστι δὲ ταῦτα ὁ πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον γὰρ δι᾽ αὐτῶν τὰ κε΄$\frac{\alpha}{\beta}$· νβ΄κις οὖν κε΄ γίνονται ,ατ΄ καὶ νβ΄κις $\frac{\alpha}{\beta}$ γίνονται ἀκέραια κς΄. ἕνωσον ταῦτα μετὰ τῶν ,ατ΄ καὶ γίνονται ὁμοῦ ,ατκς΄. μέρισον ταῦτα μετὰ τῶν ξγ΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κα΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\gamma}{\varsigma\,\gamma}$, ὅπερ δηλοῖ γ΄ ἑξηκοστὰ τρίτα. σχιζόμενα δὲ εἰς μέρη τρία γίνεται τὸ παρὸν τζάκισμα $\frac{\alpha}{\beta\,\alpha}$, ὅπερ δηλοῖ ἕνα εἰκοστὸν πρῶτον. καὶ ἰδοὺ ἐὰν τὰ ε΄ καὶ $\frac{\alpha}{\delta}$ γίνωνται ἐλαττούμενα δ΄ καὶ $\frac{\alpha}{\gamma}$, τὰ κε΄$\frac{\alpha}{\beta}$ κατὰ τὸν αὐτὸν λόγον ἐλαττούμενα γίνονται κα΄ καὶ $\frac{\alpha}{\kappa\alpha}$.


$\frac{\beta\,\alpha}{\delta} \times \frac{\alpha\,\gamma}{\gamma}$



ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως τῆς διὰ τῶν τριῶν ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

νε Περὶ τοῦ ἐὰν η΄κις η΄ οὐ γίνωνται ξδ΄, ἀλλὰ αὐξανόμενα πλέον τοῦ δέοντος γίνωνται ρ΄, ιβ΄κις ιβ΄ πολλ(α)πλασιαζόμενα κατὰ τὸν αὐτὸν λόγον πόσα γίνονται

Ἀληθῶς οὖν η΄κις η΄ γίνονται ξδ΄ καὶ ιβ΄κις ιβ΄ πολλ(α)πλασιαζόμενα γίνονται ρμδ΄. ἐπεὶ δὲ νῦν εἴπομεν, ὅτι η΄κις η΄ οὐ γίνονται ξδ΄, ἀλλὰ αὐξανόμενα πλέον τοῦ δέοντος γίνονται ρ΄, πολλ(α)πλασίασον τὰ ρμδ΄ μετὰ τῶν ρ΄ καὶ μέρισον τὰ πολλ(α)πλασιασθέντα μετὰ τῶν ξδ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς σκε΄. καὶ ἰδοὺ εὗρες, ὅτι ιβ΄κις ιβ΄ πολλ(α)πλασιαζόμενα πλέον τοῦ δέοντος οὐκ ἐγένοντο ρμδ΄, ἀλλὰ μᾶλλον σκε΄, καθ᾽ ὃν λόγον εἴπομεν, ὅτι η΄κις η΄ οὐ γίνονται ξδ΄, ἀλλὰ αὐξανόμενα ὑπὲρ τὸ δέον γίνονται ρ΄· ὃν γὰρ λόγον ἔχουσι τὰ ρ΄ πρὸς τὰ ξδ΄, τὸν αὐτὸν ἔχουσι καὶ τὰ σκε΄ πρὸς τὰ ρμδ΄.




Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, ὡς ἡ πρόχειρος δεδήλωκε μεταχείρισις· δὶς ξδ΄ γίνονται ρκη΄. ἔστι δὲ καὶ τὸ οἰκεῖον τῶν ρκη΄ αὐξανόμενον διπλάσιον τῶν ρ΄, τουτέστι σ΄· καθὼς γὰρ τὰ ξδ΄ οἰκειοῦνται ρ΄, οὕτως καὶ τὰ ρκη΄ οἰκειοῦνται σ΄. λείπονται ἀπὸ τῶν ρκη΄ μέχρι τῶν ρμδ΄ ις΄. τὰ ις΄ δέ ἐστι τέταρτον μέρος τῶν ξδ΄· δ΄κις γὰρ ις΄ ξδ΄ γίνονται. καθὼς οὖν ἐδιπλασίασας τὰ ξδ΄ καὶ ἐγένοντο ρκη΄ – λείπεται δὲ καὶ

$\frac{\alpha}{\delta}$ τῶν ξδ΄, τουτέστι ις΄, πρὸς τὸ γενέσθαι τὰ ρκη΄ ρμδ΄ –, οὕτως διπλασίασον τὰ ρ΄ καὶ γίνονται σ΄. λείπονται κε΄ μέχρι τῶν σκε΄. τὰ δὲ κε΄ ἐστὶ $\frac{\alpha}{\delta}$ τῶν ρ΄ ὥσπερ καὶ τὰ ις΄ τῶν ξδ΄. καὶ ἰδοὺ καὶ οὕτως εὕρες, ὅτι ιβ΄κις ιβ΄ οὐ γίνονται ρμδ΄, ἀλλὰ σκε΄, καθὼς καὶ η΄κις η΄ οὐ γίνονται ξδ΄, ἀλλὰ ρ΄.

καὶ ἄλλως. ‖ ἀπὸ τὰ ξδ΄ λείπονται λς΄ μέχρι τῶν ρ΄. τὰ δὲ λς΄ ἔχοσι λόγον $\frac{\vartheta}{\iota\varsigma}$· δ΄κις γὰρ ϑ΄ γίνονται λς΄ καὶ δ΄κις ις΄ γίνονται ξδ΄. ἀπὸ δὲ τὰ ρμδ΄ λείπονται πα΄ μέχρι τῶν σκε΄. τὰ δὲ πα΄ μετὰ τῶν ρμδ΄ ἔχοσι λόγον $\frac{\vartheta}{\iota\varsigma}$. σχίσον γὰρ τὰ πα΄ καὶ τὰ ρμδ΄ εἰς μέρη ϑ΄· ϑ΄κις οὖν ϑ΄ γίνονται πα΄ καὶ ϑ΄κις ις΄ γίνονται ρμδ΄. καὶ ἰδοὺ καὶ οὕτως ἀποδέδεικται, ὅτι ὃν λόγον ἔχοσι τὰ ξδ΄ πρὸς τὰ ρ΄, τὸν αὐτὸν ἔχοσι καὶ τὰ ρμδ΄ πρὸς τὰ σκε΄, καθὼς καὶ διὰ τῆς προχείρου μεταχειρίσεως εὑρομεν οὕτως, ὅτι ἐὰν η΄κις η΄ οὐ γίνωνται ξδ΄, ἀλλὰ ρ΄, ιβ΄κις ιβ΄ οὐ γίνονται ρμδ΄, ἀλλὰ σκε΄. f. 35v

νς **Καὶ τὸ ἀνάπαλι(ν)**

Ἐὰν η΄κις η΄ οὐ γίνωνται ξδ΄, ἀλλὰ φθειρόμενα γίνωνται μη΄, ιβ΄κις ιβ΄ πολλ(α)πλασιαζόμενα πόσα γίνονται φθειρόμενα κατὰ τὸν αὐτὸν λόγον; ἀληθῶς οὖν η΄κις η΄ γίνονται ξδ΄ καὶ ιβ΄κις ιβ΄ γίνονται ρμδ΄. πολλ(α)πλασίασον δὲ τὰ ρμδ΄ μετὰ τῶν μη΄, ὧν εἴπομεν, ὅτι η΄κις η΄ οὐ γίνονται ξδ΄, ἀλλὰ μη΄. μέρισον δὲ τὰ πολλ(α)πλασιασθέντα μετὰ τῶν ξδ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ρη΄. καὶ ἰδοὺ ἐὰν η΄κις η΄ οὐ γίνωνται ξδ΄, ἀλλὰ φθειρόμενα γίνωνται μη΄, ιβ΄κις ιβ΄ κατὰ τὸν ὅμοιον λόγον εὕρες, ὅτι οὐ γίνονται ρμδ΄, ἀλλὰ φθειρόμενα γίνονται ρη΄· ὃν γὰρ λόγον ἔχοσι τὰ μη΄ πρὸς τὰ ξδ΄, τὸν αὐτὸν ἔχοσι καὶ τὰ ρη΄ πρὸς τὰ ρμδ΄.



Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, ὡς ἡ πρόχειρος δεδήλωκε μεταχείρισις· ἐκ τῶν μη΄ λείπονται ις΄ μέχρι τῶν ξδ΄ καὶ ἐκ τῶν ρη΄ λείπονται λς΄ μέχρι τῶν ρμδ΄. τὰ ις΄ δὲ μετὰ τῶν ξδ΄ συγκρινόμενά ἐστι τέταρτον μέρος· δ΄κις γὰρ ις΄ ξδ΄ γίνονται. ὡσαύτως καὶ τὰ λς΄ πρὸς τὰ ρμδ΄ συγκρινόμενά ἐστι τέταρτον μέρος· δ΄κις γὰρ λς΄ ρμδ΄ γίνονται. ὥσπερ γὰρ η΄κις η΄ οὐ γίνονται ξδ΄, ἀλλὰ μη΄, τὰ δὲ μη΄ ἐστὶ $\frac{\chi}{\delta}$ τῶν ξδ΄, οὕτως καὶ ιβ΄κις ιβ΄ οὐ γίνονται ρμδ΄, ἀλλὰ ρη΄. τὰ δὲ ρη΄ ἐστὶ $\frac{\chi}{\delta}$ τῶν ρμδ΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως τῆς διὰ τῶν τριῶν ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

νζ **Περὶ τοῦ πῶς ἔστι διὰ τῆς προχείρου μεταχειρίσεως τοὺς μεμονωμένους εἰδέναι ἀριθμούς, πόση γίνεται ἡ τούτων ποσότης ἀπαρχῆς μέχρι τέλους ἐν[ν]ούμενοι**

Μονοὶ ἀριθμοί τε καὶ ψῆφοι οὗτοί εἰσι· α΄ γ΄ ε΄ ζ΄ ϑ΄ καὶ πάλιν ια΄ ιγ΄ ιε΄ ιζ΄ ιϑ΄ καὶ ἑξῆς ὁμοίως ἐπὶ πολὺ τοῦτο γινόμενον. ὅτε οὖν ζητεῖς εἰδέναι μονάδος ψήφους τῆς αὐτῆς τάξεως ἀπὸ τοῦ ἑνὸς ἀρχομένας, μέχρι ὧν βούλ(ει) εἰδέναι, ποίησον οὕτως καὶ εὑρήσεις προχείρως καὶ καλῶς τὸ ζητούμενον.

ἔστω ὅτι ζητεῖς ἀπὸ τοῦ α΄ μέχρι τῶν ιζ΄, πόσα γίνονται. ϑὲς οὖν ταῦτα, ὡς ὁρᾷς, ἀκολούθως α΄ γ΄ ε΄ ζ΄ ϑ΄ ια΄ ιγ΄ ιε΄ ιζ΄ καὶ ἀρίθμησον ἀπαρχῆς οὕτως· α΄ καὶ γ΄ γίνονται δ΄, δ΄ δὲ καὶ ε΄ γίνονται ϑ΄, ϑ΄ δὲ καὶ ζ΄ γίνονται ις΄ καὶ ἑξῆς ὁμοίως.

---

4 ἀλλὰ] ἀλλ᾽ε **C** – cf. p. 55 24/25 λείπονται] λειπῶντὰ **C** 36 ἐπὶ πολὺ] ἐπὶ πσ$^{\lambda\lambda}$ **sic C**

εὑρήσεις δέ, ὅτι γίνεται ἀπὸ τὸ α΄ μέχρι τῶν ιζ΄ ἡ τούτων πάντων ψῆφος πα΄. τοῦτο οὖν ἐστι κενὸν ἐπιχείρημα καὶ δυσχερὲς ἀποτέλεσμα πρὸς τὸ εἰδέναι, πόσα γίνονται.
Διὰ δὲ τῆς προχείρου μεταχειρίσεως εὑρίσκεται οὕτως. τὴν τελευταίαν συζυγίαν, ἣν ἂν ζητῇς, ἥτις ἐστὶ νῦν ιζ΄, μέρισον εἰς μέρη δύο καὶ λάβε τὸ ἥμισυ καὶ α΄ πλέον, τουτέστι ἐκ τῶν ιζ΄ λάβε θ΄. πολλ(α)πλασίασον δὲ τὰ θ΄ εἰς ἑαυτό· θ΄κις οὖν θ΄ γίνονται πα΄. καὶ ἰδοὺ εὕρες διὰ τῆς προχείρου ταύτης μεταχειρίσεως, ὅτι ἀπὸ τοῦ α΄ μέχρι τῆς συζυγίας τῶν ιζ΄ ἑνούμενα γίνονται πα΄.
Καὶ πάλιν α΄ γ΄ ε΄ ζ΄ θ΄ ια΄ ιγ΄ ιε΄ ιζ΄ ιθ΄ κα΄ κγ΄ κε΄. ταῦτα πάντα ἀπὸ τοῦ α΄ μέχρι τῶν κε΄ ἑνούμενα γίνονται ρξθ΄. μέρισον τὰ κε΄ εἰς μέρη δύο, τουτέστι ιβ΄ καὶ ιγ΄ γίνονται κε΄. λάβε οὖν τὰ ιγ΄ καὶ πολλ(α)πλασίασον ταῦτα εἰς ἑαυτά· ιγ΄κις οὖν ιγ΄ γίνονται ρξθ΄, καθὼς εἴπομεν.
ἐὰν δὲ ζητῇς πάλιν ἀπὸ τοῦ α΄ μέχρι τοῦ ρα΄ ἑνούμενα, πόσα γίνονται, μέρισον τὰ ρα΄ εἰς μέρη δύο, τουτέστι ν΄ καὶ να΄ γίνονται ρα΄. λάβε οὖν τὰ να΄ καὶ πολλ(α)πλασίασον ταῦτα εἰς ἑαυτά· να΄κις οὖν να΄ γίνονται ,βχα΄. καὶ ἰδοὺ ἀπὸ τοῦ α΄ μέχρι τοῦ ρα΄ γίνονται ,βχα΄.
ὡσαύτως δὲ καὶ πᾶν ἕτερον μονάδος ἀριθμὸν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

νη **Περὶ τοῦ πῶς ἔστι προχείρως εἰδέναι τοὺς ἀνὰ δύο ψήφους, τουτέστι β΄ καὶ δ΄ καὶ ς΄, καὶ τοὺς ἀνὰ γ΄ καὶ ς΄ καὶ θ΄ καὶ τοὺς ἀνὰ δ΄ καὶ η΄ καὶ ιβ΄ καὶ ἑξῆς ὁμοίως, πόση γίνεται ἡ τούτων ποσότης ἀπαρχῆς μέχρι τέλους ἑνούμενοι**

Ἔστω ὅτι ζητεῖς β΄ δ΄ ς΄ η΄ ι΄ ιβ΄ ιδ΄ ις΄ ιη΄ κ΄, πόσα γίνονται. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. μέρισον τὴν τελευταίαν ψῆφον, ἥτις νῦν ἐστι κ΄, μετὰ τοῦ πρώτου γράμματος, ὅπερ ἐστὶ β΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ι΄· δὶς γὰρ ι΄ κ΄ γίνονται. λάβε οὖν τὰ ἡμίση τῶν ι΄, ἅπερ ἐστὶ ε΄. ἐπεὶ δὲ τὰ ι΄ μερίζονται εἰς μέρη δύο ἴσα, ἕκαστον τῶν δύο μερῶν ἀνὰ ε΄, πρόσθες α΄ εἰς τὰ ι΄ καὶ γίνονται ια΄. πολλ(α)πλασίασον δὲ μετὰ τῶν ε΄, ἅπερ ἐστὶ τὰ ἡμίση τῶν ι΄, τὰ ια΄· ε΄κις οὖν ια΄ γίνονται νε΄. πολλ(α)πλασίασον δὲ τὰ νε΄ μετὰ τοῦ πρώτου γράμματος, οὗ ἐμέρισας τὰ κ΄, τουτέστι μετὰ τῶν β΄· δὶς οὖν νε΄ γίνονται ρι΄. καὶ ἰδοὺ ἀπὸ τῶν β΄ μέχρι τῶν κ΄ γίνονται ρι΄.
ἔστω δὲ ὅτι ζητεῖς β΄ δ΄ ς΄ η΄ ι΄ ιβ΄ ιδ΄ ις΄ ιη΄ κ΄ κβ΄, πόσα γίνονται. μέρισον τὰ κβ΄ μετὰ τοῦ πρώτου γράμματος, τουτέστι μετὰ τῶν β΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ια΄· δὶς γὰρ ια΄ κβ΄ γίνονται. μέρισον δὲ τὰ ια΄ εἰς δύο, τουτέστι ε΄ καὶ ς΄ γίνονται ια΄. λάβε δὲ τὰ ς΄, καὶ ἐπεὶ νῦν ἐστι τὰ ς΄ πλέον τῶν ε΄, οὐκ ἔστι || χρεία προσθεῖναι α΄ ἐπὶ τῶν ια΄, καθὼς οὕτως ἐποίησας ἐπὶ τῶν ι΄· προσέθηκας γὰρ α΄ ἐπὶ τῶν ι΄ καὶ ἐγένοντο ια΄, ἐπολλ(α)πλασίασας δὲ τὰ ια΄ μετὰ τῶν ε΄, ἅπερ ἐστὶ τὰ ἡμίση τῶν ι΄. νῦν δέ, ἐπεὶ τὰ ς΄ ἐστὶ πλέον τῶν ε΄, πολλ(α)πλασίασον τὰ ια΄ μετὰ τῶν ς΄· ς΄κις οὖν ια΄ γίνονται ξς΄. πολλ(α)πλασίασον δὲ τὰ ξς΄ μετὰ τῶν β΄, ὅπερ ἐστὶ πρῶτον γράμμα· δὶς οὖν ξς΄ γίνονται ρλβ΄. καὶ ἰδοὺ ἀπὸ τῶν β΄ μέχρι τῶν κβ΄ γίνονται ρλβ΄· πρόσθες γὰρ κβ΄ ἐπὶ τῶν ρι΄ καὶ γίνονται ρλβ΄, καθὼς οὕτως εὗρες προχείρως. f. 36r
Ἔστω δὲ ὅτι ζητεῖς εἰδέναι γ΄ ς΄ θ΄ ιβ΄ ιε΄ ιη΄ κα΄ κδ΄ κζ΄ λ΄, πόσα γίνονται ἑνούμενα ἀπὸ τῶν γ΄ μέχρι τῶν λ΄. μέρισον τὰ λ΄ μετὰ τῶν γ΄ καὶ γίνεται ὁ τού-

---

2 κενὸν] κεινὸν **C** 7.42 ἑνούμενα] ἔννουμενα **C** 9.12 ἑνούμενα] ἔννομενα **C** 20 ἑνούμενοι] εννούμενοι **C** 12.15 τοῦ ρα΄] **sic pro** τῶν ρα΄ **C** 32 τουτέστι] τουτέ ἐϛί **C**

των διαμερισμὸς ι΄· τρὶς γὰρ ι΄ λ΄ γίνονται. μέρισον τὰ ι΄ εἰς μέρη δύο καὶ γίνεται [καὶ γίνεται] ἕκαστον μέρος τῶν δύο ἀνὰ ε΄. ἐπεὶ δὲ ὁ διαμερισμὸς τῶν ι΄ ἐστὶ καταπάντα ἴσος – ε΄ καὶ ε΄ –, πρόσθες α΄ ἐπὶ τῶν ι΄ καὶ γίνονται ια΄. πολλ(α)πλασίασον δὲ μετὰ τῶν ἡμίσ<εων> τῶν ι΄, ἅπερ ἐστὶ ε΄, τὰ ια΄· ε΄κις οὖν ια΄ γίνονται νε΄. πολλ(α)πλασίασον τὰ νε΄ μετὰ τοῦ πρώτου γράμματος, τουτέστι μετὰ τῶν γ΄· τρὶς οὖν νε΄ γίνονται ρξε΄. καὶ ἰδοὺ ἀπὸ τῶν γ΄ μέχρι τῶν λ΄ γίνονται ρξε΄.

ἔστω δὲ ὅτι ζητεῖς γ΄ ς΄ θ΄ ιβ΄ ιε΄ ιη΄ κα΄ κδ΄ κζ΄ λ΄ λγ΄ λς΄ λθ΄, πόσα γίνονται. μέρισον τὰ λθ΄ μετὰ τῶν γ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιγ΄· τρὶς γὰρ ιγ΄ λθ΄ γίνονται. μέρισον τὰ ιγ΄ εἰς μέρη δύο· ς΄ δὲ καὶ ζ΄ γίνονται ιγ΄. ἐπεὶ δὲ τὰ ζ΄ ἐστὶ πλέον τῶν ς΄, οὐκ ἔστι χρεία προσθεῖναι α΄ ἐπὶ τῶν ιγ΄. πολλ(α)πλασίασον δὲ τὰ ιγ΄ μετὰ τῶν ζ΄· ζ΄κις οὖν ιγ΄ γίνονται ϙα΄. πολλ(α)πλασίασον δὲ τὰ ϙα΄ μετὰ τῶν γ΄, τουτέστι μετὰ τοῦ πρώτου γράμματος· τρὶς οὖν ϙα΄ γίνονται σογ΄.καὶ ἰδοὺ ἀπὸ τῶν γ΄ μέχρι τῶν λθ΄ γίνονται σογ΄.

Ἔστω δὲ ὅτι ζητεῖς δ΄ η΄ ιβ΄ ις΄ κ΄ κδ΄ κη΄ λβ΄, πόσα γίνονται. μέρισον τὰ λβ΄ μετὰ τοῦ πρώτου γράμματος, τουτέστι μετὰ τῶν δ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς η΄· δ΄κις γὰρ η΄ λβ΄ γίνονται. μέρισον τὰ η΄ εἰς μέρη δύο καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ δ΄. ἐπεὶ δὲ ὁ διαμερισμὸς τῶν η΄ ἐστὶ καταπάντα ἴσος – δ΄ καὶ δ΄ –, πρόσθες α΄ ἐπὶ τῶν η΄ καὶ γίνονται θ΄. πολλ(α)πλασίασον δὲ μετὰ τῶν δ΄ τὰ θ΄· δ΄κις οὖν θ΄ γίνονται λς΄. πολλ(α)πλασίασον δὲ τὰ λς΄ μετὰ τοῦ πρώτου γράμματος, τουτέστι μετὰ τῶν δ΄· δ΄κις οὖν λς΄ γίνονται ρμδ΄. καὶ ἰδοὺ ἀπὸ τῶν δ΄ μέχρι τῶν λβ΄ γίνονται ρμδ΄.

ἔστω δὲ ὅτι ζητεῖς δ΄ η΄ ιβ΄ ις΄ κ΄ κδ΄ κη΄ λβ΄ λς΄ μ΄ μδ΄, πόσα γίνονται. μέρισον τὰ μδ΄ μετὰ τῶν δ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ια΄· δ΄κις γὰρ ια΄ μδ΄ γίνονται. μέρισον τὰ ια΄ εἰς μέρη δύο· ε΄ δὲ καὶ ς΄ γίνονται ια΄. ἐπεὶ δὲ τὰ ς΄ ἐστὶ πλέον τῶν ε΄, οὐκ ἔστι χρεία προσθ(εῖ)ναι α΄ ἐπὶ τῶν ια΄. πολλ(α)πλασίασον δὲ τὰ ια΄ μετὰ τῶν ς΄· ς΄κις οὖν ια΄ γίνονται ξς΄. πολλ(α)πλασίασον δὲ τὰ ξς΄ μετὰ τῶν δ΄· δ΄κις οὖν ξς΄ γίνονται σξδ΄. καὶ ἰδοὺ ἀπὸ τῶν δ΄ μέχρι τῶν μδ΄ γίνονται σξδ΄.

Ἔστω δὲ ὅτι ζητεῖς ε΄ ι΄ ιε΄ κ΄ κε΄ λ΄ λε΄ μ΄ με΄ ν΄ νε΄ ξ΄, πόσα γίνονται. μέρισον τὰ ξ΄ μετὰ τοῦ πρώτου γράμματος, τουτέστι μετὰ τῶν ε΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιβ΄· ε΄κις γὰρ ιβ΄ γίνονται ξ΄. μέρισον τὰ ιβ΄ εἰς μέρη δύο καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ ς΄. ἐπεὶ δὲ ὁ διαμερισμὸς τῶν ιβ΄ ἐστὶ καταπάντα ἴσος – ς΄ καὶ ς΄ –, πρόσθες α΄ ἐπὶ τῶν ιβ΄ καὶ γίνονται ιγ΄. πολλ(α)πλασίασον δὲ τὰ ιγ΄ μετὰ τῶν ς΄· ς΄κις οὖν ιγ΄ γίνονται οη΄. πολλ(α)πλασίασον δὲ τὰ οη΄ μετὰ τοῦ πρώτου γράμματος, τουτέστι μετὰ τῶν ε΄· ε΄κις οὖν οη΄ γίνονται τϛ΄. καὶ ἰδοὺ ἀπὸ τῶν ε΄ μέχρι τῶν ξ΄ γίνονται τϛ΄.

ἔστω δὲ ὅτι ζητεῖς ε΄ ι΄ ιε΄ κ΄ κε΄ λ΄ λε΄ μ΄ με΄ ν΄ νε΄ ξ΄ ξε΄, πόσα γίνονται. μέρισον τὰ ξε΄ μετὰ τῶν ε΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιγ΄· ε΄κις γὰρ ιγ΄ ξε΄ γίνονται. μέρισον τὰ ιγ΄ εἰς μέρη δύο· ς΄ δὲ καὶ ζ΄ γίνονται ιγ΄. ἐπεὶ δὲ τὰ ζ΄ ἐστὶ πλέον τῶν ς΄, οὐκ ἔστι χρεία προσθ(εῖ)ναι α΄ ἐπὶ τῶν ιγ΄.πολλ(α)πλασίασον δὲ τὰ ιγ΄ μετὰ τῶν ζ΄· ζ΄κις οὖν ιγ΄ γίνονται ϙα΄. πολλ(α)πλασίασον δὲ τὰ ϙα΄ μετὰ τῶν ε΄· ε΄κις οὖν ϙα΄ γίνονται υνε΄. καὶ ἰδοὺ ἀπὸ τῶν ε΄ μέχρι τῶν ξε΄ γίνονται υνε΄.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν, κἄντε ἀνὰ ς΄ ιβ΄ ιη΄ ἐστὶ κἄντε ἀνὰ ζ΄ ιδ΄ κα΄ ἐστὶ καὶ ἑξῆς ὁμοίως, διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

νθ Περὶ τοῦ γεννηθέντος παιδίου, ἐφ' ἑκάστου δὲ χρόνου διδό<ν>τος τοσαῦτα φλουριά, ὅσον χρόνων ἐστὶ μέχρι τῶν λ΄ χρόνων. ζητεῖς εἰδέναι, πόσα φλουριὰ δέδωκε.

Ἄν(θρωπ)ός τις ἐγέννησεν υἱόν. ἔταξεν δὲ ἐφ' ἕκαστον πλήρωμαν χρόνου, καθ' ἣν ἡμέραν ἐγεννήθη[ν] τὸ παιδίον αὐτοῦ, δοῦναι ψυχικὸν φλουριὰ τοσαῦτα, ὅσων χρόνων ἐστὶ καὶ ὁ υἱὸς αὐτοῦ. καὶ τὸν μὲν πρῶτον χρόνον, καθ' ἣν ἡμέραν ἐγεννήθη ὁ υἱὸς αὐτοῦ, δέδωκε φλουρὶ α΄, τὸν δεύτερον δέδωκε φλουριὰ β΄· α΄ δὲ καὶ β΄ γίνονται φλουριὰ γ΄ τοὺς δύο χρόνους. τὸν τρίτον δὲ χρόνον δέδωκε φλουριὰ γ΄· τοὺς τρεῖς χρόνους γίνονται φλουριὰ ς΄. γενόμενος δὲ ὁ υἱὸς αὐτοῦ χρόνων λ΄, ζητεῖς εἰδέναι, πόσα φλουριὰ γίνονται τῷ τρόπῳ τούτῳ διδόμενα.

μέρισον τοὺς λ΄ χρόνους εἰς μέρη δύο καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ ιε΄. ἐπεὶ δὲ ὁ διαμερισμὸς τῶν λ΄ ἐστὶ καταπάντα ἴσος – ιε΄ καὶ ιε΄ –, πρόσθες α΄ ἐπὶ τῶν λ΄ καὶ γίνονται λα΄. πολλ(α)πλασίασον δὲ τὰ λα΄ μετὰ τῶν ἡμίσεων τῶν λ΄, τουτέστι μετὰ τῶν ιε΄· ιε΄κις οὖν λα΄ γίνονται υξε΄. καὶ ἰδοὺ εἰς τοὺς λ΄ χρόνους δέδωκε φλουριὰ υξε΄.

	γ	α	
α	ε	ε	ε
γ	α		α
δ	ς	ε	

ζήτει δὲ πάλιν, καὶ ὅτε ἐγένετο ὁ υἱὸς αὐτοῦ χρόνων λα΄, πόσα φλουριὰ δέδωκε. μέρισον τοὺς λα΄ χρόνους εἰς μέρη δύο· ιε΄ δὲ καὶ ις΄ γίνονται λα΄. νῦν δέ, ἐπεὶ τὰ ις΄ ἐστὶ πλείονα τῶν ιε΄, οὐκ ἔστι χρεία προσθεῖναι α΄ || ἐπὶ τῶν λα΄· ἔχοσι γὰρ τὸ α΄ τὰ ις΄, ἅπερ ἐστὶ πλείονα τῶν ιε΄. πολλ(α)πλασίασον δὲ τὰ λα΄ μετὰ τῶν ις΄· ις΄κις οὖν λα΄ γίνονται υςς΄. καὶ ἰδοὺ εἰς τοὺς λα΄ χρόνους δέδωκε φλουριὰ υςς΄. εἴπομεν δέ, ὅτι εἰς τοὺς λ΄ χρόνους δέδωκε φλουριὰ υξε΄· πρόσθες καὶ λα΄ φλουριὰ ὑπὲρ τῶν λα΄ χρόνων καὶ γίνονται ὁμοῦ φλουριὰ υςς΄, καθὼς οὕτως εὕρομεν καὶ διὰ τῆς προχείρου ταύτης μεταχειρίσεως. f. 36v

	γ	α	
α	η	ς	ς
γ	α		α
δ	θ	ς	

ὡσαύτως δὲ διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως καὶ ἐπὶ πλείστων χρόνων οὕτως ποιῶν εὑρήσεις καλῶς τὸ ζητούμενον.

ξ Περὶ τοῦ πῶς ἔστι εἰδέναι προχείρως, πόσαι ὧραι σημαντικαὶ κρούονται εἰς τὰς κδ΄ ὥρας τοῦ νυχθημέρου

Αἱ κδ΄ ὧραι τοῦ νυχθημέρου κρούονται πρῶτον μὲν α΄, ἔπειτα β΄, ἅπερ ἐστὶ τὰς δύο ὥρας ὧραι σημαντικαὶ γ΄, καὶ ἑξῆς ὁμοίως. ζητεῖς δὲ εἰδέναι, ἐπειδὰν σημανθῶσι ὧραι κγ΄, πόσα ἀπηχήματα ὡρῶν ἐσημάνθησαν τὰς κγ΄ ὥρας.

ἐστὶ δὲ τοῦτο ὅμοιον ζήτημαν ὡς καὶ τοῦ παιδίου καὶ τῶν φλουριῶν. μέρισον τὰς κγ΄ ὥρας εἰς μέρη δύο· ια΄ δὲ καὶ ιβ΄ γίνονται κγ΄. ἐπεὶ δὲ τὰ ιβ΄ ἐστὶ πλείονα τῶν ια΄, οὐκ ἔστι χρεία προσθ(εῖ)ναι α΄ ἐπὶ τῶν κγ΄. πολλ(α)πλασίασον δὲ τὰς κγ΄ ὥρας μετὰ τῶν ιβ΄· ιβ΄κις οὖν κγ΄ γίνονται σος΄. καὶ ἰδοὺ τὰς κγ΄ ὥρας κρούονται ἀπηχήματα ὡρῶν σος΄.

	β	γ	
	δ	ς	β
β	γ		α
β	ζ	ς	

	β	ε	
	ε	ι	β
β	ε		α
γ	ι	ι	

Ζήτει δὲ πάλιν τὰς κδ΄ ὥρας τοῦ νυχθημέρου, πόσα ἀπηχήματα ὡρῶν κρούονται. μέρισον δὲ τὰς κδ΄ ὥρας εἰς μέρη δύο καὶ γίνεται ἕκαστον μέρος τῶν δύο ἀνὰ ιβ΄. ἐπεὶ δὲ ὁ διαμερισμὸς τῶν κδ΄ ἐστὶ ἴσος – ιβ΄ καὶ ιβ΄ –, πρόσθες α΄ ἐπὶ τῶν κδ΄ ὡρῶν καὶ γίνονται ὧραι κε΄. πολλ(α)πλασίασον δὲ τὰ κε΄ μετὰ τῶν ιβ΄· ιβ΄κις οὖν κε΄ γίνονται τ΄. καὶ ἰδοὺ τὰς κδ΄ ὥρας τοῦ νυχθημέρου κρούονται ἀπηχήματα ὡρῶν τ΄. εὕρομεν, ὅτι εἰς τὰς κγ΄ ὥρας κρούονται ἀπηχήματα σος΄. πρόσθες καὶ κδ΄ ὑπὲρ τῶν κδ΄ ὡρῶν καὶ γίνονται ὁμοῦ τ΄, καθὼς οὕτως εὗρες καὶ διὰ τῆς προχείρου ταύτης μεταχειρίσεως.

---


12 ἡμίσεων] ἢ μ̈η̈ C

ὡσαύτως δὲ διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως καὶ ἐπὶ ἄλλων ὡρῶν οὕτως ποιῶν εὑρήσεις καλῶς τὸ ζητούμενον.

ξα Περὶ τῶν ἐσθιόντων δαιτυμόνων ἐρωτηθέντες, πόσοι εἰσί, διὰ σοφιστικῆς ἀποκρίσεως εἶπον· δὶς ὅσοι ἡμεῖς καὶ τὸ ἥμισυ ἡμῶν καὶ τὸ τέταρτον ἡμῶν μετά σου ἐσόμεθα ἄν(θρωπ)οι ρ΄.


Συνημμένους τινὰς ἄνδρας εὑρών τις ἐσθίοντας ἐρώτησεν αὐτούς, πόσοι ἐστέ. ἀποκριθέντες δὲ οὐκ εἶπον, ὅτι ἐσμὲν ἄν(θρωπ)οι τόσοι, ἀλλ᾽ εἶπον, ὅτι ἡμεῖς καὶ ἄλλοι τοσοῦτοι ὅσοι ἡμεῖς καὶ τὸ ἥμισυ ἡμῶν καὶ τὸ τέταρτον ἡμῶν μετά σου ἐσόμεθα ἂν ἄν(θρωπ)οι ρ΄. μὴ εἰδότες δὲ ἡμεῖς, πόσοι εἰσὶ οἱ ἐσθίοντες, πῶς ἔχομεν τούτους εἰδέναι; ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως.

Ὑπέθου σοι παρὰ σεαυτῷ θέσιν τινά, ἣν ἂν βούλ(ῃ), καὶ εἰπέ· ἔστωσαν οἱ ἐσθίοντες ἄν(θρωπ)οι κ΄, καὶ ἄλλοι τοσοῦτοι, καθὼς εἶπον, γίνονται μ΄, καὶ τὸ ἥμισυ τῶν κ΄, ὡς εἶπον, ἐστὶ ι΄, ὁμοῦ ν΄, καὶ τὸ τέταρτον τῶν κ΄, ὡς εἶπον, ὅπερ ἐστὶ ε΄, ὁμοῦ ἄν(θρωπ)οι νε΄. ἄφελε οὖν α΄ ἐκ τῶν ρ΄, ὃν εἶπον, ὅτι μετά σου ἐσόμεθα ἂν ἄν(θρωπ)οι ρ΄, τουτέστι τὴν σὴν ἰδίαν ψῆφον, καὶ ἀπομένοσι ἄν(θρωπ)οι ϛθ΄. πολλ(α)πλασίασον οὖν τοὺς ϛθ΄ ἀν(θρώ)πους μετὰ τῶν κ΄ ἀν(θρώπ)ων, ὧν σὺ ὑπέθου· κ΄κις οὖν ϛθ΄ γίνονται ,αϡπ΄. μέρισον τοὺς ,αϡπ΄ ἀν(θρώπ)ους μετὰ τῆς ὁμάδος τῶν νε΄ ἀν(θρώπ)ων, ὧν ἐποίησας ἐκ τῶν κ΄ ἀν(θρώπ)ων, ὧν ὑπέθου· διαμεριζόμενοι δὲ οἱ ,αϡπ΄ ἄν(θρωπ)οι μετὰ τῶν νε΄ ἀν(θρώπ)ων γίνεται ὁ τέλειος τούτων διαμερισμὸς λϛ΄. καὶ ἰδοὺ εὗρες, ὅτι οἱ ἐσθίοντές εἰσι ἄν(θρωπ)οι λϛ΄.



ἡ δὲ ἀπόδειξις, ὅτι οὕτως ἐστί, ἔστι αὕτη. ἄν(θρωπ)οι λϛ΄ καὶ ἄν(θρωπ)οι τοσοῦτοι, ὡς εἶπον, γίνονται οβ΄, καὶ τὸ ἥμισυ τῶν λϛ΄, ὅπερ ἐστὶ ιη΄, ὁμοῦ ϛ΄, καὶ τὸ τέταρτον τῶν λϛ΄, ὅπερ ἐστὶ θ΄, ὁμοῦ ϛθ΄. πρόσθες καὶ τὴν σὴν ἰδίαν ψῆφον, ἣν εἶπον, ὅτι μετά σου ἐσόμεθα ἂν ἄν(θρωπ)οι ρ΄, καὶ γίνονται ϛθ΄ καὶ α΄, ὁμοῦ ἄν(θρωπ)οι ρ΄ – κατὰ τὸν λόγον, ὃν εἶπον, ὅτι ἡμεῖς καὶ ἄλλοι τοσοῦτοι ὅσοι ἡμεῖς καὶ τὸ ἥμισυ ἡμῶν καὶ τὸ τέταρτον ἡμῶν μετά σου ἐσόμεθα ἂν ἄν(θρωπ)οι ρ΄.

Ἵνα δὲ ἴδῃς τὸ ἀληθὲς τῆς προχείρου ταύτης μεταχειρίσεως, ἔστω ὅτι ὑπέθου εἶναι ἄν(θρωπ)οι κδ΄, καὶ ἄλλοι τοσοῦτοι γίνονται μη΄, καὶ τὸ ἥμισυ τῶν κδ΄, ὅπερ ἐστὶ ιβ΄, ὁμοῦ ἄν(θρωπ)οι ξ΄, καὶ τὸ τέταρτον τῶν κδ΄, ὅπερ ἐστὶ ϛ΄, ὁμοῦ ἄν(θρωπ)οι ξϛ΄. ἔστι δὲ τὰ ξϛ΄ ἓν σῶμα, ὅπερ ἐστὶ καὶ μεριστής. ἄφελε δὲ πάλιν ἐκ τῶν ρ΄ τὴν σὴν ἰδίαν ψῆφον ὡς καὶ πρότερον καὶ ἀπομένοσι ϛθ΄. πολλ(α)πλασίασον τὰ ϛθ΄ μετὰ τῶν κδ΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,βτος΄. μέρισον ταῦτα μετὰ τῶν ξϛ΄ ἀν(θρώπ)ων, ὃν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς πάλιν λϛ΄ ὡς τὸ πρότερον. καὶ ἰδοὺ καὶ διὰ τῆς δευτέρας ταύτης θέσεως τῶν κδ΄ πάλιν εὗρες, ὅτι εἰσὶ ἄν(θρωπ)οι λϛ΄ ὡς καὶ πρότερον.



ὡσαύτως δέ, ἐὰν ὑποθῇς εἶναι τοὺς ἐσθίοντας λβ΄ ἢ καὶ μ΄, διὰ τῆς παρούσης μεταχειρίσεως εὑρήσεις αὐτοὺς λϛ΄, ὡς καὶ ἐπὶ τῶν παρόντων δύο θέσεων τῶν κ΄ καὶ τῶν κδ΄ εὗρες αὐτοὺς τῷ ἀριθμῷ ὄντας λϛ΄.

---


3 δαιτυμόνων] δὲ τι μόνῶν **C** 11 Ὑπέθου] **sic pro** Ὑπόθου **C** 32 ὅπερ] ἅπερ **C**

ξβ Περὶ τῶν μαθητῶν, ὧν οὐκ εἶπον, πόσοι εἰσί – διὰ δὲ σοφιστικῆς ἀποκρίσεως εἶπον· ἐὰν δώσῃ ἕκαστος ἡμῶν ἀνὰ κουκκιὰ ε΄, λείπονται ἡμῖν εἰς ἀναπλήρωσι(ν) τοῦ νοικιοῦ ἡμῶν κουκκιὰ λ΄· εἰ δὲ δώσῃ ἕκαστος ἡμῶν ἀνὰ ς΄ κουκκιά, περισσεύει ἐκ τοῦ συμπεφωνημένου νοικιοῦ ἡμῶν κουκκιὰ μ΄.

Ἄν(θρωπ)ός τις ἀπῆλθεν || εἰς <σ>χολεῖόν τινα. εὗρε δὲ μαθητὰς ἐν αὐτῷ καὶ ἐρώ- f. 37r
τησεν αὐτούς· πόσοι ἄρα ἐστέ, μαθηταί, καὶ πόσον ἐστὶ τὸ νοίκιν, ὅπερ δίδετε ἐφ᾽ ἕκαστον χρόνον πάντες ὑμεῖς; οὐκ εἶπον δέ, τόσοι ἐσμέν, ἀλλ᾽ ὅτι ἐὰν ἕκαστος ἡμῶν δώσῃ ἀνὰ κουκκιὰ ε΄, λείπεται εἰς ἀποσωσμὸν τοῦ νοικιοῦ ἡμῶν κουκκιὰ λ΄, εἰ δὲ ἕκαστος ἡμῶν δώσῃ ἀνὰ κουκκιῶν ς΄, περισσεύει ἐκ τῆς ὀφειλ(σ)μένης ποσότητος τοῦ νοικιοῦ ἡμῶν κουκκιὰ μ΄. μὴ εἰδότες δὲ ἡμεῖς, πόσοι μαθηταί εἰσι καὶ πόσον ἐστὶ τὸ ὀφειλ(ό)μενον νοίκιν αὐτῶν, πῶς ἔχομεν εἰδέναι ταῦτα; ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως. Ὑπέθου σοι πάλιν καὶ ἐνταῦθα παρὰ σεαυτῷ θέσιν τινὰ καὶ εἰπέ· ἔστωσαν τοίνυν μαθηταὶ ξ΄, ἕκαστος τούτων δεδωκὼς ἀνὰ ε΄ κουκκιῶν. ε΄κις ξ΄ γίνονται τ΄. καθὼς οὖν εἴπομεν ἄνωθεν, λείπονται αὐτοῖς κουκκιὰ λ΄ εἰς ἀναπλήρωσι(ν) τοῦ νοικίου αὐτῶν. πρόσθες καὶ ταῦτα καὶ γίνονται ὁμοῦ κουκκιὰ τλ΄. ἐὰν δὲ πάλιν δώσῃ ἕκαστος τῶν ξ΄ ἀνὰ κουκκιὰ ς΄, ς΄κις ξ΄ γίνονται κουκκιὰ τξ΄. ἐπεὶ δὲ εἴπομεν ἄνωθεν, ὅτι, ἐὰν δώσῃ ἕκαστος αὐτῶν ἀνὰ κουκκιὰ ς΄, περισσεύοσι κουκκιὰ μ΄, ἄφελε κουκκιὰ μ΄ ἐκ τῶν τξ΄ καὶ ἀπομένοσι κουκκιὰ τκ΄. ἐστὶ δὲ τὰ τκ΄ κουκκιὰ κουκκιὰ ι΄ ἔλαττο ἐκ τῶν τλ΄ κουκκιῶν.

ὑπέθου δὲ πάλιν παρὰ σεαυτῷ ἑτέραν θέσιν καὶ εἰπέ· ἔστωσαν τοίνυν μαθηταὶ ς΄, ἕκαστος τούτων δεδωκὼς ἀνὰ κουκκιῶν ε΄. ε΄κις ς΄ γίνονται κουκκιὰ υν΄. πρόσθες ὡς τὸ πρότερον τὰ λ΄ κουκκιά, ἅπερ λείπονται εἰς ἀναπλήρωσι(ν) τοῦ νοικιοῦ αὐτῶν, καὶ γίνονται ὁμοῦ κουκκιὰ υπ΄. ἐὰν δὲ πάλιν δώσῃ ἕκαστος τῶν ς΄ ἀνὰ κουκκιῶν ς΄, ς΄κις ς΄ γίνονται κουκκιὰ φμ΄. ἄφελε κουκκιὰ μ΄, καθὼς καὶ πρότερον οὕτως ἐποίησας, καὶ ἀπομένοσι κουκκιὰ φ΄. ἐστὶ δὲ τὰ φ΄ κουκκιὰ κουκκιὰ κ΄ πλέον ἐκ τῶν υπ΄ κουκκιῶν. καὶ οἱ μὲν ξ΄ μαθηταὶ ἀνὰ ε΄ κουκκιὰ διδόντες ἔχοσι κουκκιὰ ι΄ πλέον ἀνὰ ς΄ κουκκιῶν δεδωκότων αὐτῶν, οἱ δὲ ς΄ τὸ ἀνάπαλιν ἀνὰ ε΄ κουκκιὰ δεδωκότων ἔχοσι ἔλαττο κουκκιὰ κ΄ ἀνὰ ς΄ κουκκιὰ δεδωκότων αὐτῶν.

Θὲς οὖν τὰς δύο τούτων διαφορὰς ἐν συγκρίσει καὶ εἰπέ· μαθηταὶ ξ΄ – ἕκαστος ἀνὰ ε΄ κουκκιά – ἔχοσι κουκκιὰ ι΄ πλέον, καὶ πάλιν μαθηταὶ ς΄ – ἀνὰ ε΄ κουκκιῶν – ἔχοσι κουκκιὰ κ΄ ἔλαττο.



πολλ(α)πλασίασον ταῦτα στ(αυ)ροειδῶς ἐναλλάξ· ι΄κις οὖν ς΄ γίνονται ≫΄ καὶ πάλ(ιν) κ΄κις ξ΄ γίνονται ,ασ΄. ἕνωσον τὰ ≫΄ μετὰ τῶν ,ασ΄ καὶ γίνονται ,βρ΄. ἕνωσον δὲ καὶ τὰ ι΄ κουκκιά, ἅπερ περισσεύοσι ἐκ τῶν ξ΄ μαθ(η)τῶν, μετὰ τῶν κ΄ κουκκιῶν, ὧν ἔχοσι ἔλαττο οἱ ς΄ μαθηταί, καὶ γίνεται ὁμοῦ κουκκιὰ λ΄, ἅπερ ἐστὶ μεριστής. μέρισον γὰρ τὰ ,βρ΄ μετὰ τῶν λ΄ καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς ο΄. καὶ ἰδοὺ εὗρες, ὅτι μαθηταὶ ο΄ εἰσί.



ζήτει δὲ καὶ τὸ νοίκιν, πόσον ἐστί, καὶ ὡς ἐν ταὐτῷ καταλαβεῖν ἔχεις καὶ τὴν ποσότητα τοῦ νοικιοῦ, πόση ἐστί, καὶ ὅτι καὶ οἱ μαθηταὶ ἀληθῶς εἰσι ο΄.

ἕκαστος τοίνυν τῶν μαθητῶν δεδωκὼς ἀνὰ κουκκιὰ ε΄ – ε΄κις ο΄ γίνονται κουκκιὰ τν΄. πρόσθες καὶ λ΄ κουκκιά, καθὼς εἴπομεν, ὅτι λείπονται εἰς ἀναπλήρωσι(ν) τοῦ


2.3 etc. δώσῃ] pro δῷ C 3 νοικιοῦ] pro ἐνοικίου C 5 τινα] sic C 5/6 ἐρώτησεν] hic et passim C pro ἠρώτησεν 39 ἐν ταὐτῷ] εν ταυτο hic et aliubi C


νοικιοῦ, καὶ γίνονται ὁμοῦ κουκκιὰ τπ΄. ἕκαστος δὲ πάλιν τῶν ο΄ μαθητῶν δεδωκὼς ἀνὰ κουκκιὰ ς΄ – ς΄κις ο΄ γίνονται κουκκιὰ υκ΄. ἄφελε ἐξ αὐτῶν κουκκιὰ μ΄, καθὼς εἶπον, ὅτι ἀνὰ κουκκιὰ ς΄ δεδωκότες περισσεύοσι κουκκιὰ μ΄. ἀφελόμενος δὲ κουκκιὰ μ΄ ἐκ τῶν υκ΄ κουκκιῶν ἀπομένοσι τπ΄, καθὼς [ἐ]προσέθηκας καὶ εἰς τὰ τν΄ κουκκιὰ λ΄ καὶ ἐγένοντο κουκκιὰ τπ΄. καὶ ἰδοὺ εὗρες τοὺς μὲν μαθ(η)τὰς ο΄, τὸ δὲ ἐφ᾽ ἕκαστον χρόνον νοίκιν κουκκιὰ τπ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ιθ΄.

Ἵνα δὲ ἴδῃς τὸ ἀληθὲς τῆς προχείρου ταύτης μεταχειρίσεως, ἔστω ὅτι ὑπέθου μαθηταὶ π΄, ἕκαστος αὐτῶν δεδωκὼς ἀνὰ ε΄· ε΄κις π΄ γίνονται κουκκιὰ υ΄. πρόσθες πάλιν, ὡς εἴπομεν, κουκκιὰ λ΄ καὶ γίνονται ὁμοῦ κουκκιὰ υλ΄. ἕκαστος δὲ πάλιν τῶν π΄ δεδωκὼς ἀνὰ κουκκιὰ ς΄ – ς΄κις π΄ γίνονται κουκκιὰ υπ΄. ἄφελε πάλιν καὶ ἐκ τούτων τὰ μ΄ κουκκιὰ καὶ ἀπομένοσι κουκκιὰ υμ΄. ἔχοσι οἱ π΄ μαθηταὶ ἀνὰ κουκκιῶν ς΄ δεδωκότες κουκκιὰ ι΄ πλέον τῶν ἀνὰ ε΄ κουκκιῶν δεδωκότων αὐτῶν.

ὑπέθου δὲ πάλιν παρὰ σεαυτῷ ἑτέραν θέσιν καὶ εἰπέ· ἔστωσαν μαθηταὶ ρ΄, ἕκαστος αὐτῶν δεδωκὼς ἀνὰ κουκκιὰ ε΄. ε΄κις ρ΄ γίνονται κουκκιὰ φ΄. πρόσθες πάλιν καὶ ἐνταῦθα κουκκιὰ λ΄ καὶ γίνονται ὁμοῦ κουκκιὰ φλ΄. ἕκαστος δὲ πάλιν αὐτῶν ἀνὰ κουκκιὰ ς΄ δεδωκότων – ς΄κις ρ΄ γίνονται κουκκιὰ χ΄. ἄφελε πάλιν κουκκιὰ μ΄ καὶ ἀπομένοσι κουκκιὰ φξ΄. ἔχοσι οἱ ρ΄ μαθηταὶ ἀνὰ ς΄ κουκκιὰ δεδωκότες κουκκιὰ λ΄ πλέον τῶν ἀνὰ ε΄ κουκκιῶν δεδωκότων αὐτῶν. καὶ ἰδοὺ καὶ ἡ πρώτη θέσις τῶν π΄ μαθητῶν καὶ ἡ δευτέρα τῶν ρ΄ μαθητῶν ἀνὰ κουκκιὰ ς΄ δεδωκότων – οἱ μὲν π΄ ἔχοσι πλέον κουκκιὰ ι΄, οἱ δὲ ρ΄ ἔχοσι πλέον κουκκιὰ λ΄.

Θὲς οὖν καὶ ἐνταῦθα τὰς δύο τούτων διαφορὰς ἐν συγκρίσει καὶ εἰπέ· μαθηταὶ π΄ – ἕκαστος ἀνὰ ς΄ κουκκιά – ἔχοσι κουκκιὰ ι΄ πλέον, καὶ πάλιν μαθηταὶ ρ΄ – ἕκαστος ἀνὰ κουκκιὰ ς΄ – ἔχοσι κουκκιὰ λ΄ πλέον. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ι΄ κουκκιὰ μετὰ τῶν ρ΄ καὶ τὰ λ΄ μετὰ τῶν π΄· ι΄κις οὖν ρ΄ γίνονται ,α΄ καὶ λ΄κις π΄ γίνονται ,βυ΄. νῦν δέ, ἐπεὶ μονομερῶς καὶ οἱ π΄ μαθηταὶ καὶ οἱ ρ΄ ἀνὰ ς΄ κουκκιὰ δεδωκότες ἔχοσι πλέον τῶν ἀνὰ ε΄ κουκκιῶν δεδωκότων αὐτῶν, ἄφελε μᾶλλον τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, τουτέστι τὰ ,α΄ ἐκ τῶν ,βυ΄, καὶ ἀπομένοσι ,αυ΄. ἄφελε δὲ καὶ τὰ ι΄ κουκκιὰ ἐκ τῶν λ΄ κουκκιῶν καὶ ἀπομένοσι κουκκιὰ κ΄. μέρισον δὲ τὰ ,αυ΄ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τέ-





---

18 θέσις] θήσης **C**

in inf. marg. fol. 37^{r}: Καὶ ἄλλως προχειρεστέρως· ἕνωσον τὰ ἐλλείποντα κουκκιὰ μετὰ τῶν περισσευόντων κουκκιῶν, τουτέστι ἕνωσον τὰ γ ϛ΄ κουκκιά, ἅπερ λείπονται, μετὰ τῶν δ ϛ΄ κουκκιῶν, ὧν περισσεύοσι, καὶ γίνονται ὁμοῦ ζ ϛ΄. εὗρες οὖν καὶ οὕτως προχ(ει)ρεστέρως, ὅτι εἰσὶ μαθ(η)ταὶ ζ ϛ΄. καὶ τοῦτο μὲν οὕτως, ὁπόταν λείπωνται κουκκιά τινα ἐκ τῆς μιᾶς δόσεως, περισσεύωνται δὲ κουκκιά τινα ἐκ τῆς ἑτέρας, ὥσπερ νῦν λείπονται μὲν κουκκιὰ γ ϛ΄ ἐκ τῆς μιᾶς δόσεως, περισσεύονται δὲ κουκκιὰ δ ϛ΄ ἐκ τῆς ἑτέρας, ἅπερ ὁμοῦ γίνονται ζ ϛ΄. εἰ δὲ λείπονται καὶ ἐκ τῶν δύο δόσεων ἢ περισσεύονται ἐκ τῶν δύο δόσεων, ἄφελε τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, καὶ ὅσον ἐστὶ τὸ ἐναπομένον μέρος, τοσοῦτοι μαθηταί εἰσι – εἴπερ διαφέρει ἡ μία δόσις ἐκ τῆς ἑτέρας κουκκὶ ἕνα, ὥσπερ νῦν ἐστι ἡ μὲν μία δόσις ἀνὰ κουκκιὰ ε΄, ἡ δὲ ἑτέρα ἀνὰ κουκκιὰ ς΄.

εἰ δὲ διαφέρει κουκκιὰ δύο, λάμβανε τὸ ἥμισυ. εἰ δὲ διαφέρει κουκκιὰ τρία, λάμβανε τὸ τρίτον καὶ ἑξῆς ὁμοίως.

λειος τούτων διαμερισμὸς ο΄ ὡς τὸ πρότερον. τὸ δὲ νοίκιν αὐτῶν ἐστι πάλιν κουκκιὰ τπ΄, τουτέστι ὑπέρπυρα ιθ΄.

Ὅτε οὖν ἐστι πλέον τὸ μέρος τῶν ἀνὰ ε΄ κουκκιὰ δεδωκότων τῶν ἀνὰ ς΄ κουκκιῶν ἐν τῇ πρώτῃ ἢ τῇ δευτέρᾳ θέσει τῶν μαθητῶν – τὸ ἀνάπαλι(ν) δὲ ἐν τῇ ἑτέρᾳ θέσει ἀνὰ ς΄ κουκκιά ἐστι πλέον τῶν ἀνὰ ε΄ κουκκιῶν δεδωκότων αὐτῶν – καθὼς οὕτως ἐστὶ τὸ πρῶτον τῶν ξ΄ καὶ ς΄ μαθητῶν, ἐπεὶ ὁ πλεονασμὸς τούτων ἐστὶ ἀνώμαλος ἐπὶ μὲν τῆς μιᾶς θέσεως ἀνὰ ε΄ κουκκιῶν ἔχων τὸ πλέον, ἐπὶ δὲ τῆς ἑτέρας ἀνὰ ς΄ κουκκιὰ ἔχων τὸ πλέον, ἕνωσον τὰ δύο μέρη τῶν θέσεων, ἅπερ στ(αυ)ροειδῶς ἐπολλ(α)πλασίασας. ἕνωσον δὲ καὶ τὰ κουκκιὰ τῶν πλεονασμῶν, καθὼς ἐπὶ τοῦ πρώτου ἐποίησας || καὶ ἕνωσας τὰ ι΄ κουκκιὰ μετὰ τῶν κ΄ καὶ ἐγένοντο κουκκιὰ λ΄. f. 37v
μέρισον δὲ τὰς δυο πολλ(α)πλασιασθείσας θέσεις, ἃς ἕνωσας, μετὰ τῶν ἑνωθέντων κουκκιῶν τοῦ πλεονασμοῦ τῶν δύο θέσεων, καὶ ὁ γενόμενος τούτων τέλειος διαμερισμός ἐστι οἱ ζητούμενοι μαθηταί. ἀπὸ δὲ τῆς ποσότητος τῶν μαθητῶν καὶ τὸ νοίκιν δῆλον ἡμῖν γίνεται.

ὅτε δὲ πάλιν καὶ ἐπὶ τῆς πρώτης καὶ δευτέρας θέσεως τῶν μαθητῶν ἐστι πλέον μονομερῶς τὰ ἀνὰ ε΄ κουκκιὰ ἐκ τῶν ἀνὰ ς΄ κουκκιῶν ἢ τὰ ἀνὰ ς΄ κουκκιὰ μονομερῶς ἐκ τῶν ἀνὰ ε΄ κουκκιῶν ἐστι πλέον, τοίνυ<ν> καὐτὰ τὰ πολλ(α)πλασιασθέντα δύο μέρη στ(αυ)ροειδῶς ἄφελε τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, ὡσαύτως καὶ τὰ περισσεύοντα κουκκιὰ τῶν δύο θέσεων ἄφελε τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, καὶ μέρισον δι᾽ αὐτῶν τὸ ἐναπομεῖναν μέρος τῶν δύο πολλ(α)πλασιαζομένων στ(αυ)ροειδῶς μερῶν, ὅπερ ἀφεῖλες τὸ ἔλαττον ἐκ τοῦ πλείονος, καθὼς οὕτως ἐποίησας διὰ τῶν δύο ὑποδ(ει)γμάτων, ὧν ἐκτιθέμεθα. καὶ ὅσος γένηται ὁ τέλειος τούτων διαμερισμός, τοσοῦτοι μαθηταί ἐστι οἱ ζητούμενοι.

οὕτως δὲ ποιῶν εὑρήσεις καλῶς πᾶν ὅμοιον ζήτημαν τῆς αὐτῆς μὲν τάξεως, ἄλλης δὲ ποσότητος καὶ μαθητῶν καὶ νοικιοῦ.

ξγ Περὶ τοῦ πωλοῦντος τὸν ἵππον αὐτοῦ σεσοφισμένως καὶ μὴ θέλων ἐξειπεῖν τὸ τίμημα αὐτοῦ, ἀλλὰ δι᾽ αἰνιγμάτων αἰνιττόμενος τὴν τιμὴν τούτου, πόση τις ἔστι

Ἄν(θρωπ)ός τις πωλεῖ τὸν ἵππον αὐτοῦ. ἐλθὼν δέ τις ἐξωνήσασθαι τοῦτον ἐρώτησεν τὴν τιμὴν τοῦ ἵππου, πόση τις ἔστι. ὁ δὲ κύριος τοῦ ἵππου ἀποκριθεὶς εἶπε πρὸς τὸν ζητῶντα μαθεῖν τὴν τιμὴν τούτου· ἐγὼ ἔχω φλουριὰ ις΄. εἰ οὖν δώσῃς μοι σὺ ἐκ τῶν σῶν φλουριῶν, ὅσα ἐστὶ τὰ ἡμίση τῶν ἐμῶν ις΄ φλουριῶν, ἔτι τε καὶ $\frac{\alpha}{\gamma}$, ἐξ ὧν σὺ κρατεῖς φλουριά, ἤδη εἴληφα τὴν τιμήν – σὺ δὲ λαβὼν τὸν ἵππον ἄπιθι. εἶπεν δὲ καὶ ὁ ζητῶν ἀγοράσαι πρὸς τὸν πωλοῦντα· ἐὰν σύ μοι δώσῃς $\frac{\alpha}{\delta}$ ἐκ τῶν σῶν ις΄ φλουριῶν, μετὰ τῶν $\frac{\beta}{\gamma}$, ὧν ἔχω ἐγώ, δώσω σοι, ὅσα ἄν μοι ζητῇς, καὶ ἔστω ἐμὸς ὁ ἵππος. μὴ εἰδότες οὖν ἡμεῖς, τί ἐστι ἡ τιμή, ἣν ζητεῖ ὁ πωλῶν, καὶ πόσα φλουριὰ κρατεῖ ὁ ἀγοράζων, ὥστε οὕτως γενέσθαι, ὡς αὐτοὶ κοινῶς συνε[μ]φώνησαν, πῶς ἔχομεν εἰδέναι ταῦτα;

Ποίησον οὕτως. θὲς καὶ ἐνταῦθα θέσιν τινὰ παρὰ σεαυτῷ καὶ εἰπέ· ἔστω ὁ ζητῶν ἀγοράσαι ἔχει φλουριὰ κδ΄. ζητεῖ δὲ ὁ κύριος τοῦ ἵππου ἐκ τοῦ ἀγοράζοντος $\frac{\alpha}{\gamma}$ τῶν κδ΄, ὅπερ ἐστὶ φλουριὰ η΄. τὰ ἡμίση δὲ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ις΄. ζητεῖ δὲ ὁ ἀγοράζων $\frac{\alpha}{\delta}$ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντος, ἅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν κδ΄ φλουριῶν, ὧν

---

4 τῇ δευτέρᾳ θέσει] τὴν δευτέραν θέσην **C** 23 ἐστι] **sic C** 27 αἰνιττόμενος] ἐννηττόμενος **C** 35 πωλῶν] **hic et aliubi** πουλῶν **C**

ὑπέθου ἔχειν ὁ ἀγοράζων, ἐστὶ φλουριὰ ις΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κ΄. καὶ ὁ μὲν πωλῶν εὗρες, ὅτι ἔχει φλουριὰ ις΄, ὁ δὲ ἀγοράζων κ΄· ὁ ἀγοράζων ἔχει πλέον τοῦ πωλοῦντος φλουριὰ δ΄.

ὑπέθου πάλιν δευτέραν θέσιν καὶ εἰπέ· ἔστω ὁ ἀγοράζων ἔχει φλουριὰ κζ΄. ζητεῖ δὲ ὁ πωλῶν ἐκ τοῦ ἔχοντος τὰ κζ΄ φλουριὰ $\frac{\alpha}{\gamma}$, ὅπερ ἐστὶ φλουριὰ θ΄. τὰ ἡμίση δὲ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιζ΄. ζητεῖ δὲ ὁ ἀγοράζων $\frac{\alpha}{\delta}$ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν κζ΄ φλουριῶν, ὧν ὑπέθου ἔχειν ὁ ἀγοράζων, ἐστὶ φλουριὰ ιη΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κβ΄. καὶ ὁ μὲν πωλῶν εὗρες, ὅτι ἔχει φλουριὰ ιζ΄, ὁ δὲ ἀγοράζων κβ΄· ὁ ἀγοράζων ἔχει πλέον τοῦ πωλοῦντος φλουριὰ ε΄.

Θὲς οὖν ἐν συγκρίσει τὰς δύο θέσεις τῶν φλουριῶν, ὧν ἐποίησας, καὶ τὰ μὲν κδ΄ φλουριὰ ἔχοσι πλέον φλουριὰ δ΄, τὰ δὲ κζ΄ φλουριὰ ἔχοσι πλέον φλουριὰ ε΄. καὶ ἐπεὶ μονομερῶς ὁ ἀγοράζων καὶ εἰς τὴν πρώτην καὶ δευτέραν θέσιν ἔχει πλέον τοῦ πωλοῦντος, ἄφελε τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, τουτέστι τὰ δ΄ ἐκ τῶν ε΄, καὶ ἀπομένει α΄ φλουρί· ἔστι δὲ τοῦτο ὁ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ δ΄ φλουριὰ μετὰ τῶν κζ΄ καὶ τὰ ε΄ μετὰ τῶν κδ΄· δ΄κις οὖν κζ΄ γίνονται ρη΄ καὶ ε΄κις κδ΄ γίνονται ρκ΄. ἄφελε καὶ ἐνταῦθα, δι᾽ ἣν εἴπομεν αἰτίαν, τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, τουτέστι τὰ ρη΄ ἐκ τῶν ρκ΄, καὶ ἀπομένουσι φλουριὰ ιβ΄. μέρισον ταῦτα τὰ ιβ΄ φλουριὰ μετὰ τοῦ α΄ φλουριοῦ, οὗ εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν ιβ΄. καὶ ἰδοὺ ὁ ἀγοράζων κρατεῖ φλουριὰ ιβ΄· ἔστι δὲ καὶ ἡ τιμὴ τοῦ ἵππου φλουριὰ ιβ΄.

φ	κδ	πλέον δ
φ	κζ	πλέον ε

ἡ δὲ ἀπόδειξις, ὅτι ἐστὶ ὀρθὸν τὸ γενόμενον, ἔστι αὕτη. ζητεῖ ὁ ἔχων τὸν ἵππον καὶ τὰ ις΄ φλουριὰ ἐκ τοῦ ἀγοράζοντος $\frac{\alpha}{\gamma}$ τῶν ιβ΄ φλουριῶν, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ ἡμίση τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιβ΄. ζητεῖ δὲ καὶ ὁ ἀγοράζων ἐκ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντος $\frac{\alpha}{\delta}$, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν ιβ΄ φλουριῶν, ὧν εὗρες διὰ τῆς προχείρου μεταχειρίσεως, ὅτι κρατεῖ ὁ ἀγοράζων, ἐστὶ φλουριὰ η΄. ἕνωσον ταῦτα τὰ η΄ μετὰ τῶν δ΄, ὧν ἔλαβες ἐκ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντος, καὶ γίνονται πάλιν ὁμοῦ φλουριὰ ιβ΄ ὡς καὶ ἐπὶ τῆς ἄλλης ὁμάδος. μὴ εἰδὼς οὖν τὴν τιμὴν τοῦ ἵππου καὶ πόσα φλουριὰ κρατεῖ ὁ ἀγοράζων, διὰ τῆς προχείρου μεταχειρίσεως εὗρες, ὅτι καὶ ἡ τιμὴ τοῦ ἵππου καὶ τὰ φλουριά, ἅπερ κρατεῖ ὁ ἀγοράζων, ἐστὶ φλουριὰ ιβ΄, ὡς ἀποδέδεικται.

Ἵνα δὲ ἴδῃς τὸ ἀληθὲς τῆς παρούσης ταύτης μεταχειρίσεως, θὲς ἑτέραν θέσιν καὶ εἰπέ· ἔστω ὁ ἀγοράζων ἔχει φλουριὰ κζ΄. ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\gamma}$ τῶν κζ΄ φλουριῶν, ὅπερ ἐστὶ φλουριὰ θ΄. τὰ δὲ ἡμίση τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιζ΄. ζητεῖ δὲ ὁ ἀγοράζων $\frac{\alpha}{\delta}$ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν κζ΄ φλουριῶν ἐστι φλουριὰ ιη΄. ἕνωσον καὶ ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κβ΄. ὁ πωλῶν ἔχει φλουριὰ ιζ΄, ὁ δὲ ἀγοράζων κβ΄· ὁ ἀγοράζων ἔχει πλέον φλουριὰ ε΄.

ὑπέθου πάλιν δευτέραν θέσιν καὶ εἰπέ· ἔστω ὁ ἀγοράζων ἔχει φλουριὰ λγ΄. ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\gamma}$ τῶν λγ΄ φλουριῶν, ὅπερ ἐστὶ φλουριὰ ια΄. τὰ δὲ ἡμίση τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιθ΄. ζητεῖ δὲ ὁ ἀγοράζων || $\frac{\alpha}{\delta}$ τῶν ις΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν λγ΄ φλουριῶν τοῦ ἀγοράζοντός ἐστι φλουριὰ κβ΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κς΄. ἔχει ὁ πωλῶν φλουριὰ ιθ΄, ὁ δὲ ἀγοράζων κς΄· ὁ ἀγοράζων ἔχει f. 38r

καὶ ἐνταῦθα πλέον φλουριὰ ζ΄.

Θὲς οὖν καὶ νῦν ἐν συγκρίσει τὰς δύο θέσεις τῶν φλουριῶν, ὧν ἐποίησας, καὶ ἄφελε τὰ ε΄ φλουριά, ἅπερ ἐστὶ ἐλάττονα, ἐκ τῶν ζ΄ φλουριῶν καὶ ἀπομένοσι φλουριὰ β΄, ἅπερ ἐστὶ μεριστής.

φ	κζ	πλέον ε
φ	λγ	πλέον ζ

πολλαπλασίασον δὲ στ(αυ)ροειδῶς τὰ ε΄ φλουριὰ μετὰ τῶν λγ΄ καὶ τὰ ζ΄ μετὰ τῶν κζ΄· ε΄κις οὖν λγ΄ γίνονται ρξε΄ καὶ ζ΄κις κζ΄ γίνονται ρπθ΄. ἐπεὶ οὖν μονομερῶς ὁ ἀγοράζων ἔχει πλέον εἰς μὲν τὴν πρώτην θέσιν φλουριὰ ε΄, εἰς δὲ τὴν δευτέραν ζ΄, ὥσπερ ἀφεῖλες τὰ ε΄ ἐκ τῶν ζ΄ καὶ ἀπέμειναν β΄ μεριστής, ἄφελε καὶ τὰ ρξε΄ ἐκ τῶν ρπθ΄, τουτέστι τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, καὶ ἀπομένοσ(ι) κδ΄. μέρισον τὰ κδ΄ μετὰ τῶν β΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν φλουριὰ ιβ΄ ὡς τὸ πρότερον. καὶ ἰδοὺ καὶ νῦν εὕρες, ὅτι καὶ ἡ τιμὴ τοῦ ἵππου καὶ τὰ φλουριά, ἅπερ κρατεῖ ὁ ἀγοράζων, ἐστὶ φλουριὰ ιβ΄. ἡ δὲ ἀπόδειξις τούτου πάλιν ἐστὶ ὁμοία.

β	δ	
β	β	
α	β	

ξδ Περὶ τοῦ αὐτοῦ ζητήματος, οὐχ ὡς τὸ πρῶτον, ἀλλὰ τὸ ἀνάπαλιν· νῦν γὰρ ὁ μὲν πωλῶν εἶπεν ἔχειν φλουριὰ ιβ΄. μὴ εἰδότες οὖν, πόσα φλουριὰ ἔχει ὁ ἀγοράζων καὶ πόσα φλουριά ἐστι ἡ τιμὴ τοῦ ἵππου, ἡ μὲν τιμὴ εὑρεθήσεται πάλιν φλουριὰ ιβ΄, τὰ δὲ τοῦ ἀγοράζοντος φλουριὰ ις΄.

Ἔστω δὲ νῦν τὸ ἀνάπαλιν· ὁ μὲν πωλῶν εἶπεν, ὅτι ἔχει φλουριὰ ιβ΄. ζητεῖ δὲ τὸν ἀγοράζοντα $\frac{\alpha}{\delta}$ ἐκ τῶν φλουριῶν, ὧν ἔχει ὁ ἀγοράζων, καὶ ἔτι $\frac{\beta}{\gamma}$ τῶν ιβ΄ φλουριῶν, ὧν ἔχει ὁ πωλῶν. στέργει δὲ τοῦτο ὁ ἀγοράζων· ὑπερδώσῃ ὁ πωλῶν $\frac{\alpha}{\gamma}$ ἐκ τῶν ιβ΄ φλουριῶν, ὧν ἔχει, καὶ ἔτι πλέον τὰ ἡμίση, ὧν ἔχει ὁ ἀγοράζων. μὴ εἰδότες οὖν ἡμεῖς, πόσα φλουριὰ ἔχει ὁ ἀγοράζων καὶ πόση ἐστὶ ἡ τιμὴ τοῦ ἵππου, εὑρήσομεν τὴν μὲν τιμὴν φλουριὰ ιβ΄ ὡς τὸ πρότερον, τὰ δὲ φλουριὰ τοῦ ἀγοράζοντος ις΄.

Παρὰ σεαυτῷ ὑπέθου πάλιν θέσιν τινὰ καὶ εἰπέ· ἔστω ὁ ἀγοράζων ἔχει φλουριὰ κ΄. ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\delta}$ τῶν κ΄, ὅπερ ἐστὶ φλουριὰ ε΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν ιβ΄ φλουριῶν, ὧν ἔχει ὁ πωλῶν, ἐστὶ φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιγ΄. ζητεῖ δὲ ὁ ἀγοράζων $\frac{\alpha}{\gamma}$ τῶν ιβ΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ ἡμίση τῶν κ΄ φλουριῶν τοῦ ἀγοράζοντός ἐστι φλουριὰ ι΄. ἕνωσον καὶ ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιδ΄· ἔχει ὁ ἀγοράζων α΄ φλουρὶ πλέον.

ὑπέθου δευτέραν θέσιν καὶ εἰπέ· ἔστω ὁ ἀγοράζων ἔχει φλουριὰ κδ΄. ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\delta}$ τῶν κδ΄, ὅπερ ἐστὶ φλουριὰ ς΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν ιβ΄ φλουριῶν, ὧν ἔχει ὁ πωλῶν, ἐστὶ φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιδ΄. ζητεῖ δὲ ὁ ἀγοράζων $\frac{\alpha}{\gamma}$ τῶν ιβ΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ ἡμίση τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντός ἐστι φλουριὰ ιβ΄. ἕνωσον καὶ ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ις΄· ὁ ἀγοράζων ἔχει πάλιν πλέον τοῦ πωλοῦντος φλουριὰ β΄.

Θὲς οὖν ἐν συγκρίσει τὰς δύο θέσεις τῶν φλουριῶν, ὧν ἐποίησας. ἐπεὶ δὲ μονομερῶς καὶ ἐπὶ τῶν δύο θέσεων τῶν κ΄ καὶ κδ΄ φλουριῶν ἔχει πλέον ὁ ἀγοράζων, ἄφελε τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, τουτέστι τὸ α΄ ἐκ τῶν β΄, καὶ ἀπομένει α΄, ὅπερ ἐστὶ ὁ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὸ α΄ μετὰ τῶν κδ΄ καὶ τὰ β΄ μετὰ τῶν κ΄· ἅπαξ οὖν κδ΄ πάλιν ἐστὶ κδ΄ καὶ δὶς τὰ κ΄ γίνονται μ΄. ἄφελε καὶ ἐνταῦθα τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, τουτέστι τὰ κδ΄ ἐκ τῶν μ΄, καὶ ἀπομένοσι ις΄. μέρισον τὰ ις΄ μετὰ τοῦ α΄, οὗ εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν ις΄. καὶ ἰδοὺ εὕραμεν, ὅτι ὁ ἀγοράζων ἔχει φλουριὰ ις΄.

φ	κ	πλέον α
φ	κδ	πλέον β

α	ς	
α	α	
α	ς	

Ἵνα δὲ ἴδῃς, ὅτι καὶ ἡ τιμὴ τοῦ ἵππου ἐστὶ φλουριὰ ιβ΄· ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\delta}$ τῶν ις΄ φλουριῶν, ὧν εὕρομεν, ὅτι ἔχει, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν ιβ΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιβ΄. ζητεῖ ὁ ἀγοράζων $\frac{\alpha}{\gamma}$ τῶν ιβ΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὰ δὲ ἡμίση τῶν ις΄ φλουριῶν, ὧν εὕρες, ὅτι ἔχει ὁ ἀγοράζων, ἐστὶ φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται καὶ οὕτως πάλιν φλουριὰ ιβ΄. καὶ ἰδοὺ καὶ ἡ τιμὴ τοῦ ἵππου εὑρέθη, ὡς εἴπομεν, φλουριὰ ιβ΄.

ἐὰν δὲ πάλιν ὑποθῇς δύο θέσεις – τὴν μὲν πρώτην φλουριὰ κδ΄, τὴν δευτέραν δὲ φλουριὰ λς΄, ἢ πάλιν τὴν μὲν πρώτην μη΄, τὴν δευτέραν δὲ ξ΄ –, διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως εὑρήσεις πάλιν τὴν μὲν τιμὴν τοῦ ἵππου φλουριὰ ιβ΄, τὰ δὲ φλουριὰ τοῦ ἀγοράζοντος ις΄, ὡς καὶ ἐπὶ τοῦ παρόντος εὕραμεν οὕτως.

Ἕτερον τούτου ὅμοιον. Ἔστω ὁ μὲν ἀγοράζων ἔχει φλουριὰ κδ΄. ζητεῖ δὲ ὁ πωλῶν $\frac{\alpha}{\varsigma}$ ἐκ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντος καὶ ἔτι $\frac{\alpha}{\gamma}$ ἐξ ὧν φλουριῶν ἀγνώστων <, ὧν> ἔχει ὁ πωλῶν. στέργει δὲ τοῦτο ὁ ἀγοράζων· ὑπερδώσῃ ὁ πωλῶν $\frac{\alpha}{\varepsilon}$ ἐκ τῶν ἀγνώστων φλουριῶν, ὧν ἔχει, καὶ ἔτι πλέον $\frac{\alpha}{\gamma}$ τῶν κδ΄ φλουριῶν, ὧν ἔχει ὁ ἀγοράζων. μὴ εἰδότες οὖν ἡμεῖς, πόσα φλουριὰ ἔχει ὁ πωλῶν καὶ πόσα φλουριὰ ζητεῖ ὑπὲρ τοῦ ἵππου αὐτοῦ, τὴν μὲν τιμὴν τοῦ ἵππου εὑρήσομεν φλουριῶν ιδ΄, τὰ δὲ φλουριά, ἅπερ ἔχει ὁ πωλῶν, εὑρήσομεν ταῦτα φλουριὰ λ΄.

Ὑπέθου παρὰ σεαυτῷ θέσιν τινὰ καὶ εἰπέ· ἔστω ὁ πωλῶν ἔχει φλουριὰ ξ΄. ζητεῖ δὲ τὸν ἀγοράζοντα $\frac{\alpha}{\varsigma}$ ἐκ τῶν κδ΄ φλουριῶν, ὧν εἴπομεν, ὅτι κρατεῖ, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄ φλουριῶν, ὧν ὑπέθου ἔχειν τὸν πωλοῦντα, ἐστὶ φλουριὰ κ΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κδ΄. ζητεῖ δὲ ὁ ἀγοράζων $\frac{\alpha}{\varepsilon}$ ἐκ τῶν ξ΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ ιβ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν κδ΄ φλουριῶν, ὧν ἔχει ὁ ἀγοράζων, ἐστὶ φλουριὰ η΄. ἕνωσον καὶ ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κ΄· ὁ πωλῶν ἔχει πλέον φλουριὰ δ΄.

ὑπέθου πάλιν ἑτέραν θέσιν καὶ εἰπέ· ἔστω ὁ πωλῶν ἔχει φλουριὰ ς΄. ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\varsigma}$ ἐκ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν ς΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ λ΄. ἕνωσον καὶ ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ λδ΄. ζητεῖ δὲ ὁ ἀγοράζων $\frac{\alpha}{\varepsilon}$ ἐκ τῶν ς΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ ιη΄. τὸ δὲ ‖ $\frac{\alpha}{\gamma}$ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντός ἐστι φλουριὰ η΄. ἕνωσον καὶ ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κς΄· ἔχει ὁ πωλῶν καὶ ἐνταῦθα φλουριὰ η΄ πλέον. **f. 38^{v}**

Θὲς οὖν ἐν συγκρίσει τὰς δύο θέσεις τῶν φλουριῶν, ὧν ἐποίησας. ἐπεὶ οὖν μονομερῶς ὁ πωλῶν ἔχει πλέον καὶ ἐπὶ τῶν δύο θέσεων, ἄφελε τὰ δ΄ ἐκ τῶν η΄ καὶ ἀπομένοσι δ΄· ἔστι δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ δ΄ μετὰ τῶν ς΄ καὶ τὰ η΄ μετὰ τῶν ξ΄· δ΄κις οὖν ς΄ γίνονται τξ΄ καὶ η΄κις ξ΄ γίνονται υπ΄. ἄφελε καὶ ἐνταῦθα τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, τουτέστι τὰ τξ΄ ἐκ τῶν υπ΄, καὶ ἀπομένοσι ρκ΄. μέρισον τὰ ρκ΄ μετὰ τῶν δ΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λ΄. καὶ ἰδοὺ εὗρες, ὅτι ὁ πωλῶν κρατεῖ φλουριὰ λ΄, ὡς εἴπομεν.

φ	ξ	πλέον δ
φ	ς	πλέον η

α β φ
δ δ
γ ψ

Ἵνα δὲ ἴδῃς, ὅτι καὶ ἡ τιμὴ τοῦ ἵππου ἐστὶ φλουριὰ ιδ΄, ὡς εἴπομεν· ὁ πωλῶν ζητεῖ $\frac{\alpha}{\varsigma}$ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν λ΄ φλουριῶν, ὧν εὗρες, ὅτι ἔχει ὁ πωλῶν, ἐστὶ φλουριὰ ι΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ιδ΄. ζητεῖ ὁ ἀγοράζων $\frac{\alpha}{\varepsilon}$ τῶν λ΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ ς΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντός ἐστι φλουριὰ η΄. ἕνωσον καὶ

ταῦτα καὶ γίνονται πάλιν φλουριὰ ιδ΄ ὡς καὶ ἐπὶ τῆς ἑτέρας ἑνώσεως. καὶ ἰδοὺ εὑρέθη καὶ ἡ τιμὴ τοῦ ἵππου φλουριὰ ιδ΄.

Ἔστω δὲ πάλιν ὁ μὲν ἀγοράζων ἔχει φλουριὰ κδ΄. ὑπέθου δὲ σὺ παρὰ σεαυτῷ καὶ εἰπέ· ἔστω ὁ πωλῶν ἔχει φλουριὰ ιε΄. ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\varsigma}$ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν ιε΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ ε΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ θ΄. ζητεῖ ὁ ἀγοράζων $\frac{\alpha}{\varepsilon}$ τῶν ιε΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ γ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ ια΄· ὁ ἀγοράζων ἔχει πλέον φλουριὰ β΄.

ὑπέθου πάλιν δευτέραν θέσιν καὶ εἰπέ· ἔστω ὁ πωλῶν ἔχει φλουριὰ ξ΄. ζητεῖ ὁ πωλῶν $\frac{\alpha}{\varsigma}$ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντος, ὅπερ ἐστὶ φλουριὰ δ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄ φλουριῶν τοῦ πωλοῦντός ἐστι φλουριὰ κ΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κδ΄. ζητεῖ ὁ ἀγοράζων $\frac{\alpha}{\varepsilon}$ τῶν ξ΄ φλουριῶν τοῦ πωλοῦντος, ὅπερ ἐστὶ φλουριὰ ιβ΄. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν κδ΄ φλουριῶν τοῦ ἀγοράζοντός ἐστι φλουριὰ η΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ φλουριὰ κ΄. νῦν δὲ οὐχ ὁ πωλῶν, ἀλλὰ ὁ ἀγοράζων μᾶλλον ἔχει πλέον φλουριὰ δ΄.

Θὲς οὖν ἐν συγκρίσει τὰς δύο θέσεις τῶν φλουριῶν, ὧν ἐποίησας. ἐπεὶ δὲ νῦν οὐ μονομερῶς, ἀλλὰ ἀνωμάλως ἔχοσι τὸ

ὁ πωλῶν·	ἐκ τῶν ιε φ ἔχει πλέον β
ὁ ἀγοράζων·	ἐκ τῶν ξ φ ἔχει πλέον δ

πλέον – ὁ μὲν πωλῶν ἐπὶ τῆς πρώτης θέσεως τῶν ιε΄ φλουριῶν ἔχων φλουριὰ β΄ πλέον τοῦ ἀγοράζοντος, ὁ δὲ ἀγοράζων ἔχει φλουριὰ δ΄ πλέον τοῦ πωλοῦντος ἐπὶ τῆς δευτέρας θέσεως τῶν ξ΄ φλουριῶν –, ἕνωσον τὰ β΄ φλουριὰ μετὰ τῶν δ΄ καὶ γίνονται ὁμοῦ ς΄· ἔστι δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ β΄ φλουριὰ μετὰ τῶν ξ΄ καὶ τὰ δ΄ μετὰ τῶν ιε΄· δὶς οὖν ξ΄ γίνονται ρκ΄ καὶ δ΄κις ιε΄ γίνονται ξ΄. ἕνωσον τὰ ρκ΄ μετὰ τῶν ξ΄, καθὼς ἕνωσας καὶ τὰ β΄ μετὰ τῶν δ΄ καὶ ἐγένοντο ς΄, καὶ γίνονται ὁμοῦ ρπ΄. μέρισον τὰ ρπ΄ μετὰ τῶν ς΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λ΄ πάλιν ὡς τὸ πρότερον. καὶ ἰδοὺ καὶ οὕτως εὗρες, ὅτι λ΄ φλουριὰ ἔχει ὁ πωλῶν, καθὼς οὕτως εὗρες καὶ πρότερον. ἡ δὲ τιμὴ τοῦ ἵππου ἐστὶ πάλιν φλουριὰ ιδ΄.

α η κ
ξ ξ
γ ιε

Ἐὰν δὲ καὶ τὸ ἀνάπαλι(ν) ζητῇς, ὅτι ὁ ἀγοράζων ἔχει φλουριὰ λ΄, ζητεῖ δὲ ὁ πωλῶν $\frac{\alpha}{\varepsilon}$ τῶν λ΄ φλουριῶν τοῦ ἀγοράζοντος καὶ ἔτι $\frac{\alpha}{\gamma}$ τῶν ἀγνώστων φλουριῶν τοῦ πωλοῦντος, ὁ δὲ ἀγοράζων ζητεῖ $\frac{\alpha}{\varsigma}$ τῶν ἀγνώστων φλουριῶν τοῦ πωλοῦντος καὶ ἔτι $\frac{\alpha}{\gamma}$ τῶν λ΄ φλουριῶν τοῦ ἀγοράζοντος, εὑρήσεις, ὅτι τὰ ἄγνωστα φλουριὰ τοῦ πωλοῦντός εἰσι κδ΄, ἡ δὲ τιμὴ τοῦ ἵππου πάλιν φλουριὰ ιδ΄, ὥσπερ νῦν τὸ ἀνάπαλι(ν) γέγονε· ὁ μὲν ἀγοράζων εἴπομεν ἔχειν φλουριὰ κδ΄, εὕρομεν δὲ διὰ τῆς δηλωθείσης μεταχειρίσεως, ὅτι ὁ πωλῶν ἔχει φλουριὰ λ΄. νῦν δέ, ἐὰν ὁ ἀγοράζων ἔχῃ φλουριὰ λ΄, ὁ πωλῶν εὑρεθήσεται ἔχων φλουριὰ κδ΄, ἡ δὲ τιμὴ τοῦ ἵππου πάλιν φλουριὰ ιδ΄.

ξε Περὶ τῶν δύο ὁδοιπόρων,


ὧν ὁ μὲν ὁδεύων τῆν ἡμέραν ὥρας ι΄, τὴν δὲ ὥραν μίλια β΄, ὁ δὲ τὴν μὲν ἡμέραν ὥρας η΄, τὴν δὲ ὥραν μίλι(α) ε΄· ἐν [μ]πόσες ἡμέρες ἑνωθήσονται καὶ πόσα μίλι(α) εὑρεθήσεται ἔχων ἕκαστος αὐτῶν; ἔστι δὲ τὸ διάστημα αὐτῶν μίλ(ια) ,β΄.

Ἔστω ὅτι δύο τινὲς ὁδοιπόροι ἔχοσι ποιῆσαι ὁδοιπορίαν τινὰ ἐκ διαστήματος μακροῦ

15.17.18.20.21 **pro** πωλῶν, πωλοῦντος **lege** ἀγοράζων, ἀγοράζοντος **et vice versa**

ὡς μίλ(ια) ,β΄. καὶ ὁ μὲν κινήσας ἤρξατο ὁδεύων ἔρχεσθαι πρὸς ἡμᾶς, ἑκάστη(ν) δὲ ἡμέραν πορεύεται ὥρας ι΄, ἑκάστην δὲ ὥραν ποιεῖται μίλ(ια) β΄. κατ᾽ αὐτὴν δὲ τὴν ἡμέραν τε καὶ ὥραν, καθ᾽ ἣν ὁ δηλωθεὶς ὁδοιπόρος ἐκίνησεν ἔρχεσθαι πρὸς ἡμᾶς, ἀπεδήμησεν ἀφ᾽ ἡμῶν καὶ ὁ ἕτερος ὁδοιπόρος καὶ ποιεῖται τὴν ἑαυτοῦ πορείαν πρὸς τὸ παραγενέσθαι πρὸς ἐκείνην τὴν πόλιν, ἥτις εἶχε τὸν πρὸς ἡμᾶς ἀφιέμενον ὁδοιπόρον. πορεύεται δὲ ὁ ἀφ᾽ ἡμῶν πρὸς τὰ ἐκεῖσε ὁδεύων ἑκάστην ἡμέραν ὥρας η΄, ποιεῖται δὲ ἑκάστην ὥραν μίλ(ια) ε΄. ζητεῖς δὲ εἰδέναι, ἐν [μ]πόσες ἡμέρες ἕκαστος αὐτῶν ἀποπληρώσει ποιούμενος τὴν τῶν ,β΄ μιλ(ίων) διάστασιν καὶ ἐν [μ]πόσες ἡμέρες ὡς ἐν ταὐτῷ συνέλθωσι οἱ δύο ὁμοῦ ὁδοιπόροι καὶ πόσα μίλ(ια) εὑρεθήσεται ἔχων ἕκαστος αὐτῶν, ὅτε συνέλθωσι οἱ δύο ὁμοῦ. ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως.

Πολλ(α)πλασίασον τὰς ι΄ ὥρας μετὰ τῶν β΄ μιλ(ίων), ὧν ποιεῖται ἑκάστην ὥραν· δὶς οὖν ι΄ γίνονται κ΄. ὁδεύει δὲ ὁ πρὸς ἡμᾶς ἐρχόμενος ἑκάστην ἡμέραν μίλ(ια) κ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰς η΄ ὥρας τοῦ ἑτέρου, ἃς ὁδεύει ἑκάστην ἡμέραν, μετὰ τῶν ε΄ μιλ(ίων), ὧν ποιεῖται ἑκάστην ὥραν· ε΄κις οὖν η΄ γίνονται μ΄. ποιεῖται δὲ ὁ ἀφ᾽ ἡμῶν πρὸς τὰ ἐκεῖσε ὁδεύων ἑκάστην ἡμέραν μίλ(ια) μ΄. μέρισον τοίνυν τὰ ,β΄ μίλ(ια) μετὰ τῶν κ΄ μιλίων, ὧν ποιεῖται ὁ πρὸς ἡμᾶς ἐρχόμενος ἑκάστην ἡμέραν, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς ρ΄. καὶ ἰδοὺ ‖ ἐν ἡμέρες ρ΄ ἀποσωθήσεται ὁ ἐρχόμενος εἰς ἡμᾶς. μέρισον πάλιν τὰ ,β΄ μίλ(ια) μετὰ τῶν μ΄ μιλίων, ὧν ὁδεύει ἑκάστην ἡμέραν ὁ πρὸς τὰ ἐκεῖσε ὁδεύων ἀφ᾽ ἡμῶν ἀποδημήσας, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς ν΄. καὶ ἰδοὺ ἐν ἡμέρες ν΄ ἀποσωθήσεται ἐκεῖσε, ἔνθα ὁ πρῶτος ἀπεδήμησεν. ἐπεὶ δὲ ζητεῖς, καὶ ἐν [μ]πόσες ἡμέρες ἑνωθήσονται καὶ πόσα μίλι(α) ἔχων ἕκαστος, πολλ(α)πλασίασον τὰς ρ΄ ἡμέρας, ἃς εἴπομεν, ὅτι ἀποσωθήσεται ὁ πρὸς ἡμᾶς ἐρχόμενος, μετὰ τῶν ν΄ ἡμερῶν, ὧν εἴπομεν, ὅτι ἀποσωθήσεται ὁ ἀφ᾽ ἡμῶν πρὸς τὰ ἐκεῖσε ὁδεύων, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ε΄. ἕνωσον δὲ τὰς ρ΄ ἡμέρας μετὰ τῶν ν΄ ἡμερῶν καὶ γίνονται ὁμοῦ ἡμέραι ρν΄. μέρισον τὰ ,ε΄ μετὰ τῶν ρν΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς λγ΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\varepsilon\,\iota}{\alpha\,\varepsilon\,\iota}$. τὰ δὲ ν΄ μετὰ τῶν ρν΄ συγκρινόμενά ἐστι $\frac{\alpha}{\gamma}$· ὃν γὰρ λόγον ἔχει τὸ α΄ πρὸς τὰ γ΄, τὸν αὐτὸν ἔχουσι καὶ τὰ ν΄ πρὸς τὰ ρν΄, τουτέστι $\frac{\alpha}{\gamma}$. καὶ ἰδοὺ ἐν ἡμέρες λγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνωθήσονται οἱ δύο ὡς ἐν ταὐτῷ ὁμοῦ.



πολλ(α)πλασίασον τὰ κ΄ μίλ(ια), ἅπερ ποιεῖται ἑκάστην ἡμέραν ὁ ἐρχόμενος εἰς ἡμᾶς, μετὰ τῶν λγ΄ ἡμερῶν καὶ $\frac{\alpha}{\gamma}$· κ΄κις οὖν λγ΄ καὶ $\frac{\alpha}{\gamma}$ γίνονται χξς΄ καὶ $\frac{\beta}{\gamma}$. καὶ ἰδοὺ τῇ τριακοστῇ τρίτῃ ἡμέρᾳ καὶ $\frac{\alpha}{\gamma}$, καθ᾽ ἣν οἱ δύο ἑνώθησαν, ἐποιήσατο ὁ ἐρχόμενος πρὸς ἡμᾶς μίλ(ια) χξς΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς μιλίου.

πολλ(α)πλασίασον δὲ καὶ τὰ μ΄ μίλι(α), ἅπερ ποιεῖται ἑκάστην ἡμέραν ὁ ἀφ᾽ ἡμῶν πρὸς τὰ ἐκεῖσε ὁδεύων, μετὰ τῶν λγ΄ ἡμερῶν καὶ $\frac{\alpha}{\gamma}$· μ΄κις οὖν λγ΄ καὶ $\frac{\alpha}{\gamma}$ γίνονται ,ατλγ΄ καὶ $\frac{\alpha}{\gamma}$. καὶ ἰδοὺ τῇ τριακοστῇ τρίτῃ ἡμέρᾳ καὶ $\frac{\alpha}{\gamma}$, καθ᾽ ἣν οἱ δύο ἑνώθησαν, ἐποιήσατο ὁ ἀφ᾽ ἡμῶν πρὸς τὰ ἐκεῖσε ὁδεύων μίλι(α) ,ατλγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς μιλίου.

37/38.42 τῇ τριακοστῇ τρίτῃ ἡμέρᾳ] τὴ λ$^{\eta}$γ ἡμερα **C**

ἕνωσον δὲ τὰ χξς΄ καὶ $\frac{\beta}{\gamma}$ μετὰ τῶν ,ατλγ΄ καὶ $\frac{\alpha}{\gamma}$ καὶ γίνονται ὁμοῦ μίλ(ια) ,β΄. καὶ ἰδοὺ εὗρες, ἐν [μ]πόσες ἡμέρες ἀποπληρώσει ἕκαστος αὐτῶν τὰ ,β΄ μίλια· ὁ μὲν τὰ κ΄ μίλ(ια) ἑκάστην ἡμέραν ποιούμενος ἐν ἡμέρες ρ΄, ὁ δὲ τὰ μ΄ μίλ(ια) ἑκάστην ἡμέραν ποιούμενος ἐν ἡμέρες ν΄. εὗρες δέ, ὅτι ἐν ἡμέραις λγ΄ καὶ $\frac{\alpha}{\gamma}$ μιᾶς ἡμέρας ἑνωθήσονται οἱ δύο ὡς ἐν ταὐτῷ. εὗρες δέ, ὅτι ὁ ἐρχόμενος πρὸς ἡμᾶς, καθ' ἣν ἡμέραν τε καὶ ὥραν ἑνώθησαν οἱ δύο, ἐποιήσατο μίλ(ια) χξς΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς μιλ(ίου)· ὁ δὲ ἀφ' ἡμῶν πρὸς τὰ ἐκεῖσε ὁδεύων, καθ' ἣν ἡμέραν τε καὶ ὥραν ἑνώθησαν οἱ δύο, ἐποιήσατο μίλ(ια) ,ατλγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς μιλ(ίου), ἃ καὶ ἑνώσας ἐγένοντο πάλιν μίλ(ια) ,β΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

χξς καὶ $\frac{\beta}{\gamma}$
,ατλγ καὶ $\frac{\alpha}{\gamma}$
ὁμοῦ μίλ(ια) ,β

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ξς Περὶ τῶν ἀπὸ τῆς μιᾶς πόλεως ἀποδημησάντων,

ὧν ὁ μὲν ἀπεδήμησεν πρὸ ἡμερῶν ι΄, ὁ δὲ μετὰ τῶν ι΄ ἡμερῶν τοῦ προαποδημήσαντος σπουδαιοτέρως ὁδεύων· ἐν [μ]πόσες ἡμέρες καταλάβῃ τὸν προαποδημήσαντα;

Ἔστω ὅτι ἀπεδήμησέν τις τῶν ἀρχόντων ἐκ πόλεώς τινος. πορεύεται δὲ ἑκάστην ἡμέραν ὥρα(ς) η΄, ἑκάστην δὲ ὥρα(ν) ποιεῖται μίλ(ια) γ΄· τρὶς δέ η΄ γίνονται κδ΄, τουτέστι ἑκάστην ἡμέραν ὁδεύει μίλ(ια) κδ΄. μετὰ δὲ τὴν τούτου ἀποδημίαν – ἡμερῶν ι΄ διάστημα – χρείας καταλαβούσης τὸν δεσπότην καὶ κύριον τοῦ προαποδημήσαντος ἄρχοντος παραδηλῶσαί τι τῶν ἀναγκαίων αὐτῷ ἐξαπέστειλε πρὸς αὐτὸν ἕτερον στρατιώτην ταῦτα μηνύων αὐτῷ.

πορεύεται δὲ ἑκάστην ἡμέραν ὁ μετὰ ι΄ ἡμέρας ἀποδημήσας στρατιώτης ὥρας ια΄, ἑκάστην δὲ ὥραν ποιεῖται μίλ(ια) δ΄· δ΄κις δὲ ια΄ γίνονται μδ΄, τουτέστι τὸ ἡμερήσιον κίνημα αὐτοῦ μίλ(ια) μδ΄. ζητεῖς δὲ εἰδέναι, ἐν [μ]πόσες ἡμέρες καταλάβῃ καὶ ἑνωθήσεται τὸν προαποδημήσαντα αὐτῷ ἄρχοντα πρὸ ἡμερῶν ι΄. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως.

Ὑπέρθου ὁδοιπορίαν τινά, ὅσον ἂν ἡμερῶν ἱκανόν σοι φάνηται πλέον εἶναι τοῦ

---

14 **ad titulum huius capitis in dextro marg. fol. 39^{r} scriptum**: τὸ παρὸν χρήσιμον, τὸ δὲ πρῶτον ἄχρηστον

22 μηνύων] μινιων **C**

27 **post** οὕτως **in dextro marg. fol. 39^{r}**: πολλ(α)πλασίασον τὰς ι΄ ἡμέρας τοῦ προαποδημήσαντος ἄρχοντος μετὰ τῶν κδ΄ μιλί(ων), ὧν ὁδεύει ἑκάστην ἡμέραν· ι΄κις οὖν κδ΄ γίνονται σμ΄ μίλια, ἅπερ ἐποιήσατο ὁδεύων ἐν ἡμέρες ι΄. ἄφ(ε)λ(ε) τὸ ἓν ἡμερήσιον κίνημα ἐκ τοῦ ἑτέρου, τουτέστι τὰ κδ΄ μίλ(ια) ἐκ τῶν μδ΄ μιλί(ων), καὶ ἀπομένουσι μίλ(ια) κ΄. μέρισον τὰ σμ΄ μίλι(α) τῶν ι΄ ἡμερῶν μετὰ τῶν κ΄ μιλί(ων), ὧν ἀπέμειναν ἐκ τῶν μδ΄, καὶ γίνεται ὁ τούτων μερισμὸς ιβ΄· ιβ΄κις γὰρ κ΄ γίνονται σμ΄. ἐν ἡμέραις οὖν ιβ΄ ἑνωθήσεται ὁ μετὰ ι΄ ἡμέρας ἀποδημήσας τὸν πρὸ ι΄ ἡμέρας **(sic!)** ἀποδημήσαντα.

ἡ δὲ ἀπόδειξίς ἐστι αὕτη. ὁ πρὸ ι΄ ἡμέρας **(!)** ἀποδημήσας ἄρχων ἐν ἡμέραις κβ΄· κβ΄κις μίλι(α) κδ΄ γίνονται μίλι(α) φκη΄. ὁ δὲ μετὰ ι΄ ἡμέρας ἀποδημήσας στρατιώτης· ιβ΄κις μίλι(α) μδ΄ γίνονται μίλι(α) φκη΄. ὅτε οὖν ὁ μὲν ἄρχων εἶχεν ἡμέρας κβ΄, ὁ δὲ στρατιώτης ἡμέρας ιβ΄, ἐποιήσατο ἕκαστος αὐτῶν ἀνὰ μιλ(ί)ων φκη΄ καὶ ἐγένοντο οἱ δύο ὡς ἐν ταὐτῷ ἑνωθέντες.

δέοντος δέον γὰρ ὑποθέσθαι τοσούτων ἡμερῶν διάστημά τε καὶ κίνημα, ὅσον ἂν ἱκανόν σοι φάνηται πρὸς τὸ προβῆναι ὁ μετὰ ι΄ ἡμέρας ἀποδημήσας τὸν προαποδημήσαντα. ἔστω τοίνυν ὁ προαποδημήσας ἄρχων ἔχει ὁδοιπορίαν ἡμέρας λε΄. πολλ(α)πλασίασον δὲ τὰς λε΄ ἡμέρας, ἃς ὑπέρθου ὁδεύειν, μετὰ τῶν κδ΄ μιλ(ί)ων, ὧν ποιεῖται ἑκάστην ἡμέραν ὁ προαποδημήσας ἄρχων, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ωμ΄. καὶ ἰδοὺ τὰς λε΄ ἡμέρας ἐποιήσατο ὁ προαποδημήσας ἄρχων μίλ(ια) ωμ΄. ἐπεὶ δὲ εἴπομεν, ὅτι μετὰ ι΄ ἡμέρας ἀπεδήμησε ὁ καταλαβεῖν αὐτὸν ἐπειγόμενος στρατιώτης, ἄφελε ι΄ ἡμέρας ἐκ τῶν λε΄ ἡμερῶν, ὧν λέγομεν ὁδεύειν τὸν προαποδημήσαντα, καὶ ἀπομένοσι ἡμέραι κε΄. πολλ(α)πλασίασον δὲ τὰς κε΄ ἡμέρας, ἃς ἔχει ὁδεύων ὁ μετὰ ι΄ ἡμέρας ἀποδημήσας στρατιώτης, μετὰ τῶν μδ΄ μιλ(ίων), ὧν ποιεῖται ἑκάστην ἡμέραν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,αρ΄. καὶ ὁ μὲν πρὸ δέκα ἡμερῶν ἀποδημήσας ἄρχων ἐν[ν] ἡμέραις λε΄ ἐποιήσατο μίλ(ια) ωμ΄, ὁ δὲ μετὰ δέκα ἡμέρας ἀποδημήσας στρατιώτης ἐν[ν] ἡμέραις κε΄ ἐποιήσατο μίλ(ια) ,αρ΄. καὶ ἰδοὺ προέβη καταπολ(ὺ) ὁ μετὰ ταῦτα ἀποδημήσας τὸν προαποδημήσαντα αὐτὸν ἄρχοντα.

γ ε
α δ υ | δ
ζ υ | β
η δ υ

δ δ
β β υ | ε
η η | β
α α υ υ

ἄφελε τοίνυν τὰ ωμ΄ μίλ(ια) ἐκ τῶν ,αρ΄ καὶ ἀπομένοσι μίλ(ια) σξ΄· ἐποιήσατο δὲ ὁ μετὰ ταῦτα ἀποδημήσας περισσοτέραν ὁδόν, ὡσεὶ μίλ(ια) σξ΄. εἴπομεν, ὅτι ὁ μὲν κινεῖται ἑκάστην ἡμέραν μίλ(ια) κδ΄, || ὁ δὲ μδ΄. περισσεύει τὸ ἓν ἡμερήσιον κίνημα ἐκ τοῦ ἑτέρου μίλ(ια) κ΄. μέρισον τὰ σξ΄ μίλ(ια), ἅπερ περισσεύοσι ἐκ τῶν ,αρ΄, μετὰ τῶν κ΄ μιλ(ίων), ὧν περισσεύοσι ἐκ τῶν μδ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιγ΄. καὶ ἰδοὺ εὗρες, ὅτι πρὸ ιγ΄ ἡμερῶν κατέλαβε καὶ ἐνώθη τὸν προαποδημήσαντα ἄρχοντα. ἄφελε οὖν ταύτας τὰς ιγ΄ ἡμέρας ἐκ τῶν λε΄ ἡμερῶν, ὧν ὑπέρθου ἔχειν τὸν προαποδημήσαντα, καὶ ἀπομένοσι ἡμέραι κβ΄. ὅτε οὖν εἶχε ὁ προαποδημήσας ἄρχων ὁδοιπόρους ἡμέρας κβ΄, κατ᾽ αὐτὴν ἡμέραν κατέλαβεν τοῦτον καὶ ὁ μετὰ ταῦτα ἀποδημήσας στρατιώτης, ὅστις στρατιώτης κατέλαβεν αὐτὸν ἐν[ν] ἡμέραις ιβ΄ μετὰ τὴν ἑαυτοῦ ἐκδημίαν, – ὅτε οὖν ὁ μὲν εἶχε ὁδεύων ἡμέρας κβ΄, ὁ δὲ ιβ΄, κατ᾽ αὐτὴν τὴν ἡμέραν κατέλαβεν τοῦτον, καθὼς προχείρως διὰ τῆς δηλωθείσης μεταχειρίσεως ἡμῖν γνωρίμως γέγονε. f. 39v

β ϛ υ
β υ μ
β
α γ

Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, ὡς ἡ πρόχειρος δεδήλωκε ἡμῖν μεταχείρισις, πολλ(α)πλασίασον τὰς κβ΄ ἡμέρας, ἃς λέγομεν, ὅτι κατέλαβεν τοῦτον, μετὰ τῶν κδ΄ μιλ(ίων), ὧν κινεῖται ἑκάστην ἡμέραν ὁ προαποδημήσας ἄρχων, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς φκη΄. πολλ(α)πλασίασον καὶ τὰς ιβ΄ ἡμέρας, ἃς λέγομεν, ὅτι κατέλαβε τοῦτον ὁ μετὰ ταῦτα ἀποδημήσας, μετὰ τῶν μδ΄ μιλίων, ὧν ποιεῖται ἑκάστην ἡμέραν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς πάλιν φκη΄. καὶ ἰδοὺ εὗρες, ὅτι, ὅτε ὁ προαποδημήσας ἄρχων εἶχεν ἡμέρας κβ΄, ἐποιήσατο μίλ(ια) φκη΄, ὅτε δὲ πάλιν εἶχεν ἡμέρας ιβ΄ ὁδοιπόρους ὁ μετὰ ι΄ ἡμέρας ἀποδημήσας στρατιώτης, ἐποιήσατο καὶ αὐτὸς μίλ(ια) φκη΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

β δ
δ η | β
δ η | β
ε β η


δ δ
η η | β
δ δ | α
ε β η

Ἵνα δὲ ἴδῃς τὸ ἀληθὲς τῆς παρούσης ταύτης μεταχειρίσεως, ὑπέρθου τὰς ὁδοιπόρους ἡμέρας τοῦ προαποδημήσαντος ἄρχοντος οὐ λε΄, ἀλλὰ λ΄. πολλ(α)πλασίασον δὲ τὰς λ΄ ἡμέρας μετὰ τῶν κδ΄ μιλ(ί)ων, ὧν ποιεῖται ἑκάστην ἡμέραν ὁ προαποδημήσας ἄρχων, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ψκ΄. καὶ ἰδοὺ ἐν ἡμέρες λ΄ ἐποιή-

---

5.24.41 ὑπέρθου] sic C

σατο ὁ προαποδημήσας ἄρχων μίλ(ια) ψκ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰς κ΄ ἡμέρας τοῦ μετὰ ι΄ ἡμέρας ἀποδημήσαντος στρατιώτου μετὰ τῶν μδ΄ μιλ(ίων), ὧν ποιεῖται ἑκάστην ἡμέραν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ωπ΄. καὶ ἰδοὺ ἐν ἡμέρες κ΄ ἐποιήσατο ὁ μετὰ ι΄ ἡμέρας ἀποδημήσας στρατιώτης μίλ(ια) ωπ΄.




ἄφελε τὰ ψκ΄ μίλ(ια) ἐκ τῶν ωπ΄ μιλ(ίων) καὶ ἀπομένοσι μίλ(ια) ρξ΄. ἄφελε καὶ τὰ κδ΄ μίλ(ια) ἐκ τῶν μδ΄ μιλ(ίων), ὧν ἕκαστος αὐτῶν ποιεῖται ἑκάστην ἡμέραν, καὶ ἀπομένοσι μίλ(ια) κ΄. μέρισον τὰ ρξ΄ μίλ(ια) μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς η΄. καὶ ἰδοὺ εὗρες, ὅτι πρὸ η΄ ἡμερῶν τῶν λ΄, τουτέστι ἐν ἡμέραις κβ΄, ἀφ᾽ ἧς ἡμέρας προαπεδήμησεν ὁ ἄρχων, ἐγένετο ἡ συνέλευσις τούτων, καθὼς οὕτως καὶ πρότερον εὗρες, ὅτι, ὅτε ὁ μὲν ἄρχων εἶχεν ἡμέρας κβ΄, ὁ δὲ στρατιώτης ιβ΄, συνήλθωσαν οἱ δύο ὁμοῦ. ἄφελε δὲ καὶ νῦν ἀπὸ μὲν τῶν λ΄ ἡμερῶν τοῦ ἄρχοντος η΄ ἡμέρας καὶ ἀπομένοσι καὶ ἡμέραι κβ΄. ἄφελε η΄ καὶ ἀπὸ τὰς κ΄ ἡμέρας τοῦ στρατιώτου καὶ ἀπομένοσι ιβ΄. καὶ ἰδοὺ καὶ μετὰ τῶν λ΄ ἡμερῶν τὴν ὑπέρθεσιν οὕτως εὗρες ὡς καὶ μετὰ τῶν λε΄ ἡμερῶν.




ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ξζ Περὶ δύο τινῶν νηῶν ὅμοιον ζήτ(η)μαν ὥσπερ τῶν συναντησάντων ἐκ διαστημάτων δύο τινῶν πόλεων ὁδοιπόροι τινὲς δύο

Ἔστωσαν δύο τινὲς νῆαι ἐκ δύο πόλεων κινηθεῖσαι κατὰ μίαν ἡμέραν τε καὶ ὥραν. τὸ δὲ διάστημα αὐτῶν ἔστω μίλ(ια) ,ανς΄. ἐπεὶ οὖν τὴν ἐναντ(ί)αν ὁδεύοντες ἡ μὲν ἔρχεται, ἡ δὲ ὑπάγει. οὐ κινῶνται ὁμαλῶς καὶ ὁμοίως, ἀλλ᾽ ἡ μὲν ἔχουσα καιρὸν πρὸς τὸ κινεῖσθαι ταχύτερον ποιεῖται ἑκάστην ὥραν μίλ(ια) δ΄, τὸ δὲ νυχθήμερον ϛς΄· δ΄κις γὰρ κδ΄ ϛς΄ γίνονται. ἡ δὲ οὐκ ἔχουσα τὴν τῶν πν(ευμ)άτων φορὰν πρὸς τὸ κινεῖσθαι τῆς προτέρας ὁμοίως κινεῖται δ᾽ ὅμως βραδύνουσα ἑκάστην μὲν ὥραν μίλ(ια) β΄, τὸ δὲ νυχθήμερον μη΄· δὶς γὰρ κδ΄ μη΄ γίνονται. ζητεῖς δὲ εἰδέναι, ἐν πόσες ἡμέρες ἀποπληρώσει ἑκάστη τὸ διάστημα τῶν ,ανς΄ μιλ(ίων) καὶ ἐν πόσες ἡμέρες τε καὶ μίλ(ια) ἑνωθήσονται συναντήσασαι ἀλλήλων αἱ νῆαι. ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως.



Μέρισον τὰ ,ανς΄ μίλ(ια) μετὰ τῶν ϛς΄ μιλ(ίων), ὧν ποιεῖται ἑκάστην ἡμέραν ἡ ταχυτέρως ὁδεύουσα ναῦς, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ια΄. καὶ ἰδοὺ ἐν[ν] ἡμέρες ια΄ ἀποσωθήσεται ἡ ὁδεύουσα ἑκάστην ἡμέραν μίλ(ια) ϛς΄. μέρισον πάλιν τὰ ,ανς΄ μίλ(ια) μετὰ τῶν μη΄ μιλ(ίων), ὧν ποιεῖται ἑκάστην ἡμέραν ἡ βραδυτέρως ὁδεύουσα ναῦς, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κβ΄. καὶ ἰδοὺ ἐν ἡμέραις κβ΄ ἀποσωθήσεται ἡ ὁδεύουσα ἑκάστην ἡμέραν μίλ(ια) μη΄.




πολλ(α)πλασίασον δὲ τὰς ια΄ ἡμέρας μετὰ τῶν κβ΄ ἡμερῶν, ἐν αἷς ἑκάστη ἀποσωθήσεται, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς σμβ΄. ἕνωσον δὲ τὰς ια΄ ἡμέρας τῆς βραδυτέρας νηὼς μετὰ τῶν κβ΄ ἡμερῶν τῆς

---

16 ὑπέρθεσιν] sic C 22 ἐπὶ ... τὴν ἐναντίαν] sc. ὁδὸν 23 κινῶνται] pro κινοῦνται C καιρὸν] κερὸν C 27/28 ἐν πόσες] ἐμπόσες C 32 apud divisionem dextram: ϐ] α C

ταχυτέρας καὶ γίνονται ὁμοῦ ἡμέραι λγ΄. μέρισον τὰ σμβ΄ μετὰ τῶν λγ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ζ΄ καὶ ια΄ τριακοστὰ τρίτα, τουτέστι ζ΄ καὶ $\frac{\alpha}{\gamma}$. καὶ ἰδοὺ εὗρες, ὅτι ἐν ἡμέραις ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς νυχθημέρου, ὅπερ ἐστὶ ὧραι η΄, ἑνωθήσονται αἱ νῆαι.

Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, πολλ(α)πλασίασον τὰ || ϛς΄ μίλ(ια), ἅπερ ποιεῖται ἑκάστην ἡμέραν ἡ ταχυτέρα, μετὰ τοῦ $\frac{\alpha}{\gamma}$ τῶν ζ΄ ἡμερῶν καὶ $\frac{\alpha}{\gamma}$. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν ϛς΄ μιλ(ίων) ἐστὶ λβ΄· τρὶς γὰρ λβ΄ ϛς΄ γίνονται. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ϛς΄ μίλ(ια) καὶ μετὰ τῶν ζ΄ ἡμερῶν· ζ΄κις οὖν ϛς΄ γίνονται χοβ΄. ἕνωσον τὰ λβ΄ μετὰ τῶν χοβ΄ καὶ γίνονται ὁμοῦ ψδ΄. καὶ ἰδοὺ ἐν ἡμέραις ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἐποιήσατο ἡ ταχυτέρα ναῦς μίλ(ια) ψδ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ μη΄ μίλ(ια), ἅπερ ποιεῖται ἑκάστην ἡμέραν ἡ βραδυτέρα, μετὰ τοῦ $\frac{\alpha}{\gamma}$. τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῶν μη΄ μιλ(ίων) ἐστὶ ις΄· τρὶς γὰρ ις΄ μη΄ γίνονται. πολλ(α)πλασίασον δὲ πάλιν τὰ μη΄ μίλ(ια) καὶ μετὰ τῶν ζ΄ ἡμερῶν· ζ΄κις οὖν μη΄ γίνονται τλς΄. ἕνωσον τὰ ις΄ μετὰ τῶν τλς΄ καὶ γίνονται ὁμοῦ τνβ΄. καὶ ἰδοὺ ἐν ἡμέραις ζ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἐποιήσατο ἡ βραδυτέρα ναῦς μίλ(ια) τνβ΄. ἕνωσον τὰ ψδ΄ μίλ(ια) μετὰ τῶν τνβ΄ καὶ γίνονται ὁμοῦ πάλιν μίλ(ια) ,ανς΄ ὡς τὸ πρότερον. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἀληθῶς ἑνώθησαν αἱ νῆαι ἐν ἡμέραις ζ΄ καὶ $\frac{\alpha}{\gamma}$, ὅπερ ἐστὶ ὧραι η΄.




ψ δ
τνβ
ὁμοῦ ,ανς

f. 40r

ξη Περὶ τῶν ἀπὸ μιᾶς πόλεως ὡς ἐν ταὐτῷ κινηθέντων δύο νηῶν ταχυτέρας τε οὔσης καὶ βραδυτέρας, ἐν [μ]πόσες ἡμέρες ἑκάστη ἀποσωθήσεται

Δύο τινὲς νῆαι ὡς ἐν ταὐτῷ ἐκ μιᾶς πόλεως κινηθεῖσαι – ἡ μὲν ταχυτέρως ὁδεύουσα πορεύεται ἑκάστην μὲν ὥραν μίλ(ια) ϛ΄, τὸ δὲ νυχθήμερον ποιεῖται μίλ(ια) ρμδ΄· ϛ΄κις γὰρ κδ΄ ρμδ΄ γίνονται. ἡ δὲ μὴ δυναμένη οὕτως κινεῖσθαι αἰτίας εὐλόγου κωλούσης αὐτὴ πορεύεται ἑκάστην μὲν ὥρ(αν) μίλ(ια) ε΄, τὸ δὲ νυχθήμερον ποιεῖται μίλ(ια) ρκ΄· ε΄κις γὰρ κδ΄ ρκ΄ γίνονται. ζητεῖς δὲ εἰδέναι, ἐν πόσες ἡμέρες ἑκάστη τούτων οὕτως ὁδεύουσα ἀποσωθήσεται καὶ ἀποπληρώσει ὁδὸν ὡσεὶ μιλ(ί)ων ,ατ΄.

Μέρισον τὰ ,ατ΄ μίλ(ια) μετὰ τῶν ρμδ΄ μιλίων, ὧν ποιεῖται ἑκάστην ἡμέραν ἡ ταχυτέρως πορευομένη ναῦς, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς θ΄, ἀπομένοσι καὶ μίλ(ια) δ΄ τζάκισμα. τὰ δὲ δ΄ μίλ(ιά) ἐστι $\frac{\beta}{\gamma}$ τῶν ϛ΄ μιλίων, ὧν κινεῖται ἑκάστην ὥραν ἡ ταχυτέρως ὁδεύουσα ναῦς. ἐστὶ δὲ λοιπόν, τὰ δ΄ μίλ(ια) τὸ τζάκισμα, κίνημαν $\frac{\beta}{\gamma}$ μιᾶς ὥρας. καὶ ἰδοὺ εὗρες, ὅτι ἐν ἡμέραις θ΄ καὶ $\frac{\beta}{\gamma}$ μιᾶς ὥρας ἀποσωθήσεται καὶ ἀποπληρώσει τὸ τῶν ,ατ΄ διάστημα ἡ ἑκάστην ἡμέραν ὁδεύουσα μίλ(ια) ρμδ΄. μέρισον πάλιν τὰ ,ατ΄ μίλ(ια) μετὰ τῶν ρκ΄ μιλίων, ὧν ποιεῖται ἑκάστην ἡμέραν ἡ βραδυτέρως ὁδεύουσα ναῦς, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς ι΄, ἀπομένοσι καὶ τζάκισμα μίλ(ια) ρ΄. ἐπεὶ δὲ ἑκάστην ὥρ(αν) κινεῖται ἡ βραδυτέρως ὁδεύουσα μίλ(ια) ε΄, τὰ ρ΄ μίλ(ια) τὸ τζάκισμά ἐστι κ΄ ὡρῶν κίνημαν· ὧραι γὰρ κ΄ ε΄κις γίνονται μίλ(ια) ρ΄. καὶ ἄλλως. τὰ ρ΄ μίλ(ια) τὸ τζάκισμα πρὸς τὰ ρκ΄ τὸν μεριστὴν συγκρινόμενά ἐστι $\frac{\varepsilon}{\varsigma}$, τὰ δὲ $\frac{\varepsilon}{\varsigma}$ τῶν κδ΄ ὡρῶν ἐστι ὧραι κ΄· ε΄κις γὰρ δ΄ γίνονται κ΄ καὶ ϛ΄κις δ΄ γίνονται κδ΄. καὶ ἰδοὺ εὗρες, ὅτι ἐν ἡμέραις ι΄ καὶ ὧρες



---

19 κινηθέντων ... νηῶν **sic C** 20 ἐν [μ]πόσες ἡμέρες] ἐν μπόσες ἡμέραις **C** 21 τινὲς] τιναὶ **C** 23 κωλούσης] **sic C pro** κωλυούσης 25 ἐν πόσες] ἐμπόσες **C**


κ΄ ἀποσωθήσεται καὶ ἀποπληρώσει τὸ τῶν ,ατ΄ μιλ(ίων) διάστημα ἡ ἑκάστην ἡμέραν ὁδεύουσα μίλ(ια) ρκ΄ .
ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον διὰ τῆς ὁμοίας μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ξθ


Περὶ τῶν ἀπὸ μιᾶς πόλεως κινηθέντων δύο νηῶν, οὐχ ὡς ἐν ταὐτῷ ἐν μιᾷ ἡμέρᾳ, ἀλλ᾽ ἡ μὲν πρὸ ἡμερῶν, ἡ δὲ μετὰ ἡμέρας τινάς, ἐν [μ]πόσες δὲ ἡμέρες ἑνωθήσονται καὶ ἐν πόσες ἑκάστη ἀποπληρώσει τῷ διαστήματι

Δύο τινὲς νῆαι ἔχοσι ποιῆσαι ὁδοιπορίαν τινὰ διαστήματος μιλίων ,αφ΄. καὶ ἡ μὲν ἀπεδήμησεν πρὸ ἡμερῶν β΄, μὴ οὖσα δὲ ταχείας κινήσεως κινεῖται μὲν ἑκάστην ὥρ(αν) μίλια ε΄, τὸ δὲ νυχθήμερον ρκ΄. μετὰ δὲ τῶν β΄ ἡμερῶν ἀπεδήμησεν καὶ ἡ ἑτέρα, ἥτις ταχυτέρα οὖσα κινεῖται μὲν ἑκάστην ὥρ(αν) μίλια ζ΄, τὸ δὲ νυχθήμερον ρξη΄. ζητεῖς δὲ εἰδέναι, ἐν πόσες ἡμέρες καὶ μίλ(ια) ἑνωθήσονται καὶ ἐν πόσες ἀποσωθήσεται ἑκάστη τούτων τὸ τῶν ,αφ΄ διάστημα.

Πολλ(α)πλασίασον ι΄ ἡμερῶν κίνημα τῆς πρὸ β΄ ἡμερῶν ἀποδημησάσης νηώς, ἥτις κινεῖται τὸ νυχθήμερον μίλι(α) ρκ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ασ΄. πολλ(α)πλασίασον δὲ καὶ η΄ ἡμερῶν κίνημα τῆς μετὰ β΄ ἡμέρας ἀποδημησάσης νηώς, ἥτις κινεῖται τὸ νυχθήμερον μίλ(ια) ρξη΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ατμδ΄. προέβη δὲ ἡ μετὰ β΄ ἡμέρας ἀποδημήσασα μίλ(ια) ρμδ΄. ἄφελε τὰ ρκ΄ μίλ(ια) ἐκ τῶν ρξη΄ καὶ ἀπομένοσι μίλ(ια) μη΄. μέρισον τὰ ρμδ΄ μετὰ τῶν μη΄ καὶ γίνεται ὁ τούτων δι(α)μερισμὸς γ΄. καὶ ἰδοὺ πρὸ γ΄ ἡμερῶν τῶν ι΄ ἐγένετο ἡ σύνοδος τούτων. ἄφελε γὰρ γ΄ ἐκ τῶν ι΄ ἡμερῶν καὶ ἀπομένοσι ζ΄. ἄφελε γ΄ ἐκ τῶν η΄ ἡμερῶν καὶ ἀπομένοσι ε΄. ὅτε δὲ ἡ μὲν εἶχε ὁδοιπόρους ἡμέρας ζ΄, ἡ δὲ ε΄, κατέλαβε ἡ μετὰ β΄ ἡμέρας ἀποδημήσασα τὴν προεξελθοῦσαν ἡμέρας β΄.




Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί, πολλ(α)πλασίασον τὰ ρκ΄ μίλ(ια) μετὰ τῶν ζ΄ ἡμερῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ωμ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ ρξη΄ μίλ(ια) μετὰ τῶν ε΄ ἡμερῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ωμ΄. εὗρες οὖν, ἐν πόσες ἡμέρες ἑνώθησαν καὶ πόσα μίλ(ια) ἐποιήσαντο. ἐπεὶ δὲ ζητεῖς εἰδέναι, καὶ ἐν πόσες ἡμέρες ἑκάστη ἀπο-



---

5 **ad titulum huius capitis in dextro marg. fol. 40^{r} scriptum:** τὸ παρὸν χρήσιμον, τὸ δὲ πρῶτον ἄχρηστον **7.13 (bis)** ἐν πόσες] ἐμποσες **C** 9 τινὲς] τιναὶ **C**
14 post διάστημα **in dextro marg. fol. 40^{r}:** πολλ(α)πλασίασον τὰς β΄ ἡμέρας μετὰ τῶν ρκ΄ μιλί(ων)· δὶς οὖν ρκ΄ γίνονται σμ΄. ἄφ(ε)λ(ε) τὰ ρκ΄ μίλ(ια) ἐκ τῶν ρξη΄ καὶ ἀπομένοσι μίλι(α) μη΄. μέρισον τὰ σμ΄ μετὰ τῶν μη΄ καὶ γίνεται ὁ τούτων μερισμὸς ε΄· ἐν ἡμέραις οὖν ε΄ ἑνωθήσεται ἡ μετὰ β΄ ἡμέρας ἀποδημήσασα ναῦς τὴν πρὸ β΄ ἡμερῶν ἀποδημήσασα(ν).

Ultima divisio vitosa hoc modo corrigenda est:



σωθήσεται τῶν ,αφ΄ μιλίων τὸ διάστημα, μέρισον τὰ ,αφ΄ μίλ(ια) μετὰ τῶν ρκ΄ μιλ(ίων) τῆς βραδυτέρας νηὸς καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιβ΄ς″· ἐν ἡμέρες οὖν ιβ΄ς″ ἐποιήσατο τὰ ,αφ΄ μίλ(ια) ἡ ἑκάστην ἡμέραν ὁδεύουσα μίλ(ια) ρκ΄. μέρισον πάλιν τὰ ,αφ΄ μίλ(ια) μετὰ τῶν ρξη΄ μιλ(ί)ων τῆς ταχυτέρας νηὸς καὶ γίνεται ὁ τούτων διαμερισμὸς η΄, ἀπομένει τζάκισμα μίλι(α) ξς΄. ‖ ἐπεὶ οὖν ἑκάστην ὥρ(αν) κινεῖται μίλ(ια) ζ΄, ὡς εἴπομεν, τὰ ξς΄ μίλ(ια) τὸ τζάκισμά ἐστι κίνησις ταύτης ὡρῶν θ΄ς″ ἔγγιστα· ζ΄κις γὰρ θ΄ γίνονται ξγ΄, τὰ δὲ ἐναπομένοντα γ΄ ἐστὶ ἔγγιστα μισὸν τῶν ζ΄. ἐν ἡμέραις οὖν η΄ καὶ ὥρας θ΄ς″ ἔγγιστα ἐποιήσατο τὰ ,αφ΄ μίλ(ια) ἡ ἑκάστην ἡμέραν ὁδεύουσα μίλ(ια) ρξη΄. f. 40v


ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

Περὶ τῶν δύο ἀν(θρώπ)ων τῶν ἀνωμάλως κινουμένων, μέρος μὲν τῆς ἡμέρας πορευομένων ἐπὶ τὰ ἔμπροσθεν καὶ μέρος αὐτῆς ἐπιστρεφόντων ἐπὶ τὰ ὄπισθεν· ἐν πόσες ἡμέρες ἑνωθήσονται καὶ ἐν πόσες ἕκαστος αὐτῶν περαιώσει τῷ διαστήματι οὕτως ὁδεύων;

Δύο τινὲς συνέθεντο· ὁ μὲν ἑκάστην ἡμέραν κινεῖσθαι μὲν κατ᾽ εὐθεῖαν ἔμπροσθεν πορευόμενος διάστημα ἑνὸς μιλ(ίου) $\frac{\alpha}{\delta}$, ἐπιστρέφειν δὲ πάλιν κατ᾽ αὐτὴν τὴν ἡμέραν ὀπισθορμήτως οὐ τὸ $\frac{\alpha}{\delta}$, ὅπερ ἐκεῖ μὲν ὁδεύων ἔμπροσθεν πορευόμενος, ἀλλὰ $\frac{\alpha}{\varepsilon}$ τοῦ ἑνὸς μιλ(ίου), ὁ δὲ πάλιν κινεῖσθαι μέρος μὲν τῆς ἡμέρας κατ᾽ εὐθεῖαν ἔμπροσθεν πορευόμενος διάστημα ἑνὸς μιλ(ίου) $\frac{\alpha}{\gamma}$, ἐπιστρέφειν δὲ πάλιν κατ᾽ αὐτὴν τὴν ἡμέραν οὐ τὸ $\frac{\alpha}{\gamma}$, ὅπερ ἐκεῖ μὲν ὁδεύων ἔμπροσθεν πορευόμενος, ἀλλὰ $\frac{\alpha}{\delta}$ τοῦ ἑνὸς μιλ(ίου). ἔστι δὲ τὸ καθόλου διάστημα, ὅπερ συνέθεντο οὕτως ὁδεύειν, ὡσεὶ μίλι(α) μ΄. οὐκ ἀπὸ μιᾶς δὲ ἀρχῆς οὕτως ἀρξάμενοι, ἀλλ᾽ ὁ μὲν ἐκ τῆς ἀρχῆς, ὁ δὲ ἀπὸ τοῦ τέλους τῶν μ΄ μιλίων ἀρξάμενοι, ὁ μὲν ὑπάγειν, ὁ δὲ ἔρχεσθαι πρὸς τὸ συναντῆσαι ἀλλήλ[λ]ων. ζητεῖς εἰδέναι, ἐν πόσες ἡμέρες ἑνωθήσονται οὕτως ὁδεύοντες καὶ ἐν πόσες ἡμέρες ἀποπληρώσει ἕκαστος αὐτῶν τὰ μ΄ μίλ(ια).

τοῦτο δὲ πάνυ ἄχρηστον· οὔτε γὰρ πώποτε γέγονε οὔτε μὴν τοιοῦτόν τι γενήσεται πώποτε οὔτ᾽ ἐπ᾽ ἀν(θρωπ)ων οὔτε ἐπ᾽ ἄλλης τινὸς ὁμοίας ζητήσεως. ὡς ποικίλον δ᾽ ὅμως καὶ δυσχ<ερ>έστερον ζήτημαν τῶν προειρημένων διὰ τῆς προχείρου μεταχειρίσεως καὶ τοῦτο ῥᾳδίως εὑρίσκεται.

Πολλ(α)πλασίασον τὸ $\frac{\alpha}{\delta}$ μετὰ τοῦ $\frac{\alpha}{\varepsilon}$· δ΄κις οὖν ε΄ γίνονται κ΄. ἐν ἡμέρες οὖν κ΄ ποιεῖται τὸ διάστημα τοῦ ἑνὸς μιλ(ίου) ὁ πορευόμενος $\frac{\alpha}{\delta}$ καὶ ἐπιστρέφων ὀπισθορμήτως $\frac{\alpha}{\varepsilon}$. πολλ(α)πλασίασον δὲ τὰ μ΄ μίλ(ια), τὸ καθόλου διάστημα δηλονότι, μετὰ τῶν κ΄ ἡμερῶν, ὧν εἴπομεν, ὅτι ποιεῖται ἕκαστ(ο)ν μίλ(ιον), καὶ γίνεται ὁ τούτων πολλ(α)πλσιασμὸς ω΄. καὶ ἰδοὺ ἐν ἡμέρες ω΄ οὕτως ὁδεύων ἀποπληρώσει τὰ μ΄ μίλι(α). πολλ(α)πλασίασον δὲ πάλιν τὸ $\frac{\alpha}{\gamma}$ μετὰ τοῦ $\frac{\alpha}{\delta}$· τρεῖς οὖν δ΄κις γίνονται ιβ΄. ἐν ἡμέρες οὖν ιβ΄ ποιεῖται τὸ διάστημα τοῦ ἑνὸς μιλί(ου) ὁ πορευόμενος $\frac{\alpha}{\gamma}$ καὶ ἐπιστρέφων ὀπισθορμήτως $\frac{\alpha}{\delta}$. πολλ(α)πλασίασον δὲ πάλιν




5–8 **sequitur solutio falsa (cf. p. 90):** 5.6 ξς΄] **lege** ρνς΄ 6.8 θ΄ς″] **lege** κβ΄ καὶ $\frac{\alpha}{\delta}$ 7 θ΄] **lege** κβ΄ ξγ΄] **lege** ρνδ΄ γ΄ **lege** β΄ μισὸν] **lege** $\frac{\alpha}{\delta}$

28 οὔτ᾽ ἐπ᾽ ἀν(θρώπ)ων] οὐτε πᾶνῶν **C**


36/37 ἐν ἡμέρες ω΄ ... ἀποπληρώσει τὰ μ΄ μίλ(ια)] **In hoc capite viris postremo die iam non regrediendum esse neglegitur.**

τὰ μ΄ μίλια μετὰ τῶν ιβ΄ ἡμερῶν, ὧν ποιεῖται ἑκάστην ἡμέραν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς υπ΄. καὶ ἰδοὺ ἐν ἡμέρες υπ΄ οὕτως ὁδεύων ἀποπληρώσει τὰ μ΄ μίλια.



Πολλ(α)πλασίασον δὲ πάλιν τὰς ω΄ ἡμέρας μετὰ τῶν υπ΄ ἡμερῶν καὶ γίνεται ὁ παρὼν πολλ(α)πλασιασμὸς γ η δ υ υ υ΄. ἕνωσον δὲ τὰς ω΄ ἡμέρας μετὰ τῶν υπ΄ καὶ γίνονται ὁμοῦ α β η υ΄. μέρισον τὰ γ η δ υ υ υ΄ μετὰ τῶν α β η υ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τ΄. καὶ ἰδοὺ ἐν ἡμέραις τ΄ οὕτως ὁδεύοντες ἑνωθήσονται οἱ δύο ὡς ἐν ταὐτῷ.

Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστὶ καὶ πόσα μίλι(α) ἕκαστος αὐτῶν ἐποιήσατο, ὅτε συνῆλθον ὁμοῦ, μέρισον τὰς τ΄ ἡμέρας μετὰ τῶν κ΄ ἡμερῶν, ὧν εἴπομεν, ὅτι ἐν ἡμέραις κ΄ ποιεῖται οὕτως ὁδεύων τὸ ἕνα μίλ(ιον), καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιε΄. καὶ ἰδοὺ τὰς τ΄ ἡμέρας οὕτως ὁδεύων ἐποιήσατο μίλ(ια) ιε΄. μέρισον πάλ(ιν) τὰς τ΄ ἡμέρας μετὰ τῶν ιβ΄ ἡμερῶν, ὧν εἴπομεν, ὅτι ἐν ἡμέρες ιβ΄ οὕτως ὁδεύων ὁ ἕτερος ποιεῖται τὸ ἕνα μίλι(ον), καὶ γίνεται ὁ τούτων διαμερισμὸς κε΄. καὶ ἰδοὺ τὰς τ΄ ἡμέρας οὕτως ὁδεύων ἐποιήσατο ὁ ἕτερος μίλ(ια) κε΄. ἕνωσον τὰ ιε΄ μίλ(ια), ἅπερ ἐποιήσατο ὁ ἐν κ΄ ἡμέραις ποιούμενος μίλ(ιον) ἕν, μετὰ τῶν κε΄ μιλίων τοῦ ἐν ιβ΄ ἡμέραις ποιουμένου μίλ(ιον) ἕν· ιε΄ οὖν καὶ κε΄ ὁμοῦ γίνονται μ΄. καὶ ἰδοὺ εὗρες, καὶ πόσα μίλ(ια) ἐποιήσατο ἕκαστος αὐτῶν, ὅτε ἐνώθησαν – ὁ μὲν ιε΄, ὁ δὲ κε΄, ἃ καὶ ἑνώσας ἐγένοντο μ΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.



ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

οα Περὶ τοῦ πῶς τὰ ἐφεξῆς ῥηθησόμενα ζητήματα τῶν πρακτικῶν καὶ πολ(ι)τευομένων ἐστί, διὸ καὶ χρησιμώτερα τῶν προρ<ρ>ηθέντων εἰσί

Πανθ' ὅσαπερ ζητήματα μέχρι τοῦ νῦν γεγράφαμεν καλὰ μὲν καὶ ἀναγκαῖα καὶ χρήσιμα· οὐδὲ γὰρ ἐκτὸς λόγων τε ὄντα καὶ ζητημάτων ἐκεῖ ἐγεγράφεσαν, ἀλλὰ πάντα καὶ λόγου εἰσὶ ἄξια καὶ χρησεώς τε οὐκ ἄμοιρα. ἀλλ' ἔστιν ὅτε καὶ ζητηθήσονται καὶ ἀναγκαῖα φανήσεται ἡ τούτων κατάληψις· οὐδὲ γάρ τι τῶν μὴ ζητουμένων χρήσιμον πώποτε. τὸ δὲ ἐπιζητούμενον μέγιστον δόξει, κἂν ἐλάχιστον μᾶλλον εἶναι δοκεῖ, ὡς καὶ τὰ προρ<ρ>ηθέντα μικρὰ μὲν εἶναι δοκῶσι ὡς μὴ ζητούμενα. ὅτε δὲ ἐν χρήσει τούτων γενήμεθα, καὶ ἀναγκαία καὶ χρήσιμος ἡ πρόχειρος τούτων κατάληψις ἡμῖν εὑρεθήσεται. ἄλλως τε δὲ συνεγραψάμεθα ταῦτα γυμνασίας χάριν πρὸς τὸ γενέσθαι ταῦτα διδάσκαλός τε καὶ ὁδηγὸς τῶν ἐφεξῆς ῥηθησομένων ζητημάτων, πολλῷ τούτων ὄντα ἀναγκαιότερα, ὡς ἂν ἀπονεστέρα γένηται ἡ κατάληψις τούτων διὰ τῶν προλαβόντων ‖ ὑποδειγμάτων. τὴν πεῖραν τῶν πολλ(α)πλασιαζομένων τε καὶ διαμεριζομένων ζητημάτων καλῶς ἐξασκήσας καὶ γενόμενος πρόχειρος πρὸς τὸ καὶ τὰ ἐφεξῆς ῥηθησόμενα καλῶς δέξασθαι καὶ κατανοῆσαι καὶ χρήσασθαι, ἐπάν σοι γένηται τῶν τοιούτων ἐπάναγκες ζήτημαν. ἅπερ δὲ νῦν ἐρεῖν μέλομεν, ἔστι διάφορά τε καὶ ποικίλα ζητήματα, δι' ὧν ἐν τῷ βίῳ αἱ πολιτευόμεναι πράξεις τῶν μεταδόσεών τε καὶ f. 41r

---

5 ὁ παρὼν] απαρὸν **C** 34 γενήμεθα] **sc.** γεγενήμεθα 39 ἐξασκήσας] ἐξάσχισας **C**

συναλλαγμάτων γίνονται· πωλεῖν γὰρ καὶ ἀγοράζειν καὶ πραγματείας ἐπιζητεῖν ἀριθμοὺς, διὰ τούτων πάντων συνίστανται καὶ προχείρως διὰ τῆς δηλωθησομένης μεταχειρίσεως γίνονται. τοιαῦτα οὖν ὄντα καὶ ἀναγκαῖα καὶ χρήσιμα – νῦν ὅτε μάλιστα προχείρως γέγονας πρὸς τὸ δέξασθαι ταῦτα ἀπονεστέρως – ἐροῦμεν πάντα ἐντεῦθεν ἀρξάμενοι.

οβ Περὶ τοῦ πῶς ἔστι εἰδέναι, ὅσα ἂν φλουριὰ ζητῇς, πόσα ὑπέρπυρα γίνονται – πρόχειρος καὶ ῥᾳδία εὕρεσις

Ἔστω ὅτι ζητεῖς εἰδέναι φλουριὰ ρλα΄, πόσα ὑπέρπυρα γίνονται· ἕκαστον δὲ φλουρὶ ἔστω ὅτι χρῄζει ὑπέρπυρα ζ΄. ἐπεὶ δὲ τὰ ζ΄ ὑπέρπυρά ἐστι ἀκέραια ἐξόλου μὴ ἔχοντα κουκκιά τινα, πολλ(α)πλασίασον τὰ ρλα΄ φλουριὰ μετὰ τῶν ζ΄ ὑπερπύρων, ὧν χρῄζει ἕκαστον φλουρί, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ⩾ιζ΄. καὶ ἰδοὺ τὰ ρλα΄ φλουριά – ἕκαστον ἀνὰ ὑπέρπυρα ζ΄ – γίνονται ὑπέρπυρα ⩾ιζ΄. καὶ ταῦ<τα> μὲν οὕτως, ὁπηνίκα ἕκαστον φλουρὶ χρῄζει ὑπέρπυρα ἀκέραια, τουτέστι ς΄ ἢ ζ΄ ἢ η΄. ὁπηνίκα δὲ ἕκαστον φλουρὶ χρῄζει μὲν ὑπέρπυρα ς΄ ἢ ὑπέρπυρα ζ΄, ἔστι δὲ ἡ τιμὴ τούτου καὶ μετὰ κουκκιῶν τινων μεμειγμένη, τουτέστι ἕκαστον φλουρὶ ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄ ἢ πάλιν ἕκαστον φλουρὶ ὑπέρπυρα ζ΄ κουκκιὰ ια΄ καὶ ἑξῆς ὁμοίως, ὁ τούτων πολλ(α)πλασιασμὸς γίνεται οὕτως.

α	γ	α
ϑ	α	ζ ⌋ ζ

Ἔστω ὅτι φλουριὰ ρκγ΄, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄, ζητεῖς εἰδέναι, πόσα ὑπέρπυρα γίνονται. ζήτει φλουριὰ ι΄, πόσα ὑπέρπυρα γίνονται· ι΄κις οὖν ὑπέρπυρα ζ΄ γίνονται ὑπέρπυρα ο΄ καὶ ι΄κις κουκκιὰ ς΄ γίνονται κουκκιὰ ξ΄, ἅπερ ἐστὶ ὑπέρπυρα γ΄. καὶ ἰδοὺ τὰ ι΄ φλουριὰ γίνονται ὑπέρπυρα ογ΄. πολλ(α)πλασίασον δὲ τὰ ρκγ΄ φλουριὰ μετὰ τῶν ογ΄ ὑπερπύρων, ὧν ἐποίησαν τὰ ι΄ φλουριά, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ηⷪοθ΄. ἐπεὶ οὖν δεκάδαν φλουρὶ ἐπολλ(α)πλασίασας, τουτέστι ὑπέρπυρα ογ΄, κόψε ἕνα γράμμα καὶ ἀπομένοσι γράμματα τρία, ἅπερ δηλῶσι ὑπέρπυρα ωϛζ΄. τὸ δὲ ἓν γράμμα, ὅπερ ἔκοψας, ἐστὶ ὑπέρπυρα ϑ΄, τὰ δὲ ϑ΄ ὑπέρπυρά ἐστι κουκκιὰ ρπ΄. κόψε πάλιν γράμμα ἓν καὶ ἀπομένοσι τὰ παρόντα δύο γράμματα α η΄, ἅπερ δηλῶσι κουκκιὰ ιη΄. καὶ ἰδοὺ τὰ ρκγ΄ φλουριά, ἕκαστον αὐτῶν εἰς ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄, γίνονται ὑπέρπυρα ωϛζ΄ κουκκιὰ ιη΄.

	α	β	γ
	γ	ς	ϑ ⌋ γ
η	ς	α	⌋ ζ
‖ η	ϑ	ζ	⌋ ϑ
⋮	α	η	⌋ ψ

Ἔστω δὲ πάλιν ὅτι φλουριὰ ,αρια΄, ἕκαστον αὐτῶν ἀνὰ ὑπέρπυρα ζ΄ κουκκιὰ ια΄, ζητεῖς εἰδέναι, πόσα ὑπέρπυρα γίνονται. ζήτει φλουριὰ ι΄, πόσα ὑπέρπυρα γίνονται· ι΄κις οὖν ὑπέρπυρα ζ΄ γίνονται ὑπέρπυρα ο΄, ι΄κις δὲ κουκκιὰ ια΄ γίνονται κουκκιὰ ρι΄, ἅπερ ἐστὶ ὑπέρπυρα ε΄ κουκκιὰ ι΄. ἐπεὶ δὲ τὰ ι΄ φλουριὰ γίνονται ὑπέρπυρα οε΄ κουκκιὰ ι΄ καὶ οὐκ ἔχεις δι᾽ αὐτῶν καλῶς πολλ(α)πλασιάσαι τὰ ,αρια΄ φλουριά, ζήτει φλουριὰ ρ΄, πόσα ὑπέρπυρα γίνονται· ρ΄κις οὖν ὑπέρπυρα ζ΄ γίνονται ὑπέρπυρα ψ΄, ρ΄κις δὲ κουκκιὰ ια΄ γίνονται κουκκιὰ ,αρ΄, ἅπερ ἐστὶ ὑπέρπυρα νε΄. καὶ ἰδοὺ

---

2 συνίστανται] σηνήσθανται **C**

6 **Haec verba in inf. marg. fol. 41^{r} scripta ad initium huius capitis pertinere videntur**: γίνωσκε, ὅτι καὶ τὸ παρὸν ζήτημα διὰ τοῦ κανόνος γίνεται τοῦ διὰ τῶν τριῶν, ὥσπερ εἴπομεν καὶ ἐπὶ τῶν ἔμπροσθεν καντ(α)ρίων καὶ ῥετούλων, τουτέστι ἐὰν τὰ αμ΄ φλουριὰ γίνωνται ὑπέρπυρα ζγ΄, τὰ αβγ΄ φλουριὰ πόσα ὑπέρπυρα γίνονται, καὶ ἐὰν τὰ αμμ΄ φλουριὰ γίνωνται ὑπέρπυρα ζεε΄, τὰ αααα΄ φλουριὰ πόσα ὑπέρπυρα γίνονται, καὶ ἑξῆς ὁμοίως ἐπὶ τῶν ἄλλων.

τὰ ρ΄ φλουριὰ γίνονται ὑπέρπυρα ψνε΄. πολλ(α)πλασίασον δὲ τὰ ,αρια΄ φλουριὰ μετὰ τῶν ψνε΄ ὑπερπύρων, ὧν ἐποίησαν τὰ ρ΄ φλουριά, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἓξ γράμματα η γ η η ι ε΄. ἐπεὶ οὖν ἑκατοντάδα φλουριὰ ἐπολλ(α)πλασίασας, τουτέστι ὑπέρπυρα ψνε΄, κόψε δύο γράμματα καὶ ἀπομένοσι τὰ παρόντα τέσσερα γράμματα η γ η η΄, ἅπερ δηλῶσι ὑπέρπυρα ,ητπη΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα ι ε΄, ἐπεὶ τὸ πρῶτόν ἐστι ι΄, τὸ δεύτερόν ἐστι ὑπέρπυρα ε΄, τουτέστι κουκκιὰ ρ΄ – καθὼς οὖν καὶ ἐπὶ τῶν ὑπερπύρων ἔκοψας δύο γράμματα, οὕτως καὶ νῦν ἐπὶ τῶν κουκκιῶν κόψε δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ κουκκὶ α΄. καὶ ἰδοὺ τὰ ,αρια΄ φλουριά, ἕκαστον αὐτῶν εἰς ὑπέρπυρα ζ΄ κουκκιὰ ια΄, γίνονται ὑπέρπυρα ,ητπη΄ κουκκὶ α΄.

φ α α α α
ε ε ε ε | ε
ε ε ε ε | ε
ζ ζ ζ ζ | ζ φ ρ ∥ ψνε
∥ η γ η η | ι ε
⁝ α | ι ι

῞Οτε οὖν πάλιν οὐκ ἔχεις καλῶς πολλ(α)πλασιάσαι μετὰ τῶν ι΄ φλουριῶν τὰ ὑπέρπυρα ἢ καὶ μετὰ τῶν ρ΄ φλουριῶν τὰ ὑπέρπυρα διὰ τὸ ἔχειν καὶ κουκκιά τινα, ζήτει φλουριὰ ,α΄, ὑπέρπυρα πόσα ἐστί, καὶ πολλ(α)πλασίασον, ὅσα ἂν ζητῇς φλουριὰ ποιῆσαι ταῦτα ὑπέρπυρα, μετὰ τῶν ,α΄ φλουριῶν τὰ ὑπέρπυρα, καὶ ἐκ τὸν γεγονότα πολλ(α)πλασιασμόν, ἐπεὶ φλουριὰ ,α΄ ὑπέρπυρα ἐπολλ(α)πλασίασας, κόψε τρία γράμματα, καὶ τὰ ἐναπομένοντα γράμματα – ὅσα δηλῶσι, τόσα ὑπέρπυρα γίνονται τὰ φλουριά, ἅπερ ζητεῖς ποιῆσαι ὑπέρπυρα. τὰ δὲ τρία γράμματα, ἅπερ ἔκοψας, εἰσὶ ὑπέρπυρα. ὅσα οὖν ὑπέρπυρα δηλῶσι τὰ τρία γράμματα, ἅπερ ἔκοψας, ποίησον ταῦτα τὰ ὑπέρπυρα, ὅσα κουκκιὰ ἐνδέχεσθαι γενέσθαι, καὶ κόψε πάλιν καὶ ἀπὸ τῶν κουκκιῶν τρία γράμματα ὥσπερ καὶ ἐπὶ τῶν ὑπερπύρων, καὶ τὰ ἐναπομέν<ον>τα – ὅσα δηλῶσι, τοσαῦτα κουκκιὰ ἔχοσι ἔτι πλέον τῶν ὑπερπύρων τὰ φλουριά, ἅπερ ζητεῖς ποιῆσαι ὑπέρπυρα.


῞Ινα δὲ γένηταί σοι τοῦτο σαφέστερον· τὰ ,α΄ φλουριά – ,α΄κις ὑπέρπυρα ζ΄ γίνονται ὑπέρπυρα ,ζ΄, ,α΄κις δὲ κουκκιὰ ια΄ γίνονται ,ι,α΄ κουκκιά, ἅπερ ἐστὶ ὑπέρπυρα φν΄. καὶ ἰδοὺ τὰ ,α΄ φλουριὰ γίνονται ὑπέρπυρα ,ζφν΄, ἕκαστον αὐτῶν ἀνὰ ὑπέρπυρα ζ΄ κουκκιὰ ια΄. πολλ(α)πλασίασον δὲ πάλιν τὰ ,αρια΄ φλουριὰ μετὰ τῶν ,ζφν΄ ὑπερπύρων, ὧν ἐποίησαν τὰ ,α΄ φλουριά, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἑπτὰ γράμματα η γ η η ι ε ι΄. ἐπεὶ οὖν ,α΄ φλουριὰ ἐπολλ(α)πλασίασας, τουτέστι ὑπέρπυρα ,ζφν΄, κόψε τρία γράμματα καὶ ἀπομένοσι τὰ παρόντα τέσσερα γράμματα η γ η η΄, ἅπερ δηλῶσι ὑπέρπυρα ,ητπη΄. τὰ δὲ τρία γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα ι ε ι΄ – τὸ μὲν πρῶτόν ἐστι ι΄, τὰ δὲ δύο δηλῶσι ὑπέρπυρα ν΄, τουτέστι κουκκιὰ ,α΄. κόψε οὖν πάλιν τρία γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ κουκκὶ α΄. καὶ ἰδοὺ ‖ καὶ μετὰ τῶν ,α΄ φλουριῶν **f. 41^{v}** τὰ ὑπέρπυρα πολλ(α)πλασιάσας τὰ ,αρια΄ φλουριὰ ἐγένοντο πάλιν ὑπέρπυρα ,ητπη΄ κουκκὶ α΄, ὥσπερ καὶ μετὰ τῶν ρ΄ φλουριῶν τὰ ὑπέρπυρα πολλ(α)πλασιάσας τὰ ,αρια΄ φλουριὰ εὗρες καὶ οὕτως, ὅτι γίνονται πάλιν ὑπέρπυρα ,ητπη΄ κουκκὶ α΄.

φ α α α α
ι ι ι ι | ι
ε ε ε ε | ε
ε ε ε ε | ε
ζ ζ ζ ζ | ζ φ ,α ∥ ,ζφν
∥ η γ η η | ι ε ι
(α)
⁝ α | ι ι ι


῞Εστω δὲ ὅτι καὶ φλουριὰ νγ΄ ζητεῖς εἰδέναι, πόσα ὑπέρπυρα γίνονται, ἕκαστον αὐτῶν ἀνὰ ὑπέρπυρα ζ΄ κουκκιὰ ια΄. εἴπομεν δέ, ὅτι τὰ ρ΄ φλουριὰ γίνονται ὑπέρπυρα

2.7 ψνε΄] ψνς **C** 17 ἐκ τὸν γεγονότα] **sic C**

ψνε΄. θὲς οὖν ἄνωθεν τὰ νγ΄ φλουριά, ἐκ πλαγίου δὲ τὰ ψνε΄ ὑπέρπυρα τῶν ρ΄ φλουριῶν. πολλ(α)πλασίασον δὲ τὰ νγ΄ φλουριὰ μετὰ τῶν ψνε΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα πέντε γράμματα δ υ υ α ε΄. ἐπεὶ δὲ ρ΄ φλουριὰ ὑπέρπυρα πολλ(α)πλασιάζεις, κόψε δύο γράμματα καὶ ἀπομένουσι τὰ παρόντα τρία γράμματα δ υ υ΄, ἅπερ δηλῶσι υ΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα α ε΄ δηλῶσι ὑπέρπυρα ιε΄, ἅπερ ἐστὶ κουκκιὰ τ΄. κόψε καὶ ἐνταῦθα δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα γ΄, ὅπερ δηλοῖ κουκκιὰ γ΄. καὶ ἰδοὺ τὰ νγ΄ φλουριὰ εὗρες, ὅτι γίνονται ὑπέρπυρα υ΄ καὶ κουκκιὰ γ΄.



Καὶ ἄλλως. θὲς ἄνωθεν τὰ ψνε΄ ὑπέρπυρα, ἐκ πλαγίου δὲ τὰ νγ΄ φλουριά. πολλ(α)πλασίασον δὲ τὰ ψνε΄ ὑπέρπυρα μετὰ τῶν νγ΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρογενέστερα πέντε γράμματα. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένουσι τρία γράμματα, ἅπερ δηλῶσι ὑπέρπυρα υ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι ὑπέρπυρα ιε΄, ἅπερ ἐστὶ κουκκιὰ τ΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένουσι κουκκιὰ γ΄. καὶ ἰδοὺ καὶ οὕτως τὰ νγ΄ φλουριὰ γίνονται ὑπέρπυρα υ΄ καὶ κουκκιὰ γ΄.




ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτων ὅμοιον διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ογ Περὶ τοῦ πῶς ἔστι εἰδέναι τὸ παρὸν ζήτημα δι' ἑτέρας μεταχειρίσεως

Ἔστω ὅτι ζητεῖς εἰδέναι φλουριὰ ,αφξα΄, ἕκαστον αὐτῶν ἀνὰ ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄, πόσα ὑπέρπυρα γίνονται. ἔχεις δὲ τοῦτο εἰδέναι καὶ διὰ τῆς μεταχειρίσεως τῆς διὰ τῶν τριῶν. ζήτει δὲ φλουριὰ ι΄, πόσα ὑπέρπυρα γίνονται, ἕκαστον ἀνὰ ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄. ι΄κις οὖν ὑπέρπυρα ζ΄ γίνονται ὑπέρπυρα ο΄, ι΄κις δὲ κουκκιὰ ς΄ γίνονται κουκκιὰ ξ΄, ἅπερ ἐστὶ ὑπέρπυρα γ΄· τὰ ι΄ οὖν φλουριὰ γίνονται ὑπέρπυρα ογ΄. ἐὰν οὖν τὰ ι΄ φλουριὰ γίνωνται ὑπέρπυρα ογ΄, τὰ αφξα΄ φλουριὰ πόσα γίνονται;





ὥσπερ οὖν εἰώθαμεν ποιεῖν διὰ τῶν τριῶν, οὕτως καὶ νῦν ποίησον. πολλ(α)πλασίασον γὰρ τὰ ,αφξα΄ φλουριὰ μετὰ τῶν ογ΄ ὑπερπύρων τῶν ι΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἓξ γράμματα α α γ θ ε γ΄. μέρισον ταῦτα μετὰ τῶν ι΄ φλουριῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς τὰ παρόντα πέντε γράμματα α α γ θ ε΄, ἅπερ δηλῶσι ,ι,α΄ καὶ τϛε΄ ὑπέρπυρα. ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα γ΄ συγκρινόμενα οὐ μετὰ τῶν ι΄ φλουριῶν, ὧν ἔχεις μεριστήν, ἀλλὰ μετὰ τῶν ογ΄ ὑπερπύρων, ὧν ποιῶσι τὰ ι΄ φλουριά. τὰ δὲ $\frac{\gamma}{\zeta\gamma}$ τοῦ ἑνὸς φλουριοῦ ἐστι κουκκιὰ ς΄. τὸ γὰρ ἕνα φλουρί, καθὼς εἴπομεν, ὅτι χρῄζει ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄, γίνονται κουκκιὰ ρμς΄, τὸ δὲ ἑβδομηκοστὸν τρίτον τῶν ρμς΄ ἐστὶ κουκκιὰ β΄· δὶς γὰρ ογ΄ ρμς΄ γίνονται, τρία δὲ ἑβδομηκοστὰ τρίτα, τουτέστι τρὶς κουκκιὰ β΄, γίνονται κουκκιὰ ς΄. καὶ ἰδοὺ τὰ ,αφξα΄ φλουριὰ γίνονται ὑπέρπυρα ,ι,α΄ καὶ τϛε΄ ὑπέρπυρα καὶ κουκκιὰ ς΄.


ἡ δὲ ἀπόδειξις τούτου ἐστὶ αὕτη. πολλ(α)πλασίασον τὰ ογ΄ ὑπέρπυρα μετὰ τῶν

---

14 παρογενέστερα] παρογενέσθερα **C** 39 ἑβδομηκοστὸν τρίτον] $\zeta\overset{ον}{\gamma}$ **C**


,αφξα΄ φλουριῶν· ογ΄κις οὖν ,αφξα΄ γίνονται α α γ ϑ ε γ΄. πολλ(α)πλασίασον καὶ τὰ ι΄ φλουριὰ μετὰ τῶν α α γ ϑ ε΄ ὑπερπύρων καὶ κουκκιῶν ς΄· ι΄κις οὖν ⟨ὑπέρπυρα⟩ α α γ ϑ ε΄ κουκκιὰ ς΄ γίνονται πάλιν α α γ ϑ ε γ΄. καὶ ἐπεί ἐστι ὅμοιος ὁ πρῶτος πολλ(α)πλασιασμὸς μετὰ τοῦ δευτέρου, ἐστὶ ὀρθὸν τὸ γενόμενον.

Ποίησον τοῦτο καὶ διὰ τῆς πρώτης μεταχειρίσεως. πολλ(α)πλασίασον δὲ τὰ ,αφξα΄ φλουριὰ μετὰ τῶν ογ΄ ὑπερπύρων τῶν ι΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἓξ γράμματα α α γ ϑ ε γ΄. ἐπεὶ οὖν ι΄ φλουριὰ ὑπέρπυρα πολλ(α)πλασιάζεις, κόψε γράμμα ἓν καὶ ἀπομένοσι τὰ παρόντα πέντε γράμματα α α γ ϑ ε΄, ἅπερ δηλῶσι ,ι,α΄ καὶ τϛε΄. τὸ δὲ ἓν γράμμα, ὅπερ ἔκοψας, ἐστὶ ὑπέρπυρα γ΄, ἅπερ ἐστὶ κουκκιὰ ξ΄. κόψε πάλιν γράμμα ἓν καὶ ἀπομένοσι κουκκιὰ ς΄. καὶ ἰδοὺ καὶ οὕτως τὰ ,αφξα΄ φλουριὰ γίνονται ὑπέρπυρα ,ι,α΄ καὶ τϛε΄ κουκκιὰ ς΄.



οδ Περὶ τοῦ πῶς ἔστι εἰδέναι, ὅσα ἂν ὑπέρπυρα ζητῇς, πόσα φλουριὰ γίνονται

Ἐὰν δὲ τὸ ἀνάπαλιν ζητῇς, τουτέστι αἱ ,ι,α΄ καὶ τϛε΄ ὑπέρπυρα καὶ κουκκιὰ ς΄ – ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄ – πόσα φλουριὰ γίνονται, ἔχεις καὶ τοῦτο εἰδέναι οὕτως. ποίησον κουκκιὰ τὰς ,ι,α΄ καὶ τϛε΄ ὑπέρπυρα καὶ κουκκιὰ ς΄· πολλ(α)πλασίασον γὰρ τὰ καθόλου ὑπέρπυρα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου, πρόσθες καὶ τὰ ς΄ κουκκιὰ καὶ γίνονται τὰ α α γ ϑ ε΄ ὑπέρπυρα καὶ κουκκιὰ ς΄ κουκκιὰ β β ζ ϑ ι ς΄. μέρισον ταῦτα μετὰ τῶν ρμς΄ κουκκιῶν τοῦ ἑνὸς φλουριοῦ· ἕκαστον γὰρ φλουρὶ εἰς ὑπέρπυρα ζ΄ κουκκιὰ ς΄ γίνονται κουκκιὰ ρμς΄. μεριζόμεναι δὲ αἱ ,σ,κ,ζ΄ καὶ ≫ς΄ κουκκιὰ μετὰ τῶν ρμς΄ κουκκιῶν τοῦ ἑνὸς φλουριοῦ γίνεται ὁ τούτων διαμερισμὸς ,αφξα΄. καὶ ἰδού, ὥσπερ τὰ ,αφξα΄ φλουριὰ ἐγένοντο ὑπέρπυρα α α γ ϑ ε΄ κουκκιὰ ς΄, οὕτως καὶ νῦν τὸ ἀνάπαλι(ν) τὰ α α γ ϑ ε΄ ὑπέρπυρα καὶ κουκκιὰ ς΄ γενόμενα[ι] κουκκιὰ β β ζ ϑ ι ς΄ καὶ μεριζόμενα[ι] μετὰ τῶν ρμς΄ κουκκιῶν τοῦ ἑνὸς φλουριοῦ ἐγένετο ὁ τέλειος τούτων διαμερισμὸς πάλιν φλουριὰ ,αφξα΄ ὡς τὸ πρότερον. ‖ f. 42^{r}
ὡσαύτως δὲ καί, ὅσα ὑπέρπυρα ζητεῖς εἰδέναι, πόσα φλουριὰ γίνονται – πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου, καὶ ὅσος γένηται ὁ τούτων πολλ(α)πλασιασμός, τοσαῦτα κουκκιὰ γίνονται τὰ ὑπέρπυρα, ἅπερ μετὰ τῶν κ΄ κουκκιῶν ἐπολλαπλασίασας. ποίησον δὲ καὶ ἑνὸς φλουριοῦ τιμὴν κουκκιά, καὶ ὅσα κουκκιὰ γένωνται τοῦ ἑνὸς φλουριοῦ, μέρισον δι᾽ αὐτῶν τὰ καθόλου κουκκιά, ἅπερ ἐποίησαν τὰ ὑπέρπυρα, ἅπερ μετὰ τῶν κ΄ κουκκιῶν ἐπολλαπλασίασας. καὶ ὅσος γένηται ὁ τούτων διαμερισμός, τόσα φλουριὰ γίνονται τὰ ὑπέρπυρα, ἅπερ ζητεῖς ποιῆσαι φλουριά. ἐὰν δὲ καὶ ἀπομείνῃ τζάκισμα, τὰ ἐναπομένοντά ἐστι κουκκιά, ἅπερ



---


14 **ad titulum huius capitis in inferiore marg. fol. 41^{v} scriptum:** ὡσαύτως δὲ καὶ τὸ παρὸν ζήτημαν τό, πόσα φλουριὰ γίνονται τὰ ὑπέρπυρα, ὅσα ἂν ζητῇς, διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν γενήσεται προχειρέστατα.

19 τὰς ,ι,α΄] **sc.** χιλιάδας 26 μεριζόμεναι δὲ αἱ ,σ,κ,ζ΄] **sc.** χιλιάδαι 33/36–38 ὅσος / ὅσα **c. coni.**

οὐκ ἔφθασαν φλουριά, διὸ καὶ ἐναπέμειναν τζάκισμα.


οε Περὶ τοῦ πῶς ἔστι εἰδέναι τὸ παρὸν ζήτημα δι' ἑτέρας μεταχειρίσεως

Ἔστω ὅτι ζητεῖς εἰδέναι, πόσα φλουριὰ γίνονται ὑπέρπυρα ,ι,β΄ καὶ τϛβ΄, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ζ΄ κουκκιὰ ι΄, τουτέστι ὑπέρπυρα ζ΄ϛ″. ἔχεις δὲ τοῦτο εἰδέναι καὶ διὰ τῆς μεταχειρίσεως τῆς διὰ τῶν τριῶν, τουτέστι ἐὰν τὰ ιε΄ μισὰ διδῶσι β΄ μισά, ταὐτὸν γὰρ εἰπεῖν ἐὰν τὰ ζ΄ϛ″ ὑπέρπυρα διδῶσι φλουρὶ α΄, τὰ α β γ ϑ β΄ ὑπέρπυρα πόσα δίδωσι; πολλ(α)πλασίασον τὰ α β γ ϑ β΄ ὑπέρπυρα μετὰ τῶν β΄ μισῶν· δὶς οὖν α β γ ϑ β΄ γίνονται β δ ζ η δ΄. μέρισον ταῦτα μετὰ τῶν ιε΄ μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς α ϛ ε β΄ καὶ τζάκισμα $\frac{\delta}{\alpha\,\varepsilon}$. καὶ ἰδοὺ τὰ α β γ ϑ β΄ ὑπέρπυρα γίνονται φλουριὰ ,αχνβ΄ καὶ $\frac{\delta}{\iota\varepsilon}$. τὰ δὲ $\frac{\delta}{\iota\varepsilon}$ τοῦ ἑνὸς φλουριοῦ ἐστι κουκκιὰ μ΄, ἅπερ ἐστὶ ὑπέρπυρα β΄. τὰ γὰρ ζ΄ϛ″ ὑπέρπυρα τοῦ ἑνὸς φλουριοῦ ἐστι κουκκιὰ ρν΄, τὰ δὲ $\frac{\delta}{\iota\varepsilon}$ τῶν ρν΄ κουκκιῶν ἐστι κουκκιὰ μ΄, τουτέστι ὑπέρπυρα β΄. δ΄κις γὰρ ι΄ μ΄ γίνονται, ιε΄κις δὲ πάλιν ι΄ ρν΄. καὶ ἰδοὺ τὰ α β γ ϑ β΄ ὑπέρπυρα γίνονται φλουριὰ ,αχνβ΄ καὶ ὑπέρπυρα β΄.



ἡ δὲ ἀπόδειξις ἡ διὰ τῶν τριῶν ἐστι αὕτη. πολλ(α)πλασίασον τὰ α β γ ϑ β΄ ὑπέρπυρα μετὰ τῶν β΄ ὡς τὸ πρότερον· δὶς οὖν α β γ ϑ β΄ γίνονται β δ ζ η δ΄. πολλ(α)πλασίασον τὰ ιε΄ τὸν μεριστὴν μετὰ τῶν α ϛ ε β΄ καὶ $\frac{\delta}{\iota\varepsilon}$· ιε΄κις οὖν α ϛ ε β΄ καὶ $\frac{\delta}{\iota\varepsilon}$ γίνονται πάλιν β δ ζ η δ΄. ἐπεὶ οὖν ἐστι ὅμοιοι οἱ δύο πολλ(α)πλασιασμοί, ἐστὶ ὀρθὸν τὸ γενόμενον.

Ἔστω δὲ πάλιν, ὅτι τὰ αὐτὰ ὑπέρπυρα ζητεῖς εἰδέναι, πόσα φλουριὰ γίνονται. ζήτει φλουριὰ ι΄, πόσα ὑπέρπυρα γίνονται, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα ζ΄ϛ″· ι΄κις οὖν ὑπέρπυρα ζ΄ϛ″ γίνονται ὑπέρπυρα οε΄. ἐὰν οὖν τὰ ι΄ φλουριὰ γίνωνται ὑπέρπυρα οε΄, τὰ α β γ ϑ β΄ ὑπέρπυρα πόσα γίνονται; πολλ(α)πλασίασον οὖν τὰ α β γ ϑ β΄ ὑπέρπυρα μετὰ τῶν ι΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α β γ ϑ β υ΄. μέρισον ταῦτα μετὰ τῶν οε΄ φλουριῶν, ὧν ἐποίησαν τὰ ι΄ φλουριά, καὶ γίνεται ὁ τούτων διαμερισμὸς α ϛ ε β΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta\,\upsilon}{\zeta\,\varepsilon}$, ὅπερ δηλοῖ κουκκιὰ μ΄, τουτέστι ὑπέρπυρα β΄. τὸ γὰρ φλουρί, ὅπερ εἴπομεν, ὅτι χρῄζει ὑπέρπυρα ζ΄ϛ″, γίνονται κουκκιὰ ρν΄, τὸ δὲ ἑβδομηκοστὸν πέμπτον μέρος τῶν ρν΄ κουκκιῶν ἐστι κουκκιὰ β΄· δὶς γὰρ οε΄ ρν΄ γίνονται, κ΄ δὲ ἑβδομηκοστὰ πέμπτα, τουτέστι κ΄κις κουκκιὰ β΄, γίνονται κουκκιὰ μ΄, ἅπερ ἐστὶ ὑπέρπυρα β΄. καὶ ἰδοὺ καὶ οὕτως εὕρες, ὅτι τὰ α β γ ϑ β΄ ὑπέρπυρα γίνονται φλουριὰ ,αχνβ΄ καὶ ὑπέρπυρα β΄ ὡς καὶ πρότερον.




Ἐὰν δὲ καὶ μετὰ τῶν ρ΄ φλουριῶν τὰ ὑπέρπυρα ποιήσῃς ταῦτα, εὑρήσεις πάλιν, ὅτι γίνονται φλουριὰ αχνβ΄ ὑπέρπυρα β΄. τὰ γὰρ ρ΄ φλουριά – ἕκαστον φλουρὶ ἀνὰ ζ΄ϛ″ <ὑπέρπυρα> – ρ΄κις ὑπέρπυρα ζ΄ϛ″ γίνονται ὑπέρπυρα ψν΄. πολλ(α)πλασίασον δὲ τὰ α β γ ϑ β΄ ὑπέρπυρα μετὰ τῶν ρ΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἑπτὰ γράμματα α β γ ϑ β υ υ΄. μέρισον ταῦτα μετὰ τῶν ψν΄

---

3 τϛβ΄] τϛς **falso C** 20 ἐστι] **sic C** 34 ἑβδομηκοστὸν πέμπτον] $\overset{ον}{ο\varepsilon}$ **C** 40 ρ΄κις] $\overset{ον}{ρ}$τάκοις **C**

ὑπερπύρων τῶν ρ΄ φλουριῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς α ϛ ε β΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta\,\upsilon\,\upsilon}{\zeta\,\varepsilon\,\upsilon}$· σχίσον τοῦτο εἰς μέρη δέκα καὶ γίνονται $\frac{\beta\,\upsilon}{\zeta\,\varepsilon}$, ὅπερ δηλοῖ κουκκιὰ μ΄, ἅπερ ἐστὶ ὑπέρπυρα β΄. καὶ ἰδοὺ καὶ μετὰ τῶν ρ΄ φλουριῶν τὰ ὑπέρπυρα, τουτέστι μετὰ τῶν ψν΄ ὑπερπύρων,




εὗρες αὐτὰ πάλιν φλουριὰ ,αχνβ΄ ὑπέρπυρα β΄, ὡς καὶ μετὰ τῶν ι΄ φλουριῶν τὰ οε΄ δηλονότι ὑπέρπυρα εὗρες οὕτως.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτων ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

ος **Περὶ τοῦ πῶς ἔστι διὰ τῆς παρούσης μεταχειρίσεως τῶν φλουριῶν {χρήσασθαι ταύτην καὶ ἐπὶ ζῴων καὶ} εἰδέναι, πόσα ὑπέρπυρα χρῄζοσι, ὅσα ἂν ζῷα ζητῇς, καὶ τὸ ἀνάπ(α)λι(ν) πόσα ζῷα χρῄζοσι, ὅσα ἂν ὑπέρπυρα ζητῇς**

Τοῦτο οὐκ ἐπὶ φλουριῶν μόνον καὶ ὑπερπύρων γίνεται οὕτως, ἀλλὰ καὶ ἐπὶ ζῴων καὶ ἄλλων ὁμοίων ζητημάτων ἐστὶ χρήσιμος ἡ δηλωθεῖσα μεταχείρισις.

ἔστω γὰρ ὅτι ζητεῖς εἰδέναι ἄλογα φλα΄, ἕκαστον αὐτῶν ἀνὰ ὑπέρπυρα με΄ κουκκιὰ ι΄, πόσα ὑπέρπυρα γίνονται. ζήτει καὶ ἐνταῦθα ι΄ ἀλόγων ὑπέρπυρα ὡς καὶ ἐπὶ τῶν φλουριῶν· ι΄κις οὖν ὑπέρπυρα με΄ϛ″ γίνονται ὑπέρπυρα υνε΄. καὶ ἰδοὺ τὰ ι΄ ἄλογα χρῄζοσι ὑπέρπυρα υνε΄. πολλ(α)πλασίασον τὰ φλα΄ ἄλογα μετὰ τῶν υνε΄ ὑπερπύρων τῶν ι΄ ἀλόγων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἓξ γράμματα β δ α ϛ υ ε΄. ἐπεὶ οὖν ι΄ ἀλόγων ὑπέρπυρα ἐπολλ(α)πλασίασας, κόψε γράμμα ἓν καὶ ἀπομένοσι πέντε γράμματα, ἅπερ δηλῶσι ὑπέρπυρα ,κ,δ΄ καὶ ρξ΄ ὑπέρπυρα. τὸ δὲ ἓν γράμμα, ὅπερ ἔκοψας, δηλοῖ ὑπέρπυρα ε΄, ἅπερ ἐστὶ κουκκιὰ ρ΄. κόψε πάλιν γράμμα ἓν ὡς καὶ ἐπὶ τῶν ὑπερπύρων καὶ ἀπομένοσι δύο γράμματα, ἅπερ δηλῶσι κουκκιὰ ι΄. καὶ ἰδοὺ εὗρες, ὅτι τὰ φλα΄ ἄλογα, ἕκαστον αὐτῶν ἀνὰ ὑπέρπυρα με΄ κουκκιὰ ι΄, γίνεται ἡ τιμὴ αὐτῶν ὑπέρπυρα ,κ,δ΄ καὶ ρξ΄ ὑπέρπυρα κουκκιὰ ι΄.




Καὶ τὸ ἀνάπαλι(ν). ἔστω ὅτι ζητεῖς εἰδέναι ὑπέρπυρα ,κ,δ΄ καὶ ρξ΄ ὑπέρπυρα κουκκιὰ ι΄, πόσα ἄλογα ἐξωνήσαντο, ἕκαστον ἄλογον || ἀνὰ ὑπέρπυρα με΄ κουκκιὰ ι΄. f. 42^{v}
ποίησον τὰς ,κ,δ΄ καὶ ρξ΄ ὑπέρπυρα καὶ κουκκιὰ ι΄ κουκκιά· πολλ(α)πλασίασον δὲ ταῦτα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα δ η γ β υ υ΄. πρόσθες καὶ τὰ ι΄ κουκκιὰ καὶ γίνονται ὁμοῦ κουκκιὰ δ η γ β α υ΄. πολλ(α)πλασίασον καὶ τὰ με΄ ὑπέρπυρα καὶ κουκκιὰ ι΄ – ἑνὸς ἀλόγου τιμὴν δηλονότι – μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα θ υ υ΄. πρόσθες καὶ

---

16 οὐκ ἐπὶ] οὐ καὶ πὶ **C**

multiplicatio secunda: auctor scripsit primo ε γ γ **pro** ε γ α β α β δ] **hoc primo auctor scripsit, tum falso** β β β δ **correxit item** β δ α ϛ υ] β ε α ϛ υ **C**


30 ,κ,δ΄] **hoc primo auctor scripsit, tum falso** ,κ,ε **correxit et in inferiore marg. fol. 42^{r} iteravit**




τὰ ι΄ κουκκιὰ καὶ γίνονται ὁμοῦ κουκκιὰ ϑ α ι΄. μέρισον δὲ τὰ δ η γ β α ι΄ κουκκιὰ μετὰ τῶν ϑ α ι΄ κουκκιῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς φλα΄. καὶ ἰδοὺ εὗρες, ὅτι αἱ ,κ,δ΄ καὶ ρξ΄ ὑπέρπυρα κουκκιὰ ι΄ – ἕκαστον ἄλογον ἀνὰ ὑπέρπυρα με΄ κουκκιὰ ι΄ – ἐξωνῶνται ἄλογα φλα΄, ὥσπερ πρότερον τὸ ἀνάπαλι(ν) ἄλογα φλα΄ – ἕκαστον ἀνὰ ὑπέρπυρα με΄ κουκκιὰ ι΄ – ἐγένοντο ὑπέρπυρα ,κ,δ΄ καὶ ρξ΄ ὑπέρπυρα καὶ κουκκιὰ ι΄.

Καὶ ἄλλως προχ(ει)ρ(ο)τέρως. ἐπεὶ αἱ ,κ,δ΄ καὶ ρξ΄ <ὑπέρπυρα> κουκκιὰ ι΄ ἔχοσι ὑπέρπυρον ϛ″ – τὰ γὰρ ι΄ κουκκιὰ μισὸν ὑπέρπυρόν ἐστι –, ὡσαύτως καὶ τὰ με΄ ὑπέρπυρα καὶ κουκκιὰ ι΄ ἔχοσι καὶ ταῦτα ὑπέρπυρον ϛ″, ποίησον μισὰ τὰς ,κ,δ΄ καὶ ρξ΄ ὑπέρπυρα· δὶς οὖν β δ α ς ι΄ γίνονται δ η γ β ι΄. πρόσθες καὶ ϛ″ ὑπὲρ τῶν ι΄ κουκκιῶν καὶ γίνονται μισὰ δ η γ β α΄. ποίησον μισὰ καὶ τὰ με΄ ὑπέρπυρα κουκκιὰ ι΄· δὶς οὖν με΄ γίνονται Ϛ΄. πρόσθες καὶ ϛ″ ὑπὲρ τῶν ι΄ κουκκιῶν καὶ γίνονται μισὰ Ϛα΄. μέρισον τὰ δ η γ β α΄ μισὰ μετὰ τῶν Ϛα΄ μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν ἄλογα φλα΄.

Ἔστω δὲ [ἔστω δὲ] πάλιν ὅτι ζητεῖς εἰδέναι πρόβατα ,ι,α΄ καὶ ψκϑ΄, ἕκαστον πρόβατον ὑπέρπυρον α΄ κουκκιὰ ιε΄, πόσα ὑπέρπυρα γίνονται. ζήτει ι΄ προβάτων τιμήν· ι΄κις οὖν ὑπέρπυρον α΄ κουκκιὰ ιε΄ γίνονται ὑπέρπυρα ιζ΄ κουκκιὰ ι΄. καὶ ἐπεὶ τὰ ι΄ πρόβατα ἔχοσι κουκκιὰ ι΄ περισσότερον τῶν ιζ΄ ὑπερπύρων, ζήτει ρ΄ προβάτων τιμήν· ρ΄κις δὲ ὑπέρπυρον α΄ καὶ κουκκιὰ ιε΄ γίνονται ὑπέρπυρα ροε΄. πολλ(α)πλασίασον δὲ τὰς ,ι,α΄ καὶ ψκϑ΄ πρόβατα μετὰ τῶν ροε΄ ὑπερπύρων τῶν ρ΄ προβάτων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἑπτὰ γράμματα β υ ε β ε ζ ε΄. καὶ ἐπεὶ ρ΄ προβάτων τιμὴν ἐπολλ(α)πλασίασας, κόψε δύο γράμματα καὶ ἀπομένοσι πέντε γράμματα, ἅπερ δηλῶσι ὑπερπύρα ,κ΄ καὶ φκε΄ ὑπέρπυρα. τὰ δύο δὲ γράμματα, ἅπερ ἔκοψας, δηλῶσι ὑπέρπυρα οε΄, ἅπερ ἐστὶ κουκκιὰ ,αφ΄. κόψε πάλιν δύο γράμματα ὡς καὶ ἐπὶ τῶν ὑπερπύρων καὶ ἀπομένοσι δύο γράμματα, ἅπερ δηλῶσι κουκκιὰ ιε΄. καὶ ἰδοὺ αἱ ,ι,α΄ καὶ ψκϑ΄ πρόβατα, ἕκαστον πρόβατον ἀνὰ ὑπέρπυρον α΄ κουκκιὰ ιε΄, γίνονται ὑπέρπυρα ,κ΄ καὶ φκε΄ ὑπέρπυρα καὶ κουκκιὰ ιε΄.



Καὶ τὸ ἀνάπαλι(ν). ἔστω ὅτι ζητεῖς εἰδέναι ὑπέρπυρα ,κ΄ καὶ φκε΄ ὑπέρπυρα καὶ κουκκιὰ ιε΄, πόσα πρόβατα ἐξωνήσονται, ἕκαστον πρόβατον εἰς ὑπέρπυρον α΄ κουκκιὰ ιε΄. ποίησον κουκκιὰ τὰς ,κ΄ καὶ φκε΄ ὑπέρπυρα κουκκιὰ ιε΄. πολλ(α)πλασίασον γὰρ τὰ β υ ε β ε΄ ὑπέρπυρα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνεται ὁ τούτων




3.7.28 αἱ ,κ,δ΄] sc. χιλιάδαι, cf. 9.20.34/35 τὰς ...] sc. χιλιάδας


πολλ(α)πλασιασμὸς δ α υ ε υ υ΄. πρόσθες καὶ τὰ ιε΄ κουκκιὰ καὶ γίνονται ὁμοῦ κουκκιὰ δ α υ ε α ε΄. ποίησον καὶ ἑνὸς προβάτου τιμὴν κουκκιά· γίνονται ὑπέρπυρον α΄ κουκκιὰ ιε΄ κουκκιὰ λε΄. μέρισον τὰς δ α υ ε α ε΄ κουκκιὰ μετὰ τῶν λε΄ κουκκιῶν τοῦ ἑνὸς προβάτου καὶ γίνεται ὁ τούτων διαμερισμὸς τὰ παρόντα γράμματα α α ζ β θ΄, ἅπερ δηλῶσι ,ι,α΄ καὶ ψκθ΄. καὶ ἰδοὺ αἱ ,κ΄ καὶ φκε΄ ὑπέρπυρα καὶ κουκκιὰ ιε΄ – ἕκαστον πρόβατον ἀνὰ ὑπέρπυρον α΄ κουκκιὰ ιε΄ – ἐξωνῶνται πρόβατα ,ι,α΄ καὶ ψκθ΄ πρόβατα, ὥσπερ πρότερον τὸ ἀνάπαλιν πρόβατα ,ι,α΄ καὶ ψκθ΄ – ἕκαστον πρόβατον ἀνὰ ὑπέρπυρον α΄ κουκκιὰ ιε΄ – ἐγένοντο ὑπέρπυρα ,κ΄ καὶ φκε΄ ὑπέρπυρα καὶ κουκκιὰ ιε΄.

οζ Περὶ τοῦ πῶς τοῦτο καὶ ἐπὶ μετάξης χρήσιμον

Ἔστω ὅτι ζητεῖς εἰδέναι λα΄ χιλ(ι)άδαι λίτραι μετάξης, ἑκάστη λίτρα ἀνὰ ὑπέρπυρα ς΄ κουκκιὰ ια΄, πόσα ὑπέρπυρα γίνονται. ζήτει ι΄ λιτρῶν τιμήν· ι΄κις οὖν ὑπέρπυρα ς΄ κουκκιὰ ια΄ γίνονται ὑπέρπυρα ξε΄ κουκκιὰ ι΄. καὶ ἐπεὶ ἡ τιμὴ τῶν ι΄ λιτρῶν ἔχει περισσεύοντα κουκκιὰ ι΄, ζήτει ρ΄ λιτρῶν τιμήν, πόσα ὑπέρπυρα γίνονται. ρ΄κις οὖν ὑπέρπυρα ς΄ κουκκιὰ ια΄ γίνονται ὑπέρπυρα χνε΄. πολλ(α)πλασίασον δὲ τὰς λα΄ χιλ(ι)άδας λίτρας τῆς μετάξης μετὰ τῶν χνε΄ ὑπερπύρων τῶν ρ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ὀκτὼ γράμματα β υ γ υ ε υ υ υ΄. ἐπεὶ δὲ ρ΄ λιτρῶν ὑπέρπυρα ἐπολλ(α)πλασίασας, κόψε δύο γράμματα καὶ ἀπομένουσι τὰ παρόντα ἓξ γράμματα β υ γ υ ε υ΄, ἅπερ δηλῶσι ὑπέρπυρα ,σ,γ΄ χιλ(ι)άδας καὶ ὑπέρπυρα ν΄. καὶ ἰδοὺ αἱ ,λ,α΄ λίτραι τῆς μετάξης χρῄζουσι ὑπέρπυρα ,σ,γ΄ καὶ ν΄ ὑπέρπυρα.



Ἐὰν δὲ πάλιν ζητῇς εἰδέναι σγ΄ χιλ(ι)άδαι καὶ ν΄ ὑπέρπυρα, πόσας χιλ(ι)άδας λίτρας μετάξης ἐξωνήσαντο, πολλ(α)πλασίασον τὰς σγ΄ χιλ(ι)άδας καὶ ν΄ ὑπέρπυρα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνονται κουκκιὰ δ υ ς α υ υ υ΄. ποίησον κουκκιὰ καὶ τὰ ς΄ ὑπέρπυρα καὶ κουκκιὰ ια΄ τῆς μιᾶς λίτρας, τὴν τιμὴν δηλονότι· γίνονται δὲ κουκκιὰ ρλα΄. μέρισον τὰς δ υ ς α υ υ υ΄ κουκκιὰ μετὰ τῶν α γ α΄ κουκκιῶν τῆς μιᾶς λίτρας καὶ γίνεται ὁ τούτων διαμερισμὸς τὰ παρόντα πέντε γράμματα γ α υ υ υ΄, ἅπερ δηλῶσι λα΄ χιλ(ι)άδας. καὶ ἰδοὺ αἱ σγ΄ χιλ(ι)άδαι καὶ ν΄ ὑπέρπυρα ἐξωνῶνται λα΄ χιλ(ι)άδας λίτρας μετάξης – ἑκάστην λίτραν εἰς ὑπέρπυρα ς΄ κουκκιὰ ια΄ –, ὥσπερ πρότερον τὸ ἀνάπ(α)λ(ιν) ‖ ,λ,α΄ λίτραι μετάξης – ἑκάστη λίτρα εἰς ὑπέρπυρα ς΄ κουκκιὰ ια΄ – ἐγένοντο ὑπέρπυρα ,σ,γ΄ καὶ ν΄ ὑπέρπυρα. f. 43r



ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ὅμοιον ζήτημαν ἔχεις εἰδέναι καὶ διὰ τῆς παρούσης μεταχειρίσεως, ἧς γίνονται τὰ φλουριὰ ἢ τὰ ζῷα ἢ αἱ λίτραι ὑπέρπυρα καὶ τὰ ὑπέρπυρα πάλιν, πόσα φλουριὰ ἢ ζῷα ἢ λίτρας ἐξωνῶνται. ἔχεις δὲ εἰδέναι ταῦτα καὶ διὰ τῆς ἑτέρας μεταχειρίσεως τῆς διὰ τῶν τριῶν, ἧς ἐποίησας ἐπὶ τοῦ πρώτου ζητήματος τῶν φλουριῶν, ὧν εἴπομεν, πόσα ὑπέρπυρα γίνονται τὰ φλουριὰ καὶ πόσα φλουριὰ γίνον-

---

3.31 μέρισον τὰς] **sic C** 11 λίτραι] **hic et passim** $\overset{\alpha\iota}{\text{Ϟ}}$ **C**

divisio: 𐅵𐅵𐅵𐅵𐅵𐅵𐅵 𐅵𐅵𐅵𐅵𐅵υυ **C**

ται τὰ ὑπέρπυρα, καθὼς ταῦτα πάντα ὁρῶνται καλῶς διὰ τῶν ὑποδειγμάτων, ὧν διαφόρως ὑποτιθέμεθα. καὶ ταῦτα πάντα γίνονται οὕτως, ὁπόταν περισσεύωσι ἐκ τῆς τιμῆς τῶν φλουριῶν ἢ τῶν ζῴων ἢ τῶν λιτρῶν καὶ κουκκιά τινα.


ὅτε δέ ἐστι ἡ τιμὴ τούτων ἐξόλου ἐξαρτυμένη εἰς ὑπέρπυρα ἀκέραια μὴ ἔχοντα καὶ κουκκιά τινα περιττά, οὐκ ἐστι χρεία τῶν δηλωθέντων μεταχειρίσεων, ἀλλὰ βουλόμενος πολλ(α)πλασιάσαι ζῷά τινα ἢ φλουριὰ ἢ λίτρας πρὸς τὸ εἰδέναι, πόσα ὑπέρπυρα γίνονται, πολλ(α)πλασίασον, ἅπερ ζητεῖς εἰδέναι, πόσα ὑπέρπυρα γίνονται, μετὰ τῆς τιμῆς τῶν ἀκεραίων ὑπερπύρων, ὧν χρῄζει ἕνα φλουρὶ ἢ ἕνα ζῷον ἢ μία λίτρα. καὶ ὅσος γένηται ὁ πολλ(α)πλασιασμὸς τῶν καθόλου, ὧν ζητεῖς, μετὰ τῆς τιμῆς τοῦ ἑνὸς τῶν ἀκεραίων ὑπερπύρων, τοσαῦτα ὑπέρπυρα γίνονται, ἅπερ ζητεῖς εἰδέναι, πόσα ὑπέρπυρα γίνονται.

βουλόμενος δὲ πάλιν εἰδέναι ὑπέρπυρά τινα, πόσα φλουριὰ γίνονται ἢ πόσα ζῷα ἐξωνῶνται – ἐὰν ἡ τιμὴ ἑκάστου αὐτῶν οὐκ ἔχῃ κουκκιά τινα περισσεύοντα, ἀλλ᾽ ἔστι ἐξόλου ὑπέρπυρα ἀκέραια, οὐκ ἐστι χρεία γενέσθαι κουκκιὰ τὰ ὑπέρπυρα, ἅπερ ζητεῖς εἰδέναι, πόσα φλουριὰ ἢ ζῷα ἢ λίτραι γίνονται, ἀλλὰ ἀκεραίων ὄντων τῶν ὑπερπύρων, ὧν ζητεῖς, διαμέρισον ταῦτα πάντα μετὰ τῆς τιμῆς τῶν ἀκεραίων ὑπερπύρων τοῦ ἑνὸς φλουριοῦ ἢ ζῴου ἢ λίτρας, οὗ ζητεῖς ἐξωνήσασθαι. καὶ ὅσος γένηται ὁ διαμερισμὸς τῶν καθόλου ὑπερπύρων, ὧν ζητεῖς, μετὰ τῶν ἀκεραίων ὑπερπύρων τῆς τιμῆς τοῦ ἑνὸς φλουριοῦ ἢ ζῴου ἢ λίτρας, τοσαῦτα φλουριὰ ἢ ζῷα ἢ λίτρας ἐξωνῶνται τὰ ὑπέρπυρα, ὅσα ἂν ζητῇς εἰδέναι, πόσα ἐξ αὐτῶν ὠνῶνται.

οη Περὶ πλείστων καὶ διαφόρων καντ(α)ρίων καὶ ῥετούλων πρόχειρος κατάληψις, πόσα ὑπέρπυρα γίνεται ἡ καθόλου τούτων ποσότης

Ἔστω ὅτι πραγματευτής τις ἀγόρασέν τινα πραγματείαν, ἥτις καμπανισθεῖσα ἐγένετο καντ(ά)ρι(α) ρλγ΄ καὶ ῥέτουλα ιζ΄. τὸ δὲ καντ(ά)ρι ἐστὶ ῥέτουλα ρ΄. ἀγόρασεν δὲ τὸ καντ(ά)ρι εἰς ὑπέρπυρα ιγ΄ μεγάλα, ἃ καὶ χρυσὰ λέγονται, ὅπερ ὑπέρπυρον χρυσὸν χρῄζει κουκκιὰ κδ΄. ζητεῖς δὲ εἰδέναι τὰ ρλγ΄ καντ(ά)ρ(ια) καὶ ιζ΄ ῥέτουλα, πόσα ὑπέρπυρα γίνονται. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως.

Θὲς ἄνωθεν μὲν τὰ ρλγ΄ καντ(ά)ρι(α) καὶ ιζ΄ ῥέτουλα κατ᾽ εὐθεῖαν, κάτωθεν δὲ περὶ τὸ τέλος θὲς τὰ ιγ΄ ὑπέρπυρα, ἅπερ εἴπομεν, ὅτι ἕκαστον καντ(ά)ρι χρῄζει ὑπέρπυρα ιγ΄. εἰ γὰρ καὶ κάτωθεν περὶ τὸ τέλος θέτεις τὰ ιγ΄ ὑπέρπυρα καὶ οὐκ ἐκ πλαγίου ὡς σύνηθες, οὐ λυμαίνεταί τι τοῦτο· ταὐτὸν γάρ ἐστι κακεῖσε ταῦτα πολλ(α)πλασιάσαι ὡς καὶ ἐκ πλαγίου. ἐπὶ γὰρ τοῦ παρόντος ζητήματος κρεῖττόν ἐστι κάτωθεν τιθέναι τὰ ιγ΄ ὑπέρπυρα – τὴν τιμὴν δηλονότι τοῦ ἑνὸς καντ(α)ρί(ου) – περὶ τὸ τέλος, ὡς εἴπομεν, ἢ ἐκ πλαγίου.



γενομένου δὲ τούτου πολλ(α)πλασίασον τὰ ἄνωθεν πέντε γράμματα, ἅπερ δηλῶσι καντ(ά)-

---

2 ὁπόταν] ὁπότ ᾽ναν **C** 23 πραγματευτής] **hic et aliubi** πραγματευθής **C** ἀγόρασέν] **pro** ἠγόρασέν **C** ρτλ **(v. ratio)**] **pro** ῥέτουλα 34 οὐκ ἐκ πλαγίου] οὐ καὶ᾽κ πλαγίου **C** 35 οὐ λυμαίνεται] οὐ λῖ μένεται **C**

ρ(ια) ρλγ΄ καὶ ῥέτουλα ιζ΄, μετὰ τῶν ιγ΄ ὑπερπύρων ἀρξάμενος πρῶτον ἀπὸ τὸ ἔσχατον καὶ τελευταῖον γράμμα τῶν ιγ΄ ὑπερπύρων, ὅπερ δηλοῖ γ΄. πολλ(α)πλασιάσας δὲ τοῦτο μετὰ τῶν ἄνωθεν πάντων γραμμάτων ὡς σύνηθες. πάλιν ἄρξου καὶ πολλ(α)πλασίασον καὶ τὸ ἕτερον γράμμα, τουτέστι τὸ α΄, ὅπερ ἐστὶ εἰς τόπον δεκάδος καὶ δηλοῖ ι΄. γίνεται δὲ ὁ πολλ(α)πλασιασμὸς τῶν ἄνωθεν πέντε γραμμάτων μετὰ τῶν κάτωθεν ιγ΄ ὑπερπύρων τὰ παρόντα ἓξ γράμματα α ζ γ α β α΄. κόψε δύο γράμματα – ἐπὶ γὰρ τοῦ παρόντος ζητήματος πάντοτε δύο γράμματα κόπτονται – καὶ ἀπομένουσι τὰ παρόντα τέσσερα γράμματα α ζ γ α΄, ἅπερ δηλῶσι ὑπέρπυρα ,αψλα΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, δηλῶσι κα΄. πολλ(α)πλασίασον δὲ τὰ κα΄ μετὰ τῶν κδ΄ κουκκιῶν, ὧν εἴπομεν, ὅτι χρῄζει ἕκαστον ὑπέρπυρον χρυσόν, ὡς ἐπὶ τῆς Κωνσταντινουπόλεως πέφυκε διαπράτ<τ>εσθαι, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τρία γράμματα ε ι δ΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ κουκκιὰ ε΄. ἔχεις μέχρι τοῦ νῦν ὑπέρπυρα ,αψλα΄ καὶ κουκκιὰ ε΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα ι δ΄ δηλῶσι δ΄· τὸ γὰρ ι΄ οὐδὲν δηλοῖ. ἕκαστον δὲ τῶν κδ΄ κουκκιῶν ἐστι τουρνέσια η΄. πολλ(α)πλασίασον δὲ μετὰ τῶν η΄ τουρν(ε)σ(ίων) τοῦ ἑνὸς κουκκιοῦ τὰ δ΄, ἅπερ ἀπέμειναν ἐκ τῶν δύο γραμμάτων, ὧν ἔκοψας, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τρία γράμματα ι γ β΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα ι΄, ὅπερ δηλοῖ οὐδέν. καὶ ἰδοὺ τὰ ρλγ΄ καντ(ά)ρι(α) καὶ ιζ΄ ῥέτουλα, ἕκαστον καντ(ά)ρ(ι) εἰς ὑπέρπυρα χρυσὰ ιγ΄, γίνονται ὑπέρπυρα ,αψλα΄ καὶ κουκκιὰ ε΄ τουρν(έ)σι οὐδέν.

τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα γ β΄ δηλῶσι λβ΄. εἰ οὖν ζητεῖς λαβεῖν καὶ ἐξ αὐτῶν τζάκισμα ἑνὸς τουρνεσίου $\frac{\alpha}{\delta}$, πολλ(α)πλασίασον τὰ δύο, ἅπερ ἀπέμειναν καὶ δηλῶσι λβ΄, μετὰ τῶν δ΄. τὰ δὲ δ΄ ἐστὶ τέσσερα τέταρτα ἑνὸς τουρν(ε)σ(ίου) ἀκεραίου. δ΄κις οὖν λβ΄ γίνονται τὰ παρόντα τρία γράμματα α β η΄, ἅπερ δηλῶσι ρκη΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ α΄· τὸ δὲ α΄ ἐστὶ ἑνὸς τουρν(ε)σ(ίου) $\frac{\alpha}{\delta}$. καὶ ἰδοὺ τὰ ρλγ΄ καντ(ά)ρ(ια) καὶ ῥέτουλα ιζ΄ γίνονται ὑπέρπυρα ,αψλα΄ κουκκιὰ ε΄ τουρν(έ)σι(α) $\frac{\alpha}{\delta}$. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, δηλῶσι κη΄, πλὴν οὐκ ἔχεις τι λαβεῖν ἐξ αὐτῶν ἐπὶ πλέον, ἀλλὰ ἀπέμειναν ἄχρηστα μὴ δυνάμενος λαβεῖν τι ἐξ αὐτῶν. ‖ f. 43^{v}

$\frac{\gamma\ \beta}{\alpha\ |\beta\ \eta}$ $\frac{\delta}{\delta}$ τέταρτα

Ἔστω δὲ πάλιν, ὅτι ὁ αὐτὸς πραγματευτὴς ἠγόρασεν καντ(ά)ρι(α) ρνθ΄ καὶ ῥέτουλα ξε΄, ἕκαστον καντ(ά)ρι εἰς ὑπέρπυρα χρυσὰ κα΄. ζητεῖς δὲ εἰδέναι, πόσα ὑπέρπυρα γίνονται.

καὶ πάλιν θὲς κατ᾽ εὐθεῖαν ἄνωθεν τὰ ρνθ΄ καντ(ά)ρι(α) καὶ ῥέτουλα ξε΄, κάτωθεν δὲ περὶ τὸ τέλος θὲς τὰ κα΄ ὑπέρπυρα. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν πέντε γράμ-


---

1 ῥέτουλα] hic et passim $\overset{\tau\lambda}{\rho}$ **C** ἀπὸ τὸ] ὁ πο τὸ **C** 4/5 δεκάδος] $\overset{\alpha}{\iota}$δος **C**

in inferiore marg. fol. 43^{r}: + ἐὰν ποιῇς τὸ τζάκισμα τῶν τουρνεσίων τέταρτα ἢ πέμπτα, οὐ λαμβάνεις ὅλον τὸ τζάκισμα, ἀλλὰ ἀπομένει καὶ μέρος τι, ὃ οὐ λαμβάνεις. εἰ οὖν θέλεις ὅλον τὸ τζάκισμα λαβεῖν, θέτε ἄνωθεν τῆς κεραίας γραμμῆς τὰ δύο γράμματα τοῦ τζακίσματος, ἅπερ κόπτεις, κάτωθεν δὲ τῆς κεραίας γραμμῆς θέτε α ι η΄ ῥέτουλα, ἅπερ ἐστὶ καντάριον ἕνα. καὶ σχίσον τὸ τζάκισμα καὶ τὰ α ι η΄ ῥέτουλα, τουτέστι σχίσον τὰ $\frac{\gamma\ \beta}{\alpha\ \iota\ \eta}$, καὶ γίνονται $\frac{\eta}{\beta\ \varepsilon}$ ἑνὸς τουρνεσίου. τὰ γ β΄ οὖν τζακίσματα, ἅπερ ἔκοψας, ἐστὶ $\frac{\eta}{\beta\ \varepsilon}$ ἑνὸς ἀκεραίου τουρνεσίου.

ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τζακισμάτων ποίησον.

31 ἠγόρασεν] ἐγόρασεν **C**



ματα μετὰ τῶν κάτωθεν κα΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἓξ γράμματα γ γ ε β ς ε΄. κόψε πάλιν δύο γράμματα ἐξ αὐτῶν, ὡς εἴπομεν ποιεῖν πάντοτε, καὶ ἀπομένοσι τὰ παρόντα τέσσερα γράμματα γ γ ε β΄, ἅπερ δηλῶσι ὑπέρπυρα χρυσὰ ,γτνβ΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα ς ε΄ δηλῶσι ξε΄. θὲς κάτωθεν τῶν ξε΄ ἑνὸς ὑπερπύρου κουκκιά, ἅπερ – ὡς εἴπομεν – ἐστὶ κδ΄. πολλ(α)πλασίασον δὲ τὰ ξε΄ μετὰ τῶν κδ΄ κουκκιῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τέσσερα γράμματα α ε ς ι΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένοσι τὰ παρόντα δύο γράμματα α ε΄, ἅπερ δηλῶσι κουκκιὰ ιε΄. ἔχεις μέχρι τοῦ νῦν ὑπέρπυρα ,γτνβ΄ καὶ κουκκιὰ ιε΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα ς ι΄ δηλῶσι ξ΄. πολλ(α)πλασίασον δὲ τὰ ξ΄ μετὰ τῶν η΄ τουρν(ε)σ(ίων) τοῦ ἑνὸς κουκκιοῦ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τρία γράμματα δ η ι΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα δ΄, ὅπερ δηλοῖ τουρν(έ)σ(ια) δ΄. ἔχεις μέχρι τοῦ νῦν ὑπέρπυρα ,γτνβ΄ κουκκιὰ ιε΄ καὶ τουρν(έ)σ(ια) δ΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα η ι΄ δηλῶσι π΄. εἰσὶ δὲ τουρν(έ)σ(ια), καὶ ἐπεὶ οὐκ ἔχεις ἔλαττο χάραγμαν τουρν(ε)σί(ου), πολλ(α)πλασίασον τὰ π΄ τουρν(έσια) μετὰ τῶν δ΄, ἅπερ ἐστὶ τέταρτα ἑνὸς τουρν(ε)σί(ου), καθὼς οὕτως καὶ ἐπὶ τοῦ πρώτου ἐποίησας, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τρία γράμματα γ β ι΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα γ΄, ὅπερ δηλοῖ ἑνὸς ἀκεραίου τουρν(ε)σί(ου) $\frac{\gamma}{\delta}$. καὶ ἰδοὺ τὰ ρνθ΄ καντ(ά)ρ(ια) καὶ ῥέτουλα ξε΄, ἕκαστον καντ(ά)ρι εἰς ὑπέρπυρα κα΄, γίνονται ὑπέρπυρα ,γτνβ΄ κουκκιὰ ιε΄ τουρν(έ)σι(α) δ΄ καὶ ἑνὸς τουρν(ε)σ(ίου) $\frac{\gamma}{\delta}$.

οϑ Περὶ τοῦ ἐὰν τὸ καντ(ά)ρ(ι) χρῄζῃ ὑπέρπυρα ιζ΄, τὰ κβ΄ ῥέτουλα πόσα ὑπέρπυρα χρῄζοσι, πρόχειρος εὕρεσις

Ἔστω ὅτι ἕκαστον καντ(ά)ρ(ι) χρῄζει ὑπέρπυρα χρυσά, ἃ καὶ μεγάλα καλοῦνται, ιζ΄. ζητεῖς δέ, ἐὰν τὸ καντ(ά)ρ(ι) χρῄζῃ ὑπέρπυρα ιζ΄, τὰ κβ΄ ῥέτουλα πόσα ὑπέρπυρα χρῄζοσι· τὸ γὰρ καντ(ά)ρ(ι) ἐστὶ ῥέτουλα ρ΄.


θὲς ἄνωθεν μὲν τὰ κβ΄ ῥέτουλα, κάτωθεν δὲ θὲς τὰ ιζ΄ ὑπέρπυρα, ἅπερ εἴπομεν, ὅτι τὸ καντ(ά)ρ(ι) χρῄζει ὑπέρπυρα ιζ΄. πολλ(α)πλασίασον δὲ τὰ κβ΄ ῥέτουλα μετὰ τῶν ιζ΄ ὑπερπύρων ὡς καὶ ἐπὶ τῶν προγενεστέρων, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τρία γράμματα α ε δ΄. κόψε πάλιν καὶ ἐνταῦθα δύο γράμματα, ἐπεὶ καὶ ἐπὶ τοῦ παρόντος δύο γράμματα ἐπὶ πάντων κόπτονται ὡς καὶ ἐπὶ τῶν πρώτων, καὶ ἀπομένει τὸ παρὸν γράμμα γ΄, ὅπερ δηλοῖ ὑπέρπυρα γ΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα ζ δ΄ δηλῶσι οδ΄. πολλ(α)πλασίασον δὲ τὰ οδ΄ μετὰ

---

23 χάραγμαν τουρν(ε)σί(ου)] **fort. etiam** χάραγμαν τουρν(ε)σί(ων)


in sinistro marg. fol. 43^{v} de ultima ratione capitis 78: ἀντὶ τῶν $\frac{\gamma}{\delta}$ μᾶλλον λάβε $\frac{\eta\,\iota}{\alpha\,\iota\,\iota}$, ἅπερ ἐστὶ $\frac{\delta}{\varepsilon}$ ἑνὸς τουρνεσίου.

τῶν κδ΄ κουκκιῶν τοῦ ἑνὸς μεγάλου ὑπερπύρου, καθὼς καὶ ἐπὶ τοῦ πρώτου οὕτως ἐποίησας, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τέσσερα γράμματα α ζ ζ ς΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένοσι τὰ παρόντα δύο γράμματα α ζ΄, ἅπερ δηλῶσι κουκκιὰ ιζ΄. ἔχεις μέχρι τοῦ νῦν ὑπέρπυρα γ΄ κουκκιὰ ιζ΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα ζ ς΄ δηλῶσι ος΄. πολλ(α)πλασίασον τὰ ος΄ μετὰ τῶν η΄ τουρν(ε)σ(ίων) τοῦ ἑνὸς κουκκιοῦ, καθὼς καὶ ἐπὶ τῶν προγενεστέρων οὕτως ἐποίησας, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τρία γράμματα ς υ η΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα ς΄, ὅπερ δηλοῖ τουρν(έ)σι(α) ς΄. ἔχεις μέχρι τοῦ νῦν ὑπέρπυρα γ΄ κουκκιὰ ιζ΄ τουρν(έ)σι(α) ς΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, οὕτως κείμενα υ η΄ δηλῶσι η΄. πολλ(α)πλασίασον δὲ τὰ η΄ μετὰ τῶν δ΄, ἅπερ ἐστὶ ἑνὸς τουρν(ε)σ(ίου) τέταρτα, ὡς καὶ ἐπὶ τῶν προγενεστέρων, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα τρία γράμματα υ γ β΄. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα υ΄, ὅπερ δηλοῖ οὐδέν. καὶ ἰδοὺ ἐὰν τὸ καντ(ά)ρ(ι) χρῄζῃ ὑπέρπυρα ιζ΄, τὰ κβ΄ ῥέτουλα χρῄζοσι ὑπέρπυρα γ΄ κουκκιὰ ιζ΄ τουρν(έ)σι(α) ς΄.



Ἐὰν δὲ πάλιν τὸ καντ(ά)ρ(ι) χρῄζῃ ὑπέρπυρα κα΄, τὰ Cε΄ ῥέτουλα πόσα ὑπέρπυρα χρῄζοσι;

θὲς ἄνωθεν τὰ Cε΄ ῥέτουλα, κάτωθεν δὲ τὰ κα΄ ὑπέρπυρα. πολλ(α)πλασίασον δὲ τὰ Cε΄ ῥέτουλα μετὰ τῶν κα΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τέσσερα γράμματα. κόψε δύο γράμματα καὶ ἀπομένοσι δύο γράμματα, ἅπερ δηλῶσι ὑπέρπυρα ιϑ΄. ἀπομένοσι καὶ δύο γράμματα, ἅπερ δηλῶσι Cε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κδ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τέσσερα γράμματα. κόψε δύο γράμματα καὶ ἀπομένοσι δύο



---

in sinistro marg. fol. 43^{v} de ratione primi propositi huius capitis: λάβε $\frac{\eta}{\alpha\,\upsilon\,\upsilon}$, ἅπερ ἐστὶ $\frac{\beta}{\beta\,\varepsilon}$ ἑνὸς τουρν(ε)σ(ίου).

in inferiore marg. fol. 43^{v} de rationibus secundi propositi capitis antecedentis et primi propositi huius capitis: + γίνωσκε, ὅτι ἡ παροῦσα μεταχείρισις γίνεται διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν. δοκεῖ δὲ ἑτέρα τις μεταχείρισις· οὐδὲν γὰρ ἄλλο ποιεῖς ἢ ὅτι ἐὰν τὸ καντάριον, ὅπερ ἐστὶ ῥέτουλα ρ΄, χρῄζῃ ὑπέρπυρα κα΄, τὰ ρνϑ΄ καντ(ά)ρι(α) καὶ ῥέτουλα ξε΄ πόσα χρῄζοσι, καὶ ἐὰν ρ΄ ῥέτουλα χρῄζωσι ὑπέρπυρα ιζ΄, τὰ κβ΄ ῥέτουλα πόσα χρῄζοσι – καὶ ἑξῆς ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ὁμοίων ζητημάτων.


in sinistro marg. fol. 43^{v} de ratione secundi propositi huius capitis: ἀντὶ τοῦ $\frac{\alpha}{\delta}$ μᾶλλον λάβε $\frac{\delta\,\upsilon}{\alpha\,\upsilon\,\upsilon}$, ἅπερ ἐστὶ $\frac{\beta}{\varepsilon}$ ἑνὸς τουρνεσίου.

γράμματα, ἅπερ δηλῶσι κουκκιὰ κβ΄. ἀπομέν(ο)σι καὶ δύο γράμματα, ἅπερ δηλῶσι π΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν η΄ τουρν(ε)σ(ίων) τοῦ ἑνὸς κουκκιοῦ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ τουρν(έ)σ(ια) ς΄. ἀπομένοσι καὶ δύο γράμματα, ἅπερ δηλῶσι μ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ τετάρτων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε πάλιν γράμματα δύο καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ ἑνὸς τουρν(ε)σί(ου) $\frac{\alpha}{\delta}$. καὶ ἰδοὺ ἐὰν τὸ καντ(ά)ρ(ι) χρῄζῃ ὑπέρπυρα κα΄, τὰ ϛε΄ ῥέτουλα χρῄζοσ(ι) ὑπέρπυρα ιϑ΄ κουκκιὰ κβ΄ τουρν(έ)σ(ια) ς΄ καὶ $\frac{\alpha}{\delta}$ ἑνὸς τουρν(ε)σί(ου).

π Περὶ τοῦ πῶς ταῦτα καὶ μετὰ φλουριῶν καὶ μικρῶν ὑπερπύρων καὶ ἐπὶ παντὸς ἄλλου χαράγματος χρήσιμά εἰσι

Τὰ δύο ταῦτα ζητήματα τῶν καντ(α)ρί(ων) τε καὶ ῥετούλων οὐllκ ἐπὶ τῶν μεγάλων ὑπερπύρων, ὧν καὶ χρυσῶν ὀνομάζομεν, μόνον χρήσιμα, ἀλλὰ καὶ ἐπὶ φλουριῶν καὶ μικρῶν ὑπερπύρων καὶ ἐπὶ παντὸς ἄλλου χαράγματος χρήσιμα εὑρεθήσονται. f. 44^{r}

ἔστω τοίνυν ὅτι ἀγόρασέν τις καντ(ά)ρ(ια) ρλα΄ καὶ ῥέτουλα πς΄, ἕκαστον καντ(ά)ρ(ι) εἰς φλουριὰ γ΄. τὸ δὲ φλουρὶ ἔστω ὅτι χρῄζει μικρὰ ὑπέρπυρα η΄. ζητεῖς δὲ εἰδέναι, πόσα ὑπέρπυρα γίνονται.



θὲς ἄνωθεν πάλιν τὰ ρλα΄ καντ(ά)ρ(ια) καὶ πς΄ ῥέτουλα, κάτωθεν δὲ περὶ τὸ τέλος θὲς τὰ γ΄ φλουριά. πολλ(α)πλασίασον δὲ τὰ ἄνωθεν πέντε γράμματα μετὰ τῶν γ΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς πέντε γράμματα. κόψε δύο γράμματα καὶ ἀπομένοσι τὰ παρόντα τρία γράμματα γ ϑ ε΄, ἅπερ δηλῶσι φλουριὰ τϛε΄. τὰ δὲ δύο γράμματα, ἅπερ ἔκοψας, δηλῶσι νη΄. πολλ(α)πλασίασον δὲ τὰ νη΄ μετὰ τῶν η΄ ὑπερπύρων τοῦ ἑνὸς φλουριοῦ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα δ΄, ὅπερ δηλοῖ ὑπέρπυρα δ΄. ἔχεις μέχρι τοῦ νῦν φλουριὰ τϛε΄ καὶ ὑπέρπυρα δ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι ξδ΄. πολλ(α)πλασίασον τὰ ξδ΄ μετὰ τῶν κ΄, ἅπερ ἐστὶ ἑνὸς μικροῦ ὑπερπύρου κουκκιά, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τέσσερα. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένοσι τὰ παρόντα δύο γράμματα α β΄, ἅπερ δηλῶσι κουκκιὰ ιβ΄. ἔχεις μέχρι τοῦ νῦν φλουριὰ τϛε΄ ὑπέρπυρα δ΄ κουκκιὰ ιβ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι π΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ τουρν(εσίων) τοῦ ἑνὸς κουκκιοῦ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει τὸ παρὸν γράμμα γ΄, ὅπερ δηλοῖ τουρν(έ)σ(ια) γ΄. ἔχεις μέχρι τοῦ νῦν φλουριὰ τϛε΄ ὑπέρπυρα δ΄ κουκκιὰ ιβ΄ τουρν(έ)σ(ια) γ΄. τὰ δύο δέ, ἅπερ ἔκοψας, δηλῶσι κ΄. πολλ(α)πλασίασον τὰ κ΄ μετὰ τῶν ε΄, ἅπερ ἐστὶ πέ[ν]μπτα – τὰ γὰρ ἐξ αὐτῶν ἐξερχόμενα πέ[ν]μπτα εἰσί – καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς

---


12 οὐllκ ἐπὶ] οὐ ll καὶ πει **C**

in dextro marg. fol. 44^{r} de ratione: ἀντὶ τοῦ $\frac{\alpha}{\varepsilon}$ λάβε $\frac{\beta\ \upsilon}{\alpha\ \upsilon\ \upsilon}$, ἅπερ ἐστὶ πάλ(ιν) $\frac{\alpha}{\varepsilon}$ ἑνὸς τουρν(ε)σί(ου).

γράμματα τρία. κόψε πάλιν γράμματα δύο καὶ ἀπομένει τὸ παρὸν γράμμα α΄, ὅπερ δηλοῖ $\frac{\alpha}{\varepsilon}$ ἑνὸς τουρν(ε)σί(ου). καὶ ἰδοὺ τὰ ρλα΄ καντ(ά)ρι(α) καὶ πς΄ ῥέτουλα, ἕκαστον καντ(ά)ρι εἰς φλουριὰ γ΄, γίνονται φλουριὰ τϛε΄ ὑπέρπυρα δ΄ κουκκιὰ ιβ΄ τουρν(έ)σι(α) γ΄ καὶ $\frac{\alpha}{\varepsilon}$ ἑνὸς τουρν(ε)σί(ου).

πα Περὶ τοῦ ἐὰν τὸ καντ(ά)ρι χρῄζῃ φλουριὰ δ΄, τὰ πς΄ ῥέτουλα πόσα φλουριὰ καὶ μικρὰ ὑπέρπυρα χρῄζει

Ἔστω δὲ πάλιν ἐὰν τὸ καντ(ά)ρι χρῄζῃ φλουριὰ δ΄, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα η΄, τὰ πς΄ ῥέτουλα ζητεῖς εἰδέναι, πόσα φλουριὰ καὶ μικρὰ ὑπέρπυρα χρῄζ(ο)σι. θὲς ἄνωθεν μὲν τὰ πς΄ ῥέτουλα, κάτωθεν δὲ τὰ δ΄ φλουριά. πολλ(α)πλασίασον δὲ τὰ πς΄ ῥέτουλα μετὰ τῶν δ΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλ(οῖ) φλουριὰ γ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι μδ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν η΄ ὑπερπύρων τοῦ ἑνὸς φλουριοῦ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ ὑπέρπυρα γ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι νβ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τέσσερα. κόψε δύο γράμματα καὶ ἀπομένουσι δύο γράμματα, ἅπερ δηλῶσι κουκκιὰ ι΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι μ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ τουρν(ε)σί(ων) τοῦ ἑνὸς κουκκιοῦ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ τουρν(έ)σ(ι) α΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι ξ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν ε΄, ἅπερ ἐστὶ πέμπτα, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ $\frac{\gamma}{\varepsilon}$ ἑνὸς τουρν(ε)σ(ίου). καὶ ἰδοὺ τὰ πς΄ ῥέτουλα χρῄζοσι φλουριὰ γ΄ ὑπέρπυρα γ΄ κουκκιὰ ι΄ τουρν(έ)σ(ι) α΄ καὶ $\frac{\gamma}{\varepsilon}$ ἑνὸς τουρν(ε)σί(ου).



εἰ δὲ φλουριὰ οὐκ ἔχεις τιμῆσαι τὸ καντ(ά)ρι, ἀλλὰ μόνον ὑπέρπυρα μικρὰ ἄνευ φλουριῶν, θὲς πάλιν, ὅσα ὑπέρπυρα οἶδας, ὅτι χρῄζει τὸ καντ(ά)ρι, καὶ ποίησον ὡς καὶ ἐπὶ τῶν παρόντων καὶ εὑρήσεις καὶ οὕτως καλῶς τὸ ζητούμενον.

πβ Περὶ τοῦ πῶς δεῖ ποιεῖν, ὁπόταν ζητῇς καντ(ά)ρι(α) μὲν πλείω τῶν ρ΄, ῥέτουλα δὲ ἐλάττονα τῶν δέκα

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὡς ὁπόταν ζητῇς καντ(ά)ρι(ά) τινα, ὅσα ἂν ζητῇς, κἄντε πλείω ἐστὶ τῶν ρ΄ κἄντε ἐλάττω, ζητεῖς δὲ καὶ ῥέτουλα πλείω τῶν ι΄ ἢ καὶ ι΄, πόσα ὑπέρπυρα γίνονται τὰ καντ(ά)ρι(α) καὶ τὰ ῥέτουλα, ὅσα ἂν ζητῇς, καὶ εἰς ὅση(ν) ἄρα βούλ(ε)σαι ἔχειν τιμὴν τὸ καντ(ά)ρι – κἄντε πλεῖο τῶν ι΄ ὑπερπύρων κἄντε ἔλαττο – εὑρήσεις καλῶς τὸ ζητούμενον, ὡς οἶδας διὰ τῶν προτ(ε)θέντων ὑποδειγμάτων.


ὅταν δὲ ζητῇς καντ(ά)ρι(α) μέν, ὅσα βούλ(ει), ῥέτουλα δὲ ἐλάττω τῶν ι΄, ποίησον οὕ-

---

in dextro marg. fol. 44^{r} de ratione capitis 81: ἀντὶ τῶν $\frac{\gamma}{\varepsilon}$ λάβε $\frac{\varsigma\ \upsilon}{\alpha\ \upsilon\ \upsilon}$, ἅπερ ἐστὶ πάλ(ιν) $\frac{\gamma}{\varepsilon}$ ἑνὸς τουρν(ε)σί(ου).

τως καὶ εὑρήσεις καλῶς τὸ ζητούμενον.


ἔστω τοίνυν ὅτι ζητεῖς καντ(άρι)α(ν) κ΄ καὶ ῥέτουλα ε΄, ἕκαστον καντ(άρι)ον ὑπέρπυρα ιζ΄, πόσα ὑπέρπυρα γίνονται.



θὲς ἄνωθεν τὰ κ΄ καντ(άρι)α(ν), ὡς εἴωθας ποιεῖν, τὰ δὲ ε΄ ῥέτουλα – θὲς ταῦτα οὐκ εἰς τρίτον τόπον, ἀλλ᾽ εἰς τέταρτον· εἰς δὲ τὸν τρίτον τόπον θὲς υ΄. κάτωθεν δὲ περὶ τὸ τέλος θὲς τὰ ιζ΄ ὑπέρπυρα, ἅπερ εἴπομεν, ὅτι χρῄζει ἕκαστον καντ(άρι)ον ὑπέρπυρα ιζ΄. πολλ(α)πλασίασον τὰ ιζ΄ ὑπέρπυρα μετὰ τῶν ἄνωθεν τεσσάρων γραμμάτων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς πέντε γράμματα. κόψε ὡς σύνηθες δύο γράμματα καὶ ἀπομένουσι τὰ παρόντα τρία γράμματα γ δ υ΄, ἅπερ δηλῶσι ὑπέρπυρα τμ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι πε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς μικροῦ ὑπερπύρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τέσσερα. κόψε πάλιν δύο γράμματα καὶ ἀπομένουσι τὰ παρόντα δύο γράμματα α ζ΄, ἅπερ δηλῶσι κουκκιὰ ιζ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, ἐστὶ οὐδέν. καὶ ἰδοὺ τὰ κ΄ καντ(άρι)α(ν) καὶ ε΄ ῥέτουλα – ἕκαστον καντ(άρι)ο(ν) ὑπέρπυρα μικρὰ ιζ΄ – ‖ γίνονται ὑπέρπυρα τμ΄ κουκκιὰ ιζ΄. f. 44^{v}

Ἔστω δὲ πάλιν καντ(άρι)α(ν) σλα΄ καὶ ῥέτουλα δ΄, ἕκαστον καντ(άρι)ον εἰς ὑπέρπυρα κα΄· ζητεῖς εἰδέναι, πόσα ὑπέρπυρα γίνονται.

θὲς πάλιν ἄνωθεν τὰ σλα΄ καντ(άρι)α(ν), θὲς δὲ πάλιν εἰς πέμπτον τόπον τὰ δ΄ ῥέτουλα, εἰς δὲ τὸν τέταρτον τόπον θὲς υ΄. θὲς δὲ κάτωθεν καὶ τὰ κα΄ ὑπέρπυρα. πολλ(α)πλασίασον δὲ τὰ κα΄ ὑπέρπυρα μετὰ τῶν ἄνωθεν πέντε γραμμάτων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα ἕξ. κόψε δύο γράμματα καὶ ἀπομένουσι τὰ παρόντα τέσσερα γράμματα δ η ε α΄, ἅπερ δηλῶσι ,δωνα΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι πδ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τέσσερα. κόψε πάλιν γράμματα δύο καὶ ἀπομένουσι τὰ παρόντα δύο γράμματα α ς΄, ἅπερ δηλῶσι κουκκιὰ ις΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι π΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ τουρν(εσίων) τοῦ ἑνὸς κουκκιοῦ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία, ἅπερ δηλῶσι τκ΄. κόψε πάλιν γράμματα δύο καὶ ἀπομένει τὸ παρὸν γράμμα γ΄, ὅπερ δηλοῖ τουρν(έ)σ(ια) γ΄. τὰ δὲ δύο, ἅπερ ἔκοψας, δηλῶσι κ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν ε΄, ἅπερ ἐστὶ πέμπτα, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γράμματα τρία. κόψε πάλιν γράμματα δύο καὶ ἀπομένει τὸ παρὸν γράμμα α΄, ὅπερ δηλοῖ $\frac{\alpha}{\varepsilon}$ ἑνὸς τουρν(ε)σ(ίου). καὶ ἰδοὺ τὰ σλα΄ καντ(άρι)α(ν) καὶ ῥέτουλα δ΄ – ἕκαστον καντ(άρι)ον εἰς ὑπέρπυρα κα΄ – γίνονται ὑπέρπυρα ,δωνα΄ κουκκιὰ ις΄ τουρν(έ)σ(ια) γ΄ καὶ $\frac{\alpha}{\varepsilon}$ ἑνὸς τουρν(ε)σ(ίου).



---

6 οὐκ εἰς] οὐχὶς **C**

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτων ὅμοιον ζήτ(η)μαν – ὁπόταν ἐστὶ τὰ ῥέτουλα ἐλάττω τῶν ι΄, τουτέστι θ΄ ἢ καὶ η΄ ἢ καὶ ζ΄ καὶ ἔτι ἐλάττω – πρόσθετε υ΄ πρὸ τῶν ῥετούλων τῶν ἐλάττω ὄντα τῶν ι΄ καὶ πολλ(α)πλασίαζε τὰ ὑπέρπυρα τῆς τιμῆς τοῦ ἑνὸς καντ(α)ρί(ου), ὡς ἐπὶ τῶν δηλωθέντων ὑποδειγμάτων μεμάθηκας. οὕτως δὲ ποιῶν εὕρες καλῶς τὸ ζητούμενον.

Τὸ δὲ ἕτερον ζήτ(η)μαν, ὅπερ εἴπομεν, ὅτι ἐὰν τὸ καντ(ά)ρ(ι) χρῄζῃ ὑπέρπυρα τόσα, τὰ με΄ ῥέτουλα – ἢ ὅσα ἂν ὑποθῇς εἶναι – πόσα ὑπέρπυρα γίνονται· τοῦτο ἐπὶ πάντων ἐστὶ ὀρθόν, κἂν ὅπως ἂν ζητῇς τοῦτο, κἄντε πλείω τῶν ι΄ ῥετούλων ζητῇς κἄντε ἐλάττω. διὸ οὐδὲ χρεία σοί ἐστι προσθεῖναι υ΄ ἐπὶ τῶν ἐλαττό<νων> τῶν ι΄, ὡς ἐπὶ τοῦ πρώτου ζητήματος εἴπομεν, ἀλλὰ κἄντε πλείω τῶν ι΄ ζητῇς κἄντε ἐλάττω, μηδενὸς ἑτέρου ἐπιπροσθέντος, ἀλλὰ μόνον τὰ ῥέτουλα καὶ τὰ ὑπέρπυρα, ὅσα ἂν χρῄζῃ ἕκαστον καντ(ά)ρι, εὑρήσεις καλῶς τὸ ζητούμενον διὰ τῆς δηλωθείσης μεταχειρίσεως.

πγ Περὶ ἐὰν ,α΄ λίτραι χρῄζωσι φλουριὰ οε΄, ἢ ὅσα ἂν εἴπῃς, τὸ κηντ(η)ν(ά)ρι καὶ τὸ δεκάρι καὶ ἡ μον(ά)ς – πόσα χρῄζουσι ἀναλόγως

Ἔστω ὅτι λίτραι ,α΄ χρῄζουσι φλουριὰ οε΄, ἕκαστον δὲ φλουρὶ ὑπέρπυρα η΄. ἐὰν οὖν λίτραι ,α΄ χρῄζωσι φλουριὰ οε΄, τὸ κηντ(η)ν(ά)ρι, ὃ καὶ καντ(ά)ρι καλεῖται, τουτέστι λίτραι ρ΄, καὶ τὸ δεκάρι, τουτέστι λίτραι ι΄, καὶ ἡ μονάς, τουτέστι λίτρα α΄, – ζητεῖς εἰδέναι, πόσα χρῄζει ἑκάστη τάξις αὐτῶν ἀναλόγως. ἔχεις δὲ ταῦτα εἰδέναι οὕτως.

θὲς ἄνωθεν λίτρας ,α΄, ἔμπροσθεν δὲ τούτων τὰ οε΄ φλουριῶν. κάτωθεν δὲ τῶν ,α΄ λιτρῶν θὲς τὸ καντ(ά)ρι, τουτέστι λίτρας ρ΄, ἔμπροσθεν δὲ τῶν ρ΄ λιτρῶν θὲς πάλιν τὰ οε΄ φλουριὰ τῶν ,α΄ λιτρῶν. καὶ ὥσπερ λείπονται τὰς ρ΄ λίτρας γράμμα ἓν πρὸς τὸ γενέσθαι λίτραι ,α΄ – αἱ μὲν γὰρ ρ΄ ἐστὶ τρία γράμματα, αἱ δὲ ,α΄ τέσσερα – οὕτως καὶ σὺ κόψε γράμμα ἓν ἐκ τῶν οε΄ φλουριῶν καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ φλουριὰ ζ΄. τὸ δὲ ἕτερον, ὅπερ ἔκοψας, τουτέστι τὰ ε΄, ἐστὶ $\frac{\varepsilon}{\iota}$ ἑνὸς φλουριοῦ. τὰ δὲ $\frac{\varepsilon}{\iota}$ ἐστὶ μισόν, καὶ ἐπεὶ τὸ φλουρὶ χρῄζει ὑπέρπυρα η΄, τὰ $\frac{\varepsilon}{\iota}$, τουτέστι τὸ $\frac{\alpha}{\beta}$ τῶν η΄ ὑπερπύρων, ἐστὶ ὑπέρπυρα δ΄. χρῄζει δὲ τὸ καντ(ά)ρι φλουριὰ ζ΄ καὶ ὑπέρπυρα δ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ξ΄. θὲς δὲ κάτωθεν τῶν ,α΄ καὶ τῶν ρ΄ λιτρῶν τὸ δεκ(ά)ρι, τουτέστι λίτρας ι΄, ἔμπροσθεν δὲ τῶν ι΄ λιτρῶν θὲς τὰ ξ΄ ὑπέρπυρα, ἅπερ χρῄζει τὸ καντ(ά)ρι. ἐπεὶ δὲ τὸ μὲν καντ(ά)ρι ἔχει γράμματα τρία, τὸ δεκ(ά)ρι δὲ δύο, κόψε πάλιν γράμμα ἓν ἐκ τῶν ξ΄ ὑπερπύρων καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ ὑπέρπυρα ς΄. χρῄζει δὲ τὸ δεκάρι ὑπέρπυρα ς΄, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄. θὲς δὲ κάτωθεν τῶν ,α΄ καὶ ρ΄ καὶ ι΄ λιτρῶν λίτρα α΄, ἔμπροσθεν δὲ ταύτης θὲς τὰ ρκ΄ κουκκιὰ τῶν ς΄ ὑπερπύρων, ἃν χρῄζει τὸ δεκάρι. ἐπεὶ δὲ τὸ μὲν δεκάρι ἔχει γράμματα δύο, ἡ δὲ μονὰς ἕνα, κόψε πάλιν γράμμα ἓν ἐκ τῶν ρκ΄ κουκκιῶν καὶ ἀπομένουσι γράμματα δύο, ἅπερ δηλῶσι κουκκιὰ ιβ΄. χρῄζει δὲ λίτρα α΄ κουκκιὰ ιβ΄. καὶ ἰδοὺ ἐὰν λίτραι ,α΄ χρῄζωσι φλουριὰ οε΄, αἱ μὲν ρ΄ χρῄζουσι φλουριὰ ζ΄ καὶ ὑπέρπυρα δ΄, αἱ δὲ ι΄ χρῄζ(ο)υσι ὑπέρπυρα ς΄, ἡ δὲ α΄ λίτρα χρῄζει κουκκιὰ ιβ΄.

| | | |

Ἔστω δὲ πάλιν ,α΄ λίτραι χρῄζοσι φλουριὰ ρν΄. θὲς τὰ ρν΄ φλουριὰ καὶ ἔμπροσθεν τῶν ρ΄ λιτρῶν. κόψε οὖν γράμμα ἓν ἐκ τῶν ρν΄ φλουριῶν καὶ ἀπομένουσι γράμματα δύο, ἅπερ δηλῶσι φλουριὰ ιε΄. χρῄζει δὲ τὸ καντ(ά)ρι φλουριὰ ιε΄. θὲς ταῦτα τὰ ιε΄ φλουριὰ ἔμπροσθεν τῶν ι΄ λιτρῶν. κόψε δὲ πάλιν γράμμα ἓν ἐκ τῶν ιε΄ φλουριῶν καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ φλουρὶ α΄. τὸ δὲ ἕτερον, ὅπερ ἔκοψας, τουτέστι τὰ ε΄, ἐστὶ $\frac{ε}{ι}$ ἑνὸς φλουριοῦ. ἐπεὶ δὲ τὸ φλουρὶ χρῄζει ὑπέρπυρα η΄, τὰ $\frac{ε}{ι}$ τῶν η΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα δ΄. χρῄζει δὲ τὸ δεκάρι φλουρὶ α΄ καὶ ὑπέρπυρα δ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ιβ΄. θὲς τὰ ιβ΄ ὑπέρπυρα ἔμπροσθεν τῆς α΄ λίτρας. κόψε δὲ πάλιν γράμμα ἓν καὶ ἀπομένει γράμμα ἕν, ὅπερ δηλοῖ ὑπέρπυρον α΄. τὸ δὲ ἕτερον, ὅπερ ἔκοψας, τουτέστι τὰ β΄, ἐστὶ $\frac{β}{ι}$ ἑνὸς ὑπερπύρου. τὰ δὲ $\frac{β}{ι}$ ἐστὶ $\frac{α}{ε}$, τὸ δὲ $\frac{α}{ε}$ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου ἐστὶ κουκκιὰ δ΄. χρῄζει δὲ λίτρα α΄ ὑπέρπυρον α΄ κουκκιὰ δ΄. καὶ ἰδοὺ ἐὰν λίτραι ,α΄ χρῄζωσι φλουριὰ ρν΄, αἱ μὲν ρ΄ χρῄζουσι || φλουριὰ ιε΄, αἱ ι΄ δὲ χρῄζουσι φλουρὶ α΄ ὑπέρπυρα δ΄, ἡ δὲ α΄ λίτρα χρῄζει ὑπέρπυρον α΄ κουκκιὰ δ΄. f. 45r

χιλιάς	ϡι	α	ψ	ψ	ψ	χρῄζουσι	φ		α	ε	ψ					
καντάρι	ϡι	α	ψ	ψ		χρῄζουσι	φ		α	ε	ψ					
δεκάρι	ϡι	α	ψ			χρῄζουσι	φ			α	ε·	$\frac{ε}{ι}$	ἐστὶ	ΐ	δ	
μονάς	ϡ	α				χρῄζει	ΐ			α	β·	$\frac{β}{ι}$	ἐστὶ	⁝	δ	

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτων ὅμοιον ζήτ(η)μαν διὰ τῆς παρούσης ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι ἀπὸ τῆς τιμῆς τῶν ,α΄ λιτρῶν, πόσα χρῄζουσι αἱ [ἐ] ρ΄ λίτραι καὶ πόσα αἱ ι΄ καὶ πόσα ἡ α΄ λίτρα, ἀναλόγως ἑκάστη τάξις αὐτῶν.

πδ

Περὶ τοῦ ἐὰν χιλιάδα καὶ ἑκατοντάδα καὶ δεκάδα καὶ μονάδα οἴδας, πόσα χρῄζει ἑκάστη τάξις αὐτῶν, πῶς ἔστι εἰδέναι, πόσα χρῄζ(ο)σι χιλ(ι)άδαι γ΄ καντ(ά)ρι(α) δ΄ δεκάρια ζ΄ καὶ λίτραι ϑ΄

Ἔστω οἴδας, ὅτι ἡ μὲν χιλιάδα χρῄζει φλουριὰ οε΄, τὸ δὲ καντ(ά)ρι φλουριὰ ζ΄ καὶ ὑπέρπυρα δ΄, τὸ δεκάρι δὲ ὑπέρπυρα ς΄, ἡ δὲ μονάς, τουτέστι λίτρα α΄, κουκκιὰ ιβ΄. ζητεῖς δὲ ἀγοράσαι ἢ πωλῆσαι χιλιάδας γ΄ καὶ καντ(ά)ρι(α) δ΄ καὶ δεκάρια ζ΄ καὶ λίτρας ϑ΄. ζητεῖς δὲ εἰδέναι, πόσα ὑπέρπυρα χρῄζουσι ταῦτα πάντα ἀναλόγως.

ἔχεις δὲ τοῦτο εἰδέναι διὰ τῆς Λατινικῶς λεγομένης τολέτας, ὡς ἂν εἴπῃ τις παρὰ τῆς ἡμετέρας φωνῆς ταυλέτας, δι᾽ ἧς τὰ παιδία σχεδογράφειν εἰώθασι. ἔστι δὲ αὕτη.

Θὲς ,α΄ λιτρῶν φλουριά, τουτέστι οε΄. κάτωθεν δὲ τῆς χιλιάδας θὲς ἑνὸς καντ(α)ρί-(ου) τιμήν, τουτέστι φλουριὰ ζ΄ καὶ ὑπέρπυρα δ΄. κατωτέρω δὲ τούτων θὲς ἑνὸς δεκαρίου τιμήν, τουτέστι ὑπέρπυρα ς΄. κατωτέρω δὲ τούτων θὲς α΄ λίτρας τιμήν, τουτέστι κουκκιὰ ιβ΄. ἔμπροσθεν δὲ τῆς χιλιάδος καὶ τῶν οε΄ φλουριῶν θὲς χιλιάδας γ΄, ἃς ζητεῖς ἀγοράσαι. ὡσαύτως δὲ καὶ ἔμπροσθεν τοῦ καντ(α)ρί(ου) καὶ τῶν ζ΄ φλουριῶν καὶ δ΄ ὑπερπύρων θὲς καντ(ά)ρι(α) δ΄, ἃ ζητεῖς ἀγοράσαι. ὡσαύτως καὶ ἔμπροσθεν τοῦ δεκαρίου καὶ τῶν ς΄

ἡ χιλ(ι)άδα	φ	ζ	ε			χιλιάδαι	γ	φ	β	β	ε					
τὸ καντ(ά)ρι	φ	ζ			ΐ	δ	καντ(ά)ρι(α)	δ	φ			γ	ψ			
τὸ δεκάρι					(ϡ)	ς	δεκάρια	ζ	φ			ε		ΐ	β	
ϡ α			⁝	α	β		ϡ μον(ά)δος	ϑ	ΐ					ΐ	ε	⁝ η
							ὁμοῦ		φ	β	ς	ψ		ΐ	ζ	⁝ η

---

22 χιλιάδα] ,αδὰ **C** ἑκατοντάδα] ρδὰ **C** δεκάδα] ιδὰ **C** μονάδα] αδὰ **C** οἴδας **(ind.)**] εἴδᾶς **C** 30 σχεδογράφειν] σκεδόγραφεὶν **C**

ὑπερπύρων θὲς δεκάρια ζ΄, ἃ ζητεῖς ἀγοράσαι. ὡσαύτως καὶ ἔμπροσθεν τῆς α΄ λίτρας καὶ τῶν ιβ΄ κουκκιῶν θὲς τὰς θ΄ λίτρας, ἃς ζητεῖς ἀγοράσαι.

πολλ(α)πλασίασον δὲ τὰ οε΄ φλουριὰ τῆς χιλιάδος μετὰ τῶν γ΄ χιλιάδων, ὧν ζητεῖς ἀγοράσαι· τρὶς οὖν φλουριὰ οε΄ γίνονται φλουριὰ σκε΄. θὲς ταῦτα ἔμπροσθεν τῶν γ΄ χιλιάδων. καὶ ἰδοὺ αἱ γ΄ χιλιάδαι χρῄζουσι φλουριὰ σκε΄. πολλ(α)πλασίασον δὲ τὰ ζ΄ φλουριὰ καὶ ὑπέρπυρα δ΄ τοῦ καντ(α)ρί(ου) μετὰ τῶν δ΄ καντ(α)ρί(ων), ὧν ζητεῖς ἀγοράσαι· δ΄κις οὖν φλουριὰ ζ΄ γίνονται φλουριὰ κη΄ καὶ δ΄κις ὑπέρπυρα δ΄ γίνονται ὑπέρπυρα ις΄, ἅπερ ἐστὶ φλουριὰ β΄ – ὁμοῦ φλουριὰ λ΄. θὲς ταῦτα ἔμπροσθεν τῶν δ΄ καντ(α)ρί(ων). καὶ ἰδοὺ τὰ δ΄ καντ(ά)ρι(α) χρῄζουσι φλουριὰ λ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ ς΄ ὑπέρπυρα τοῦ δεκαρίου μετὰ τῶν ζ΄ δεκαρίων, ὧν ζητεῖς ἀγοράσαι· ζ΄κις οὖν ὑπέρπυρα ς΄ γίνονται ὑπέρπυρα μβ΄, καὶ ἐπεὶ ἕκαστον φλουρὶ χρῄζει ὑπέρπυρα η΄, τὰ μβ΄ ὑπέρπυρά ἐστι φλουριὰ ε΄ καὶ ὑπέρπυρα β΄. θὲς οὖν ταῦτα ἔμπροσθεν τῶν ζ΄ δεκαρίων. καὶ ἰδοὺ τὰ ζ΄ δεκάρια χρῄζουσι φλουριὰ ε΄ καὶ ὑπέρπυρα β΄. πολλ(α)πλασίασον καὶ τὰ ιβ΄ κουκκιὰ τῆς α΄ λίτρας μετὰ τῶν θ΄ λιτρῶν, ὧν ζητεῖς ἀγοράσαι· θ΄κις οὖν κουκκιὰ ιβ΄ γίνονται κουκκιὰ ρη΄, ἅπερ ἐστὶ ὑπέρπυρα ε΄ κουκκιὰ η΄. θὲς ταῦτα ἔμπροσθεν τῶν θ΄ λιτρῶν εἰς τὸν οἰκεῖον τόπον αὐτῶν. καὶ ἰδοὺ αἱ θ΄ λίτραι χρῄζουσι ὑπέρπυρα ε΄ καὶ κουκκιὰ η΄.

ἕνωσον ταῦτα πάντα καὶ γίνονται ὁμοῦ φλουριὰ σξ΄ καὶ ὑπέρπυρα ζ΄ καὶ κουκκιὰ η΄. καὶ ἰδοὺ εὗρες, ὅτι λίτραι ,γυοθ΄, τουτέστι χιλ(ι)άδαι γ΄ καντ(ά)ρι(α) δ΄ δεκάρια ζ΄ λίτραι θ΄, χρῄζουσι φλουριὰ σξ΄ καὶ ὑπέρπυρα ζ΄ καὶ κουκκιὰ η΄.


ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτου ὅμοιον ζήτ(η)μαν, ὅσον ἂν χιλιάδων καὶ καντ(α)ρί(ων) καὶ δεκαρίων καὶ μονάδων ἔχῃς ζητῆσαι, διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως τῆς τολέτας ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

πε Περὶ τοῦ πῶς ἔστι εἰδέναι, πόσα ὑπέρπυρα ἔχεις κερδ(ῆ)σαι διὰ τὸ δοῦναι τὴν τῶν ιε΄ οὐγγιῶν λίτρα(ν) εἰς λίτρα(ν) οὐγγιῶν ιβ΄ καὶ τὸ ἀνάπαλι(ν)

Ἔστω ὅτι παρέλαβες πρα<γ>ματείαν τινὰ λιτρῶν ,αφ΄, διὰ καμπανοῦ τοῦ κοινῶς στατερίου ὀνομαζομένου, ἑκάστην λίτρα(ν) εἰς ὑπέρπυρα ε΄, ἑκάστη δὲ λίτρα τοῦ στατερίου [ζυγὸς] ἔστω οὐγγιῶν ιε΄. ἐπώλησας δὲ τὰς ,αφ΄ λίτρας τῶν ἀνὰ ε΄ ὑπερπύρων εἰς ἕτερον καμπανὸν τὸν ἔχοντα ἐφ' ἑκάστης λίτρας οὐγγίας ιβ΄, ὅστις κοινῶς καὶ ιβ΄γγιν καλεῖται, ἑκάστην λίτραν τῶν ,αφ΄ πάλιν εἰς ὑπέρπυρα ε΄. ζητεῖς δὲ εἰδέναι, πόσαι λίτραι πλεῖο τῶν ,αφ΄ ἐγένοντο διὰ τὸ δοῦναι τὴν τῶν ιε΄ οὐγγιῶν λίτραν εἰς καμπανὸν οὐγγιῶν ιβ΄ καὶ πόσα ὑπέρπυρα ἐκέρδεσας ἀπὸ ταύτης τῆς αἰτίας, ἧς λέγομεν. ἔχεις δὲ ταῦτα εἰδέναι διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν.

αἱ δ΄ λίτραι τοῦ στατερίου τῶν ιε΄ οὐγγιῶν γίνονται ε΄ λίτραι τῶν ἀνὰ ιβ΄ οὐγγιῶν, ὧν καὶ ιβ΄γγιν, ὡς εἴπομεν, ὀνομάζεται· δ΄κις γὰρ ιε΄ γίνονται ξ΄ καὶ ε΄κις ιβ΄ γίνονται ξ΄. ἐὰν οὖν αἱ δ΄ λίτραι γίνωνται ε΄, αἱ ,αφ΄ λίτραι πόσαι γίνονται; καὶ ὥσπερ εἰώθαμεν ποιεῖν διὰ τῶν τριῶν, οὕτως καὶ νῦν ποίησον.

πολλ(α)πλασίασον γὰρ τὰς ,αφ΄ λίτρας μετὰ τῶν ε΄ λιτρῶν, ὧν εἴπομεν, ὅτι αἱ δ΄ λίτραι γίνονται ε΄· ε΄κις οὖν ,αφ΄ γίνονται ,ζφ΄. μέρισον ταῦτα μετὰ τῶν δ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ,αωοε΄. καὶ ἰδοὺ ἐγένοντο αἱ ,αφ΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ιε΄ λίτραι



---

25 οὐγγιῶν] $\overset{\Gamma\Gamma}{o}$ et $\overset{\Gamma\Gamma^{\omega\nu}}{o}$ hic et passim C 30.35 ιβ΄γγιν] pro δωδεκουγγίν, i. e. δωδεκαουγγεῖον 32 ἐκέρδεσας] hic et passim pro ἐκέρδησας C

,αωοε΄ ἀνὰ οὐγγιῶν ιβ΄, τουτέστι πλεῖο τῶν ,αφ΄ λιτρῶν λίτραι τοε΄. ἐπεὶ δὲ ἑκάστην λίτραν δέδωκας εἰς ὑπέρπυρα ε΄ – ε΄κις τοε΄ γίνονται ,αωοε΄ –, ἐκέρδησας οὖν ὑπέρπυρα ,αωοε΄ διὰ τὸ δοῦναι τὴν τῶν ιε΄ οὐγγιῶν λίτραν εἰς λίτραν οὐγγιῶν ιβ΄.

Ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί· αἱ ,αφ΄ λίτραι ἀνὰ <εἰς> ὑπέρπυρα ε΄ – ε΄κις ,αφ΄ γίνονται ,ζφ΄, αἱ δὲ ,αωοε΄ λίτραι ἀνὰ ὑπερπύρων ε΄ – ε΄κις ,αωοε΄ γίνονται ,θτοε΄ ὑπέρπυρα. ἄφελε τὰ ,ζφ΄ ὑπέρπυρα τῶν ,αφ΄ λιτρῶν ἐκ τῶν ,θτοε΄ ὑπερπύρων τῶν ,αωοε΄ λιτρῶν καὶ ἀπομένοσι ὑπέρπυρα ,αωοε΄, ἅπερ ἐκέρδεσας, ὡς εἴπομεν.

α ε υ υ
ΙΙ ζ ε υ υ | ε

α η ζ ε
ΙΙ θ γ ζ ε | ε

Καὶ τὸ ἀνάπαλι(ν). Ἔστω δὲ ὅτι τὸ ἐναντίον μᾶλλον ἐποίησας. παρέλαβες γὰρ εἰς τὸ ιβ΄γγιν λίτρας ,αφ΄, ἑκάστη(ν) λίτραν εἰς ὑπέρπυρα ε΄. δέδωκας δὲ ταύτας τὰς ,αφ΄ λίτρας εἰς τὸ στατέριν τῶν ιε΄ οὐγγιῶν, ἑκάστην λίτραν πάλιν εἰς ὑπέρπυρα ε΄. ζητεῖς δὲ ‖ εἰδέναι, πόσαι λίτραι ἐξέπεσον καὶ πόσα ὑπέρπυρα ζημιοῦσαι. f. 45v

νῦν δὲ τὸ ἐναντίον ποίησον. πολλ(α)πλασίασον γὰρ τὰς ,αφ΄ λίτρας οὐ μετὰ τῶν ε΄ λιτρῶν, ἀλλὰ μετὰ τῶν δ΄, ὧν εἴπομεν, ὅτι αἱ δ΄ λίτραι γίνονται ε΄· δ΄κις οὖν ,αφ΄ γίνονται ,ς΄. μέρισον ταῦτα οὐ μετὰ τῶν δ΄ λιτρῶν, ἀλλὰ μετὰ τῶν ε΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ,ασ΄. ἐγένοντο δὲ αἱ ,αφ΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν ιβ΄ ,ασ΄ λίτραι ἀνὰ οὐγγιῶν ιε΄, τουτέστι ἔλαττο τῶν ,αφ΄ λιτρῶν λίτραι τ΄. ἐπεὶ δὲ ἑκάστη(ν) λίτραν δέδωκας εἰς ὑπέρπυρα ε΄ – ε΄κις τ΄ γίνονται ,αφ΄ – ἐζημιώθης οὖν ὑπέρπυρα ,αφ΄ διὰ τὸ δοῦναι τὴν τῶν ιβ΄ οὐγγιῶν λίτραν εἰς λίτραν οὐγγιῶν ιε΄.

α ε υ υ
ς υ υ υ | δ

α
ς υ υ υ
ε ε ε ε
αι α β υ υ

ἡ δὲ ἀπόδειξίς ἐστι αὕτη. αἱ ,αφ΄ λίτραι, ἑκάστη λίτρα ἀνὰ ὑπέρπυρα ε΄ – ε΄κις ,αφ΄ γίνονται ,ζφ΄ ὑπέρπυρα. αἱ δὲ ,ασ΄ λίτραι, ἑκάστη λίτρα πάλιν ἀνὰ ὑπέρπυρα ε΄ – ε΄κις ,ασ΄ γίνονται ὑπέρπυρα ,ς΄. ἄφελε τὰ ,ς΄ ὑπέρπυρα τῶν ,ασ΄ λιτρῶν ἐκ τῶν ,ζφ΄ ὑπερπύρων τῶν ,αφ΄ λιτρῶν καὶ ἀπομένοσι ὑπέρπυρα ,αφ΄. καὶ ἰδοὺ ἐζημιώθης, ὡς εἴπομεν, ὑπέρπυρα ,αφ΄ διὰ τὸ δοῦναι τὴν τῶν ιβ΄ οὐγγιῶν λίτραν εἰς λίτραν οὐγγιῶν ιε΄.

α ε υ υ
ΙΙ ζ ε υ υ | ε

α β υ υ
ΙΙ ς υ υ υ | ε

ἔστι δὲ καὶ ἑτέρα ἀπόδειξις ἐπὶ τοῦ παρόντος ζητ(ή)ματος τοῦ διὰ τῶν τριῶν. πολλ(α)πλασίασον τὰς ,αφ΄ λίτρας μετὰ τῶν δ΄ λιτρῶν ὡς τὸ πρότερον· δ΄κις οὖν ,αφ΄ γίνονται ,ς΄. πολλ(α)πλασίασον καὶ τὰς ,ασ΄ λίτρας, ἃς διεμέρισας, μετὰ τῶν ε΄· ε΄κις οὖν ,ασ΄ γίνονται πάλιν ,ς΄. καὶ ἐπεὶ ἐγένοντο οἱ δύο πολλ(α)πλασιασμοὶ ὅμοιοι, ἐστὶ ὀρθὸν τὸ γενόμενον.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτων ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως τῆς διὰ τῶν τριῶν ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

πς **Περὶ τῶν δύο καταλ(λ)ασσόντων, ὧν ὁ μὲν ἔχει πωλῆσαι μάλιν, ὁ δὲ τζόχαν δοῦναι καὶ φλουριὰ πρὸς τὸ λαβεῖν τὸ μάλιν, καθ' ὃν τρόπον ὑμῖν σαφέστερον δηλωθήσεται**

Ἔστωσαν δύο τινὲς ἀλλήλων καταλ(λ)ασσόμενοι, καὶ ὁ μὲν ἔχει πωλῆσαι μάλιν, ὁ δὲ τζόχαν. καὶ ὁ μὲν ἔχων τὸ μάλιν συνε[μ]φώνησεν τὸ κηντ(η)ν(ά)ρι, ταὐτὸν δ' εἰπεῖν τὸ καντ(ά)ρι, φλουριὰ ις΄, ὁ δὲ τὴν τζόχαν ἔχων συνε[μ]φώνησε δοῦναι τὰ ἡμίση τῶν ις΄ φλουριῶν χάραγμαν φλουριὰ η΄, τὰ δὲ ἕτερα η΄ τζόχαν. συνε[μ]φώνησε δὲ δοῦ-

---

6 ὑπερπύρων] οὐγγιῶν **C** 14 ζημιοῦσαι] **sic pro** ζημιοῖ **C**

ναι ἑκάστην κάναν εἰς τιμὴν φλουριῶν ς΄, ἥτις κάνα οὐ χρῄζει πλέον τῶν δ΄ φλουριῶν. ζητεῖς οὖν εἰδέναι, τί ἔρχεται ἔλαττο τὸ καντ(ά)ρι, τὸ μάλιν, ὅπερ συνε[μ]φωνήθη φλουριὰ ις΄, διὰ τὸ δέξασθαι λαβεῖν εἰς τιμὴν φλουριῶν ς΄ τὴν κάναν, ἥτις χρῄζει φλουριὰ δ΄.

ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. ὁ ἀγοράζων τὸ μάλιν δέδωκεν χάραγμαν φλουριὰ η΄ καὶ κάναν α΄ καὶ $\frac{\alpha}{\gamma}$· ς΄ γὰρ φλουριὰ ὑπὲρ τῆς μιᾶς κάνας καὶ β΄ φλουριὰ ὑπὲρ τοῦ $\frac{\alpha}{\gamma}$ – γίνεται κάνα α΄ καὶ $\frac{\alpha}{\gamma}$ φλουριὰ η΄, ὁμοῦ δὲ τὸ καντ(ά)ρ(ι) φλουριὰ ις΄. Πολλ(α)πλασίασον δὲ τὰ η΄ φλουριὰ τῆς α΄ κάνας καὶ $\frac{\alpha}{\gamma}$ μετὰ τῶν δ΄ φλουριῶν, ὧν ἀληθῶς χρῄζει ἡ μία κάνα· δ΄κις οὖν η΄ γίνονται λβ΄. μέρισον ταῦτα μετὰ τῶν ς΄ φλουριῶν, ὧν εἴπομεν, ὅτι δέχεται ὁ πωλῶν τὸ μάλιν τὴν τῶν δ΄ φλουριῶν κάναν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς φλουριὰ ε΄ καὶ $\frac{\alpha}{\gamma}$. ἕνωσον τὰ ε΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$ μετὰ τῶν η΄ φλουριῶν, ὧν ἔλαβεν εἰς χάραγμαν ὁ πωλῶν τὸ μάλιν, καὶ γίνονται ὁμοῦ φλουριὰ ιγ΄ καὶ $\frac{\alpha}{\gamma}$. καὶ ἰδοὺ τὸ καντ(ά)ρ(ι), τὸ μάλιν, ὅπερ συνε[μ]φωνήθη φλουριὰ ις΄, γίνεται ἡ τιμὴ τούτου φλουριὰ ιγ΄ καὶ $\frac{\alpha}{\gamma}$ διὰ τὸ δέξασθαι τὴν τῶν δ΄ φλουριῶν κάναν εἰς τιμὴν φλουριῶν ς΄. ἐξέπεσε δὲ τὸ καντ(ά)ρ(ι) ἀπὸ τῶν ις΄ φλουριῶν φλουριὰ β΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς φλουριοῦ.

$\not\chi$ β $\frac{\beta}{\varsigma}$
$\not\varsigma$
ε καὶ $\frac{\alpha}{\gamma}$

Καὶ ἄλλως. ἐπεὶ ἡ κάνα διὰ τῆς ἀληθοῦς τιμῆς χρῄζει φλουριὰ δ΄, δέδωκε δὲ κάναν α΄ καὶ $\frac{\alpha}{\gamma}$ εἰς φλουριὰ η΄, ἡ μὲν μία κάνα διὰ τῆς ἀληθοῦς τιμῆς χρῄζει φλουριὰ δ΄, τὸ δὲ $\frac{\alpha}{\gamma}$ τῆς μιᾶς κάνας εἰς τὴν αὐτὴν τιμὴν τῶν δ΄ φλουριῶν χρῄζει φλουριὰ α΄ καὶ $\frac{\alpha}{\gamma}$, τουτέστι κάνα α΄ καὶ $\frac{\alpha}{\gamma}$ φλουριὰ ε΄ καὶ $\frac{\alpha}{\gamma}$. ἕνωσον δὲ τὰ ε΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$ μετὰ τῶν η΄ φλουριῶν τοῦ χαράγματος καὶ γίνονται πάλιν ὁμοῦ φλουριὰ ιγ΄ καὶ $\frac{\alpha}{\gamma}$. λείπονται καὶ φλουριὰ β΄ καὶ $\frac{\beta}{\gamma}$ εἰς ἀποσωσμὸν τῶν ις΄ φλουριῶν.

πζ Περὶ τοῦ πῶς ἐστι τοῦτο χρήσιμον καὶ ἐπὶ πλείστων καντ(α)ρίων

Ἔστω δὲ ὅτι ὁ ἔχων τὸ μάλιν συνε[μ]φώνησε δοῦναι πρὸς τὸν ἔχοντα τὰς τζόχας μάλιν καντ(ά)ρι(α) λα΄, ἕκαστον καντ(ά)ρι εἰς φλουριὰ ιη΄. ὁ δὲ τὴν τζόχαν ἔχων συνε[μ]φώνησε δοῦναι τὴν μὲν ἡμίσειαν τιμὴν τῶν λα΄ καντ(α)ρί(ων) χάραγμαν, τὴν δὲ ἑτέραν ἡμίσειαν τιμὴν τζόχας, τὴν κάναν τὴν χρῄζουσαν φλουριὰ δ΄ πάλιν εἰς φλουριὰ ς΄. ζητεῖς δὲ εἰδέναι, πόσα ζημιωθήσεται ὁ ἔχων τὸ μάλιν ἐπὶ τῶν λα΄ καντ(α)ρ(ίων) διὰ τὸ δέξασθαι τὴν τῶν δ΄ φλουριῶν κάναν εἰς τιμὴν φλουριῶν ς΄.

Πολλ(α)πλασίασον τὰ λα΄ καντ(ά)ρι(α) οὐ μετὰ τῶν ιη΄ φλουριῶν, ὧν εἴπομεν, ὅτι χρῄζει ἕκαστον καντ(ά)ρι, ἀλλὰ μετὰ τῶν ἡμίσεων τῶν ιη΄ φλουριῶν, τουτέστι μετὰ τῶν θ΄· θ΄κις οὖν λα΄ γίνονται σοθ΄. καὶ ἰδοὺ ἡ ἡμίσεια τιμὴ τῶν λα΄ καντ(α)ρί(ων), ἕκαστον καντ(ά)ρ(ι) εἰς φλουριὰ ιη΄, ἐστὶ φλουριὰ σοθ΄. διπλασίασον τὰ σοθ΄ φλουριὰ καὶ γίνονται φλουριὰ φνη΄· ἐστὶ δὲ ἡ καθόλου τιμὴ τῶν λα΄ καντ(α)ρ(ίων) φλουριὰ φνη΄. δέδωκε δὲ ὁ ἀγοράζων τὸ μάλιν χάραγμαν φλουριὰ σοθ΄ καὶ τζόχαν κάνας τοσαύτας, ὅσαι εἰσὶ ἱκαναὶ πρὸς ς΄ φλουριὰ τὴν κάναν γενέσθαι φλουριὰ σοθ΄, καθὼς εἴπομεν τὴν μὲν ἡμίσειαν τιμὴν φλουριὰ χάραγμαν, τὴν δὲ ἑτέραν ἡμίσειαν τζόχαν.

γ α
β ζ θ|θ

Πολλ(α)πλασίασον τὴν ἡμίσειαν τιμὴν τῶν τζοχῶν, τουτέστι τὰ σοθ΄ φλουριά, μετὰ τῶν δ΄ φλουριῶν, ὧν ἀληθῶς χρῄζει ἑκάστην κάναν· δ΄κις οὖν σοθ΄ γίνονται ,αριϛ΄. μέρισον ταῦτα μετὰ τῶν ς΄ φλουριῶν, ὧν δέδωκεν ἑκάστην κάναν, καὶ γίνε-

---

1 κάναν] **sic C pro** κάνναν 10.13 πωλῶν] πουλῶν **C** 27 ἡμίσειαν] ἡ μείσι **C** 32 ἡμίσεων] ἡμησιν **C** 38.39 ἡμίσειαν] ἡμησιν 41 ἑκάστην κάναν] **sic C**

ται ὁ τούτων διαμερισμὸς ρπς΄. καὶ ἰδοὺ ἐξέπεσον τὰ σοθ΄ φλουριά, ἅπερ ἐστὶ ἡ ἡμίσεια τιμή, καὶ ἐγένοντο φλουριὰ ρπς΄ διὰ τὸ δέξασθαι τὴν τῶν δ΄ φλουριῶν ‖ κάναν εἰς τιμὴν φλουριῶν ς΄. ἔνωσον δὲ τὰ ρπς΄ φλουριὰ μετὰ τῆς ἡμισείας τιμῆς τῶν φλουριῶν, ἧς ἔλαβεν διὰ χαράγματος ὁ πωλῶν τὸ μάλιν, τουτέστι μετὰ τῶν σοθ΄ φλουριῶν, καὶ γίνονται ὁμοῦ φλουριὰ υξε΄. καὶ ἐπεὶ εἴπομεν, ὅτι ἡ καθόλου τιμὴ τῶν λα΄ καντ(α)ρί(ων) ἐστὶ φλουριὰ φνη΄, ἐγένετο δὲ ἡ ἀληθὴς τιμὴ τούτων φλουριὰ υξε΄, λείπονται εἰς ἀποσωσμὸν τῶν φνη΄ φλουριὰ Cγ΄. καὶ γὰρ Cγ΄ καὶ υξε΄ φνη΄ γίνονται. καὶ ἰδοὺ ὁ ἔχων τὸ μάλιν διὰ τὸ λαβεῖν τὴν τῶν δ΄ φλουριῶν κάναν εἰς φλουριὰ ς΄ ἐξέπεσεν φλουριὰ Cγ΄. ἐπὶ τῶν λα΄ καντ(α)ρ(ίων), [ὧν] ἕκαστον καντ(ά)ρι εἰς φλουριὰ ιη΄, γίνεται ἡ τιμὴ τούτων φλουριὰ φνη΄, ὡς εἴπομεν. Ἐὰν δὲ καὶ πόσας κάνας δέδωκεν ζητῇς, ἑκάστην κάναν φλουριὰ ς΄, πρὸς τὸ ποιῆσαι φλουριὰ σοθ΄ – τὴν ἡμίσειαν τιμὴν δηλονότι –, μέρισον ταύτην τὴν ἡμίσειαν τιμήν, ἥτις ἐστὶ φλουριὰ σοθ΄, μετὰ τῶν ς΄ φλουριῶν, ὧν δέδωκεν ἑκάστην κάναν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς μς΄ς΄΄. μέρισον καὶ τὰ ρπς΄ φλουριά, ἅπερ εἴπομεν, ὅτι ἐξέπεσον τὰ σοθ΄ καὶ ἐγένοντο ρπς΄, μετὰ τῶν δ΄ φλουριῶν, ὧν ἀληθῶς χρῄζει ἡ κάνα, καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν μς΄ς΄΄. καὶ ἰδοὺ μς΄ς΄΄ κάνας δέδωκεν, ἑκάστην μὲν κάναν εἰς φλουριὰ ς΄ γίνονται φλουριὰ σοθ΄, ἑκάστην δὲ κάναν εἰς φλουριὰ δ΄ γίνονται φλουριὰ ρπς΄. [ε] ἐξέπεσον δὲ τὰ σοθ΄ φλουριὰ καὶ ἐγένοντο ρπς΄ διὰ τὸ δέξασθαι λαβεῖν τὴν τῶν δ΄ φλουριῶν κάναν εἰς τιμὴν φλουριῶν ς΄. αἱ δὲ κάναι καὶ μετὰ τῆς τιμῆς τῶν ς΄ φλουριῶν μς΄ς΄΄ εἰσὶ καὶ μετὰ τῆς τιμῆς τῶν δ΄ φλουριῶν μς΄ς΄΄ εἰσί.

f. 46r


πη Περὶ τοῦ πῶς ἐστι τοῦτο χρήσιμον καὶ ἐπὶ τῆς μετάξης

Ἔστω ὅτι πωλεῖ τις μέταξαν λίτρας ,γφ΄, τὸ δεκάρι εἰς ὑπέρπυρα ο΄. καὶ τὰ μὲν ἡμίση τῶν ο΄ ὑπερπύρων, ἅπερ ἐστὶ ἑνὸς δεκαρίου ὑπέρπυρα, συνε[μ]φώνησεν δοῦναι ὁ ἀγοράζων ὑπέρπυρα καθαρά, ἅπερ ἐστὶ λε΄ ὑπέρπυρα, τὰ δὲ ἕτερα λε΄ συνε[μ]φώνησεν δοῦναι ἀσήμιν καὶ τζόχας, τὰ μὲν κα΄ ὑπέρπυρα ἀσήμιν καματεμένον οὐγγίας γ΄, τὰ ιδ΄ δὲ ὑπέρπυρα κάναν μίαν. ἐξέπιπτε δὲ εἰς τὰς γ΄ οὐγγίας τὸ ἀσήμιν ὑπέρπυρα γ΄· χρῄζουσι γὰρ αἱ γ΄ οὐγγίαι, ἃς δίδει ὁ ἀγοράζων, ὑπέρπυρα ιη΄, δέχεται δὲ ὁ πωλῶν τῶν ιη΄ ὑπερπύρων τὸ ἀσήμιν εἰς τιμὴν ὑπερπύρων κα΄. ὡσαύτως δέχεται καὶ τὴν κάναν τὴν τζόχαν, ἥτις χρῄζει ὑπέρπυρα ιβ΄, εἰς τιμὴν ιδ΄. ζημιοῦται δὲ εἰς τὴν κάναν ὑπέρπυρα β΄. ἐξέπιπτε δὲ εἰς τὰ λε΄ ὑπέρπυρα τῆς ἡμισείας τιμῆς ὑπέρπυρα ε΄, καὶ ἀντὶ τῶν λε΄ ὑπερπύρων λάμβανε μᾶλλον ὑπέρπυρα λ΄. ζητεῖς δὲ εἰδέναι, πόσα ὑπέρπυρα ἐλαττοῦται εἰς τὰς ,γφ΄ λίτρας διὰ τὸ λαβεῖν ἀσήμιν καὶ τζόχαν, ἄτινα ποιῶσι τὰ λε΄ ὑπέρπυρα τῆς ἡμισείας τιμῆς τῶν ο΄ ὑπερπύρων τοῦ ἑνὸς δεκαρίου ὑπέρπυρα λ΄.

Πρῶτον μὲν ζήτει, πόσα δεκάρια γίνονται αἱ ,γφ΄ λίτραι. μέρισον γὰρ τὰς ,γφ΄ λίτρας μετὰ τῶν ι΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τν΄. καὶ ἰδοὺ αἱ ,γφ΄ λίτραι γίνονται δεκάρια τν΄. πολλ(α)πλασίασον τὰ τν΄ δεκάρια μετὰ τῆς ἡμισείας τιμῆς τοῦ ἑνὸς δεκαρίου, ἥτις ἐστὶ ὑπέρπυρα λε΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα. καὶ ἰδοὺ ἡ ἡμίσεια τιμὴ τῶν ,γφ΄ λιτρῶν τῆς


---

8 (bis).10 Cγ΄] πγ **falso C** 28 καματεμένον] **sic pro** κεκαματευμένον **C** 29 κάναν μίαν] **sc.** τζόχαν ἐξέπιπτε] ἐξεπίπτει **C, item** 33



μετάξης ἐστὶ ὑπέρπυρα ,ι,β΄ καὶ σν΄. διπλασίασον ταύτας καὶ γίνονται ὑπέρπυρα ,κ,δ΄ καὶ φ΄ ὑπέρπυρα· ἐστὶ δὲ καὶ ἡ καθόλου τιμὴ τῶν ,γφ΄ λιτρῶν ὑπέρπυρα ,κ,δ΄ καὶ φ΄ ὑπέρπυρα. πολλ(α)πλασίασον δὲ τὴν ἡμίσειαν τιμήν, ἥτις ἐστὶ ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα, μετὰ τῶν λ΄ ὑπερπύρων, ὧν εἴπομεν, ὅτι ἐξεπίπτοσι τὰ λε΄ ὑπέρπυρα καὶ γίνονται ὑπέρπυρα λ΄ διὰ τὸ λαβεῖν ἀσήμιν καὶ τζόχαν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα ἓξ γράμματα γ ς ζ ε ι ι΄. μέρισον ταῦτα μετὰ τῶν λε΄ ὑπερπύρων τῆς ἡμισείας τιμῆς καὶ γίνεται ὁ τούτων διαμερισμὸς τὰ παρόντα πέντε γράμματα α ι ε ι ι΄, ἅπερ δηλῶσι ὑπέρπυρα ,ιφ΄. ἕνωσον τὰ ,ιφ΄ ὑπέρπυρα μετὰ τῆς ἡμισείας τιμῆς, ἧς ἔλαβεν διὰ καθαρῶν ὑπερπύρων – ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα – καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,κ,β΄ καὶ ψν΄ ὑπέρπυρα. καὶ ἐπεὶ ἡ καθόλου τιμὴ τῶν ,γφ΄ λιτρῶν ἐστι ὑπέρπυρα ,κ,δ΄ καὶ φ΄ ὑπέρπυρα, διὰ τὸ λαβεῖν δὲ ἀσήμιν καὶ τζόχαν ἐξέπεσον καὶ ἐγένοντο ὑπέρπυρα ,κ,β΄ καὶ ψν΄ ὑπέρπυρα, δῆλον ἡμῖν γίνεται, ὅτι ἐλαττοῦται ἐκ τῆς καθόλου τιμῆς τῶν ,κ,δ΄ καὶ φ΄ ὑπερπύρων ὑπέρπυρα ,αψν΄.

Καὶ ἄλλως προχειροτέρως. τὸ δεκάρι εἴπομεν, ὅτι συνε[μ]φωνήθη εἰς ὑπέρπυρα ο΄, αἱ δὲ ,γφ΄ λίτραι εἰσὶ δεκάρια τν΄. καὶ ἐπεὶ εἴπομεν, ὅτι τὰ ἡμίση τῶν ο΄ ὑπερπύρων, ἅπερ ἐστὶ ὑπέρπυρα λε΄, γίνονται ὑπέρπυρα λ΄ διὰ τὸ λαβεῖν ἀσήμιν καὶ τζόχαν, τὸ δεκάρι χρῄζει ὑπέρπυρα ξε΄· καὶ γὰρ λε΄ ὑπέρπυρα καθαρὰ καὶ λ΄ ὑπέρπυρα τοῦ ἀσημιοῦ καὶ τῆς τζόχας γίνονται ὁμοῦ ὑπέρπυρα ξε΄. ἐπεὶ οὖν τὸ μὲν δεκάρι χρῄζει ὑπέρπυρα καθαρὰ ξε΄ ἀντὶ τῶν ο΄, αἱ δὲ ,γφ΄ λίτραι εἰσὶ δεκάρια τν΄, πολλ(α)πλασίασον τὰ τν΄ δεκάρια μετὰ τῶν ξε΄ καθαρῶν ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς πάλιν ὑπέρπυρα ,κ,β΄ καὶ ψν΄ ὑπέρπυρα. καὶ ἰδοὺ καὶ οὕτως εὗρες προχειροτέρως, ὅτι γίνεται ἡ καθαρὰ τιμὴ τῶν ,γφ΄ λιτρῶν τῆς μετάξης ὑπέρπυρα ,κ,β΄ καὶ ψν΄ ὑπέρπυρα.



Ἐὰν δὲ ζητῇς εἰδέναι, καὶ πόσες οὐγγίας ἀσήμιν ἔλαβεν καὶ πόσες κάνας τζόχαν· εἴπομεν, ὅτι ἡ ἡμίσεια τιμὴ τῶν ο΄ ὑπερπύρων, ὧν χρῄζει τὸ δεκάρι, ἐστὶ ὑπέρπυρα λε΄ – τὰ μὲν κα΄ ὑπέρπυρα ἀσήμιν, τὰ ιδ΄ δὲ ὑπέρπυρα τζόχαν κάναν μίαν. τὰ δὲ κα΄ ὑπέρπυρα τοῦ ἀσημιοῦ πρὸς τὰ ιδ΄ τῆς τζόχας συ[ν]γκρινόμενα ἔχουσι λόγον, ὃν ἔχουσ(ι) τὰ γ΄ πρὸς τὰ β΄, τουτέστι $\frac{\gamma}{\beta}$· δὶς γὰρ ζ΄ γίνονται ιδ΄ καὶ τρὶς ζ΄ γίνονται κα΄. ἡ ἡμίσεια οὖν τιμὴ τοῦ καθόλου μεταξιοῦ ἐστι ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα. ἐξ αὐτῶν δὲ τῶν ὑπερπύρων τὸ μὲν ἀσήμιν οἰκειοῦται γ΄ τρίτα, αἱ δὲ τζόχαι β΄ τρίτα· καθ᾽ ὃν λόγον ‖ οὕτως ἔχουσι τὰ γ΄ πρὸς τὰ β΄, ὡς καὶ τὰ κα΄ ὑπέρπυρα πρὸς τὰ ιδ΄. ἕνωσον δὲ τὰ γ΄ καὶ β΄ καὶ γίνονται ε΄. μέρισον τὰς ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα μετὰ τῶν ε΄, τουτέστι εἰς μέρη πέντε, καὶ γίνεται τὸ πέμπτον μέρος τῶν **f. 46^{v}**


---


divisio prima: auctor numeros exstinguere oblitus est.

divisio secunda: ϡ ⊄ ζ ⊄ ⊄ ⊄] ϡ ⊄ ζ ⊄ ι ι **C**


4 ἐξεπίπτοσι] **sic pro** ἐξέπιπτον **C** 27 πόσες] **sic C** 31 $\frac{\gamma}{\beta}$] $\frac{\beta}{\gamma}$ **falso C** 33/34 τρίτα] πέμπτα **rectum esset.**

,ι,β΄ καὶ σν΄ ὑπερπύρων ὑπέρπυρα ,βυν΄. ἐπεὶ οὖν τὸ μὲν ἀσήμιν οἰκειοῦται μέρη γ΄, αἱ δὲ τζόχαι β΄, τριπλασίασον τὰ ,βυν΄ ὑπέρπυρα· τρὶς οὖν ,βυν΄ γίνονται ,ζτν΄. διπλασίασον πάλιν τὰ ,βυν΄ ὑπέρπυρα· δὶς οὖν ,βυν΄ γίνονται ,δ≫΄. καὶ ἰδοὺ τὸ μὲν ἀσήμιν οἰκειοῦται ἐκ τῶν ,ι,β΄ καὶ σν΄ ὑπερπύρων ὑπέρπυρα ,ζτν΄, αἱ δὲ τζόχαι οἰκειοῦνται ὑπέρπυρα δ≫΄. ἕνωσον δὲ τὰ ,ζτν΄ ὑπέρπυρα τοῦ ἀσημιοῦ μετὰ τῶν ,δ≫΄ ὑπερπύρων τῶν τζοχῶν καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα.





Ἵνα δὲ ἴδῃς, καὶ πόσαι οὐγγίαι ἀσήμιν γίνονται τὰ ,ζτν΄ ὑπέρπυρα καὶ πόσαι κάναι τὰ ,δ≫΄ ὑπέρπυρα· ἑκάστη μὲν οὐγγία χρῄζει ὑπέρπυρα ζ΄, καθὼς εἴπομεν, ὅτι τὰ κα΄ ὑπέρπυρα δέχεται ὁ πωλῶν τὸ μετάξιν εἰς οὐγγίας γ΄, ἑκάστη δὲ κάνα χρῄζει ὑπέρπυρα ιδ΄, καθὼς εἴπομεν, ὅτι δέχεται τὴν κάναν εἰς ὑπέρπυρα ιδ΄. θὲς οὖν ἄνωθεν μὲν τὰ ,ζτν΄ ὑπέρπυρα τοῦ ἀσημιοῦ, κάτωθεν δὲ μεριστὴν μιᾶς οὐγγίας ὑπέρπυρα, τουτέστι ὑπέρπυρα ζ΄. καὶ μέρισον τὰ ,ζτν΄ ὑπέρπυρα μετὰ τῶν ζ΄ ὑπερπύρων τῆς μιᾶς οὐγγίας καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς τὰ παρόντα τέσσερα γράμματα α υ ε υ΄, ἅπερ δηλῶσι ,αν΄. καὶ ἰδοὺ τὰ ,ζτν΄ ὑπέρπυρα, ἅπερ οἰκειοῦται τὸ ἀσήμιν, γίνονται οὐγγίαι ,αν΄. θὲς δὲ πάλιν ἄνωθεν μὲν τὰ ,δ≫΄ ὑπέρπυρα τῶν τζοχῶν, κάτωθεν δὲ μεριστὴν μιᾶς κάνας ὑπέρπυρα, τουτέστι ὑπέρπυρα ιδ΄. μέρισον δὲ τὰ ,δ≫΄ ὑπέρπυρα μετὰ τῶν ιδ΄ ὑπερπύρων τῆς μιᾶς κάνας καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς τὰ παρόντα τρία γράμματα γ ε υ΄, ἅπερ δηλῶσι τν΄. καὶ ἰδοὺ τὰ ,δ≫΄ ὑπέρπυρα, ἅπερ οἰκειοῦνται αἱ τζόχαι, ἑκάστη κάνα ὑπέρπυρα ιδ΄, γίνονται κάναι τν΄. ἡ ἡμίσεια οὖν τιμή, ἅπερ ἐστὶ ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα, ἐδόθη ἀσήμι – ἑκάστη οὐγγία ὑπέρπυρα ζ΄ – οὐγγίας ,αν΄ καὶ τζόχαι – ἑκάστη κάνα ὑπέρπυρα δ΄ – κάνας τν΄. ἡ δὲ ἑτέρα ἡμίσεια τιμὴ ἐδόθη ὑπέρπυρα καθαρὰ ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα, ὁμοῦ δὲ ἡ καθόλου τιμὴ τῶν ,γφ΄ λιτρῶν ὑπέρπυρα ,κ,δ΄ καὶ φ΄ ὑπέρπυρα. διὰ δὲ τὸ λαβεῖν ἀσήμιν καὶ τζόχαν ἐλαττοῦται ἐκ τῆς τοιαύτης τιμῆς ὑπέρπυρα ,αψν΄ καὶ ἀπομένοσι καθαρὰ ὑπέρπυρα ,κ,β΄ καὶ ψν΄ ὑπέρπυρα.




ἡ δὲ ἀπόδειξίς ἐστι αὕτη. εἴπομεν, ὅτι δέχεται κα΄ ὑπέρπυρα εἰς οὐγγίας γ΄, ἑκάστη οὐγγία ὑπέρπυρα ζ΄, χρῄζοσι δὲ αἱ γ΄ οὐγγίαι ὑπέρπυρα ιη΄· ζημιοῦται δὲ ἐφ᾽ ἑκάστης οὐγγίας ὑπέρπυρον α΄. ἐπεὶ οὖν εἰς τὰς γ΄ οὐγγίας ζημιοῦται ὑπέρπυρα γ΄, εἰς τὰς ,αν΄ οὐγγίας ζημιοῦται ὑπέρπυρα ,αν΄, ἔχεις οὖν παραφθορὰν εἰς τὰς ,αν΄ οὐγγίας ὑπέρπυρα ,αν΄. εἴπομεν δέ, ὅτι ζημιοῦται καὶ εἰς τὴν κάναν ὑπέρπυρα β΄· τῶν γὰρ ιδ΄ ὑπερπύρων ἡ κάνα χρῄζει ὑπέρπυρα ιβ΄. ζημιοῦται δὲ εἰς τὰς τν΄ κάνας ὑπέρπυρα ψ΄. ἔχεις οὖν παραφθορὰν εἰς τὰς τν΄ κάνας ὑπέρπυρα ψ΄. ἕνωσον τὰ ,αν΄ ὑπέρπυρα μετὰ τῶν ψ΄ ὑπερπύρων καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,αψν΄. καὶ ἰδοὺ αὕτη ἐστὶ ἡ πρώτη ἀπόδειξις, ὅτι ,αν΄ οὐγγίας ἀσήμιν ἔλαβεν ὁ πωλῶν καὶ τν΄ κάνας τζόχαν.


ἔστι δὲ καὶ δευτέρα ἀπόδειξις. ἄφελε τὰ ,αψν΄ ὑπέρπυρα, ἅπερ ἐξέπιπτε ὁ πωλῶν, ἐκ

---

additio: ,δ≫] δ≫ **C** 27 οὐγγίας] $\overset{\alpha\iota}{\Gamma\Gamma}$, **i. e.** οὐγγίαι **C** 33 ὑπέρπυρα] ΐ΄ **C** 43 ἐξέπιπτε] ἐξεπίπτει **C**

τῶν ,ι,β΄ καὶ σν΄ ὑπερπύρων καὶ ἀπομένοσι ὑπέρπυρα ,ιφ΄. μέρισον ταῦτα μετὰ τῶν ε΄, δι᾽ ὧν ἐμέρισας πρότερον καὶ τὰς ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ,βρ΄. τριπλασίασον δὲ ταῦτα, καθὼς οὕτως καὶ πρότερον ἐποίησας· τρὶς οὖν ,βρ΄ γίνονται ,ςτ΄. διπλασίασον τὰ ,βρ΄· δὶς οὖν ,βρ΄ γίνονται ,δσ΄. καὶ ἰδοὺ τὸ μὲν ἀσήμιν οἰκειοῦται ἐκ τῶν ,ιφ΄ ὑπερπύρων ὑπέρπυρα ,ςτ΄, αἱ δὲ τζόχαι οἰκειοῦνται ,δσ΄ ὑπέρπυρα. ἕνωσον δὲ τὰ ,ςτ΄ ὑπέρπυρα τοῦ ἀσημιοῦ μετὰ τῶν ,δσ΄ ὑπερπύρων τῶν τζοχῶν καὶ γίνονται ὁμοῦ πάλιν ὑπέρπυρα ,ιφ΄. μέρισον δὲ τὰ ,ςτ΄ καθαρὰ ὑπέρπυρα, ἅπερ οἰκειοῦται τὸ ἀσήμιν, μετὰ ς΄ ὑπερπύρων, ὧν χρῄζει ἑκάστη οὐγγία καθαρὰ ὑπέρπυρα ς΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ,αν΄. καὶ ἰδοὺ καὶ οὕτως εὗρες, ὅτι τὰ ,ςτ΄ ὑπέρπυρα γίνονται οὐγγίαι ,αν΄, ἑκάστη οὐγγία ὑπέρπυρα ς΄. μέρισον δὲ καὶ τὰ ,δσ΄ καθαρὰ ὑπέρπυρα, ἅπερ οἰκειοῦται ἡ τζόχα, μετὰ τῶν ιβ΄ ὑπερπύρων, ὧν χρῄζει ἑκάστη κάνα καθαρὰ ὑπέρπυρα ιβ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς τν΄. καὶ ἰδοὺ καὶ οὕτως εὗρες, ὅτι τὰ ,δσ΄ ὑπέρπυρα γίνονται κάναι τν΄, ἑκάστη κάνα ὑπέρπυρα ιβ΄. καὶ αὕτη ἐστὶ δευτέρα ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.






ὡσαύτως δὲ καὶ πᾶν ἕτερον ζήτημαν τούτου ὅμοιον διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον, ὁπόταν εἰδέναι ἔχῃς τὴν παραφθορὰν τοῦ ἀσημιοῦ καὶ τῶν τζοχῶν εἰς τὸ δεκάρι.


εἰ δὲ οὐ δύνασαι εἰδέναι τὴν παραφθορὰν εἰς τὸ δεκάρι, ἀλλ᾽ εἰς τὴν καθόλου τιμήν, ποίησον οὕτως. ἔστω ὅτι εὑρέθη[ν] τὸ μετάξιν πάλιν δεκάρια τν΄, τουτέστι – ὡς εἴπομεν – λίτραι ,γφ΄. συνε[μ]φώνησεν δὲ πάλιν ὁ ἀγοράζων ὑπέρπυρα ο΄ τὸ δεκάρι. τὴν δὲ καθόλου τιμὴν τῶν ,γφ΄ λιτρῶν, ταὐτὸν δ᾽ εἰπεῖν τῶν τν΄ δεκαρίων, συνε[μ]φώνησεν δοῦναι τὴν μὲν ἡμίσειαν τιμὴν ὑπέρπυρα καθαρά, τὴν δὲ ἑτέραν ἡμίσειαν τὰ τρία μὲν μέρη ταύτης ἀσήμιν, ἑκάστην οὐγγίαν εἰς ὑπέρπυρα ζ΄, ἥτις χρῄζει ὑπέρπυρα ς΄, τὰ δύο δὲ μέρη ταύτης τζόχας, ἑκάστην κάναν εἰς ὑπέρπυρα ιδ΄, ἥτις χρῄζει ὑπέρπυρα ιβ΄. ζητεῖς δὲ εἰδέναι ἐκ || τῆς ὅλης τιμῆς, πόσα ὑπέρπυρα ἐξέπιπτε διὰ τὸ δέξασθαι τὴν τῶν ς΄ ὑπερπύρων τὴν οὐγγίαν εἰς ὑπέρπυρα ζ΄ καὶ τὴν τῶν ιβ΄ ὑπερπύρων κάναν εἰς ὑπέρπυρα ιδ΄ καὶ πόσας οὐγγίας ἀσήμιν ἔχει λαβεῖν καὶ πόσας κάνας τζόχαν. f. 47^{r}

Πολλ(α)πλασίασον τὰ τν΄ δεκάρια οὐ μετὰ τῶν ο΄ ὑπερπύρων, ὧν χρῄζει ἕκαστον δεκάρι, ἀλλὰ μετὰ τῆς ἡμισείας τιμῆς τούτου, τουτέστι μετὰ τῶν λε΄ ὑπερπύρων, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ι,β΄ καὶ σν΄. καὶ ἰδοὺ πάλιν ἡ ἡμίσεια τιμὴ τούτων ἐστὶ ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα. διπλασίασον ταύτας καὶ γίνεται ἡ καθόλου τιμὴ ὑπέρπυρα ,κ,δ΄ καὶ φ΄ ὑπέρπυρα. μέρισον δὲ πάλιν τὴν ἡμίσειαν τιμήν, ἥτις ἐστὶ ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα, μετὰ τῶν ε΄ ὡς καὶ πρότερον καὶ γίνεται ὁ τούτων διαμερισμὸς ,βυν΄. τριπλασίασον ταῦτα· τρὶς οὖν ,βυν΄



33 ἐξέπιπτε] **iterum** ἐξεπίπτει **C** 42 ταύτας] **sic C**

γίνονται ,ζτν΄. διπλασίασον τὰ ,βυν΄· δὶς οὖν ,βυν΄ γίνονται ,δ≫΄. καὶ ἰδοὺ τὰ μὲν τρία μέρη, ἅπερ οἰκειοῦται τὸ ἀσήμιν ἐκ τῆς ἡμισείας τιμῆς τῶν ,ι,β΄ καὶ σν΄ ὑπερπύρων, ἐστὶ ὑπέρπυρα ,ζτν΄, τὰ δὲ δύο μέρη, ἅπερ οἰκειοῦνται αἱ τζόχαι, ἐστὶ ὑπέρπυρα ,δ≫΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,ι,β΄ καὶ σν΄ ὑπέρπυρα. μέρισον τὰ ,ζτν΄ ὑπέρπυρα μετὰ τῶν ζ΄ ὑπερπύρων τὴν οὐγγίαν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ,αν΄. καὶ ἰδοὺ τὰ ,ζτν΄ ὑπέρπυρα, ἀνὰ ζ΄ ὑπέρπυρα τὴν οὐγγίαν, γίνονται οὐγγίαι ,αν΄. μέρισον καὶ τὰ ,δ≫΄ ὑπέρπυρα τῶν τζοχῶν μετὰ τῶν ιδ΄ ὑπερπύρων τὴν κάναν καὶ γίνεται ὁ τούτων διαμερισμὸς τν΄. καὶ ἰδοὺ τὰ ,δ≫΄ ὑπέρπυρα, ἀνὰ ιδ΄ ὑπέρπυρα τὴν κάναν, γίνονται κάναι τν΄, καθὼς οὕτως καὶ πρότερον εὗρες οὐγγίας μὲν ,αν΄, κάνες δὲ τν΄.




ἐπεὶ οὖν οἶδας, ὅτι ἐφ᾽ ἑκάστης οὐγγίας τῶν ζ΄ ὑπερπύρων ἐκπίπτει ὁ δεξάμενος ταύτην ὑπέρπυρον α΄ – χρῄζει γὰρ ὑπέρπυρα ς΄ – ἄφελε ἐκ τῶν ,αν΄ οὐγγιῶν ὑπέρπυρα ,αν΄. ἄφελε καὶ ἀπὸ τῶν τν΄ κανῶν ἐφ᾽ ἑκάστης κάνας ὑπέρπυρα β΄, ἐπεὶ ἑκάστη κάνα τῶν ιδ΄ ὑπερπύρων χρῄζει ὑπέρπυρα ιβ΄· δὶς οὖν τν΄ γίνονται ψ΄. ἕνωσον τὰ ψ΄ ὑπέρπυρα, τὴν παραφθορὰν τῶν τζοχῶν, μετὰ τῶν ,αν΄ ὑπερπύρων τῆς παραφθορᾶς τοῦ ἀσημιοῦ καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,αψν΄. ἄφελε δὲ ταῦτα ἐκ τῆς καθόλου ποσότητος τῶν ,κ,δ΄ καὶ φ΄ ὑπερπύρων καὶ ἀπομένοσι καθαρὰ ὑπέρπυρα ,κ,β΄ καὶ ψν΄ ὑπέρπυρα, καθὼς οὕτως καὶ πρότερον εἴπομεν. καὶ ἰδοὺ καὶ ἐκ τῆς ὅλης τιμῆς τῶν ,κ,δ΄ καὶ φ΄ ὑπερπύρων εὗρες τὸν ἐξεπεσμὸν ὑπέρπυρα ,αψν΄ – καὶ τὸ μὲν ἀσήμιν οὐγγίας ,αν΄, τὴν δὲ τζόχαν κάνας τν΄ –, ὥσπερ οὕτως εὗρες πρότερον καὶ ἀπὸ τῆς τοῦ ἑνὸς δεκαρίου τιμῆς τῶν ο΄ ὑπερπύρων.

ὡσαύτως δὲ καὶ πᾶν ἕτερον τούτων ὅμοιον ζήτημαν διὰ τῆς ὁμοίας μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς τὸ ζητούμενον.

πϑ Περὶ ἐὰν β΄ϛ″ λίτραι μετάξης χρῄζωσι φλουριὰ β΄ καὶ $\frac{\alpha}{\gamma}$, τὰ γ΄ϛ″ φλουριὰ πόσαι λίτραι μετάξης γίνονται

Ἔστω ὅτι ζητεῖς εἰδέναι, ἐὰν μετάξης λίτραι $\beta'\frac{\alpha}{\beta}$ χρῄζ(ω)σι φλουριὰ β΄ καὶ $\frac{\alpha}{\gamma}$, τὰ $\gamma'\frac{\alpha}{\beta}$ φλουριὰ πόσαι λίτραι γίνονται.


τοῦτο οὖν ἐστι ὅμοιον ζήτημαν ὥσπερ ἐκεῖνο, ὃ προείπομεν ἐν τῷ < > κεφαλαίῳ· εὑρίσκεται γὰρ καὶ τοῦτο διὰ τῆς μεταχειρίσεως τῆς διὰ τῶν τριῶν. ποίησον τὰς $\beta'\frac{\alpha}{\beta}$ λίτρας μισάς· δὶς οὖν β΄ γίνονται δ΄, καὶ α΄ τὸ ἄνωθεν τῆς κεραίας γραμμῆς – ὁμοῦ ε΄ μισὰ αἱ $\beta'\frac{\alpha}{\beta}$ λίτραι. θὲς οὖν ἄνωθέν τινος κεραίας γραμμῆς ε΄, κάτωθεν δὲ ταύτης β΄ πρὸς δήλωσι(ν), ὅτι τὰ ἄνωθεν ε΄ ἐστὶ μισά.



16 κάνες, i. e. κάνας] κάναις **C** 35 < > **auctor numerum capitis omisit, sed spatium reliquit: videlicet** πεντηκοστῷ τετάρτῳ **supplendum est.** 40 μισὰ] **vel** μισαὶ **C**

ποίησον δὲ καὶ τὰ β΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$ τρίτα· τρὶς οὖν β΄ γίνονται ς΄, καὶ α΄ τὸ ἄνωθεν τῆς κεραίας γραμμῆς – ὁμοῦ ζ΄ τρίτα τὰ β΄ φλουριὰ καὶ $\frac{\alpha}{\gamma}$. θὲς οὖν ἄνωθέν τινος κεραίας γραμμῆς ζ΄, κάτωθεν δὲ ταύτης γ΄ πρὸς δήλωσι(ν), ὅτι τὰ ἄνωθεν ζ΄ ἐστὶ τρίτα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ κάτωθεν γ΄ μετὰ τῶν ἄνωθεν ε΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. ἐστὶ δὲ ταῦτα ὁ πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς ἐναλλὰξ τὰ κάτωθεν β΄ μετὰ τῶν ἄνωθεν ζ΄· δὶς οὖν ζ΄ γίνονται ιδ΄. ἐστὶ δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον δὲ τὰ γ΄$\frac{\alpha}{\beta}$ φλουριὰ μετὰ τῶν ιε΄, ὧν εἴπομεν, ὅτι ἐστὶ πολλ(α)πλασιαστής· ς″κις οὖν ιε΄ γίνονται ζ΄ς″ καὶ τρὶς ιε΄ γίνονται με΄. ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ νβ΄ς″. ἐπεὶ οὖν οὐκ ἔχεις καλῶς διαμερίσαι τὰ νβ΄ς″ μετὰ τῶν ιδ΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής· τὰ νβ΄ς″ γίνονται μισὰ ρε΄ καὶ τὰ ιδ΄ γίνονται μισὰ κη΄. μέρισον τὰ ρε΄ μισὰ μετὰ τῶν κη΄ μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς γ΄ καὶ $\frac{\beta\,\alpha}{\beta\,\eta}$, τουτέστι γ΄ καὶ $\frac{\gamma}{\delta}$· τρὶς γὰρ ζ΄ γίνονται κα΄ καὶ δ΄κις ζ΄ γίνονται κη΄. καὶ ἰδοὺ ἐὰν λίτραι β΄$\frac{\alpha}{\beta}$ χρῄζωσι φλουριὰ β΄ καὶ $\frac{\alpha}{\gamma}$, τὰ γ΄$\frac{\alpha}{\beta}$ φλουριὰ ὠνῶνται λίτρας γ΄ καὶ $\frac{\gamma}{\delta}$ μιᾶς λίτρας.


Καὶ τὸ ἀνάπαλιν. ἐὰν φλουριὰ β΄ καὶ $\frac{\alpha}{\gamma}$ χρῄζ(ω)σι λίτρας β΄$\frac{\alpha}{\beta}$, τὰ γ΄$\frac{\alpha}{\beta}$ φλουριὰ πόσας λίτρας χρῄζ(ο)σι;



θὲς οὖν ἄνωθεν ζ΄, κάτωθεν δὲ γ΄ ὑπὲρ τῶν β΄ φλουριῶν καὶ $\frac{\alpha}{\gamma}$. θὲς καὶ ἄνωθεν ε΄, κάτωθεν δὲ β΄ ὑπὲρ τῶν β΄$\frac{\alpha}{\beta}$ λιτρῶν. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ κάτωθεν β΄ μετὰ τῶν ἄνωθεν ζ΄· δὶς οὖν ζ΄ γίνονται ιδ΄. ἐστὶ δὲ ταῦτα οὐ πολλ(α)πλασιαστής, ὥσπερ εἴπομεν πρότερον, ἀλλὰ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ κάτωθεν γ΄ μετὰ τῶν ἄνωθεν ε΄· τρὶς οὖν ε΄ γίνονται ιε΄. ἐστὶ δὲ ταῦτα οὐ μεριστής, ὥσπερ εἴπομεν πρότερον, ἀλλὰ πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον δὲ τὰ γ΄$\frac{\alpha}{\beta}$ φλουριὰ μετὰ τῶν ιε΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς νβ΄ς″, τουτέστι ρε΄ μισά. μέρισον ταῦτα μετὰ τῶν κη΄ μισῶν τῶν ιδ΄ ἀκεραίων καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν γ΄ καὶ $\frac{\gamma}{\delta}$. ‖ καὶ ἰδοὺ ἐὰν φλουριὰ β΄ καὶ $\frac{\alpha}{\gamma}$ χρῄζωσι μετάξιν λίτρας β΄$\frac{\alpha}{\beta}$, τὰ γ΄$\frac{\alpha}{\beta}$ φλουριὰ χρῄζοσι λίτρας γ΄ καὶ $\frac{\gamma}{\delta}$ μιᾶς λίτρας. ὥσπερ γάρ – ἐὰν β΄$\frac{\alpha}{\beta}$ λίτραι χρῄζ(ω)σι φλουριὰ β΄ καὶ $\frac{\alpha}{\gamma}$ – εὗρες, ὅτι τὰ γ΄$\frac{\alpha}{\beta}$ φλουριὰ χρῄζοσι λίτρας γ΄ καὶ $\frac{\gamma}{\delta}$, οὕτως καὶ τὸ ἀνάπαλιν, ἐὰν φλουριὰ β΄ καὶ $\frac{\alpha}{\gamma}$ χρῄζ(ω)σι λίτρας β΄$\frac{\alpha}{\beta}$, τὰ γ΄ς″ φλουριὰ πάλιν χρῄζοσι λίτρας γ΄ καὶ $\frac{\gamma}{\delta}$. f. 47^{v}

ς Περὶ τοῦ πῶς τοῦτο καὶ ἐπὶ πλείστων λιτρῶν ἐστι χρήσιμον

Ἔστω ὅτι ζητεῖς εἰδέναι, ἐὰν μετάξης λίτραι σν΄ χρῄζωσι φλουριὰ σκε΄, τὰ τλζ΄ς″ φλουριὰ πόσας λίτρας μετάξης προσοικειοῦνται κατὰ τὸ αὐτὸ ἀνάλογον τίμημα.



θὲς ἄνωθεν μὲν τὰς σν΄ λίτρας τῆς μετάξης, κάτωθεν δὲ τούτων θὲς α΄ πρὸς δή-

λωσι(ν), ὅτι αἱ ἄνωθεν σν΄ λίτραι εἰσὶ ἀκέραιαι. θὲς πάλιν ἄνωθεν μὲν τὰ σκε΄ φλουριά, ἅπερ εἴπομεν, ὅτι χρῄζοσ(ι) αἱ σν΄ λίτραι, κάτωθεν δὲ τούτων θὲς α΄ πρὸς δήλωσ(ιν), ὅτι τὰ ἄνωθεν σκε΄ φλουριά εἰσι ἀκέραια. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὸ κάτωθεν τῶν σκε΄ φλουριῶν α΄ μετὰ τῶν ἄνωθεν σν΄ λιτρῶν· ἅπαξ οὖν σν΄ πάλιν ἐστὶ σν΄. ἐστὶ δὲ ταῦτα ὁ πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς καὶ τὸ κάτωθεν τῶν σν΄ λιτρῶν α΄ μετὰ τῶν ἄνωθεν σκε΄ φλουριῶν· ἅπαξ οὖν σκε΄ πάλιν ἐστὶ σκε΄. ἐστὶ δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον δὲ [τὰς] τὰ τλζ΄$\frac{\alpha}{\beta}$ φλουριὰ μετὰ τῶν σν΄ λιτρῶν, ὧν εἴπομεν, ὅτι ἐστὶ πολλ(α)πλασιαστής· ϛ″κις οὖν σν΄ γίνονται ρκε΄. θὲς οὖν ρκε΄. ἔπειτα πολλ(α)πλασίασον καὶ τὰ τλζ΄ φλουριὰ μετὰ τῶν σν΄ λιτρῶν καὶ ἕνωσον τὰ πολλ(α)πλασιασθέντα μέρη καὶ γίνεται ὁ τέλειος τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα πέντε γράμματα η δ γ ζ ε΄. μέρισον ταῦτα μετὰ τῶν σκε΄ φλουριῶν, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τέλειος τούτων διαμερισμὸς τοε΄. καὶ ἰδοὺ ἐὰν αἱ σν΄ λίτραι χρῄζωσι φλουριὰ σκε΄, τὰ τλζ΄$\frac{\alpha}{\beta}$ φλουριὰ κατὰ τὸ αὐτὸ τίμημα προσοικειοῦνται λίτρας τοε΄.


ἡ δὲ ἀπόδειξίς ἐστι αὕτη. σκε΄ φλουριὰ καὶ τὰ ἡμίση τούτων ριβ΄ϛ″ γίνονται ὁμοῦ φλουριὰ τλζ΄ϛ″. καὶ ὥσπερ εἴπομεν, ὅτι αἱ σν΄ λίτραι οἰκειοῦνται φλουριὰ σκε΄, οὕτως καὶ τὰ τλζ΄ϛ″ φλουριὰ οἰκειοῦνται λίτρας τοε΄. ὥσπερ γὰρ προσέθηκας ἐπὶ τῶν σκε΄ φλουριῶν ριβ΄ϛ″ φλουριά, ἅπερ ἐστὶ τὰ ἡμίσ(η) τῶν σκε΄, καὶ ἐγένοντο φλουριὰ τλζ΄ϛ″, οὕτως πρόσθες τὰ ἡμίση τῶν σν΄ λιτρῶν, ἅπερ ἐστὶ λίτραι ρκε΄, καὶ γίνονται ὁμοῦ λίτραι τ ζ ε΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον – ἐπὶ τοῦ παρόντος ζητήματος τῶν τλζ΄ϛ″ φλουριῶν· οὐ γὰρ ἐπὶ πάντων χρήσιμος ἡ ἀπόδειξις αὕτη.

Καὶ τὸ ἀνάπαλι(ν). ἐὰν φλουριὰ σκε΄ οἰκειοῦνται λίτρας σν΄, τὰ τλζ΄ϛ″ φλουριὰ πόσας λίτρας οἰκειοῦνται;


θὲς ἄνωθεν τὰ σκε΄ φλουριά, κάτωθεν δὲ α΄. θὲς ἄνωθεν καὶ τὰς σν΄ λίτρας, κάτωθεν δὲ α΄. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὸ κάτωθεν α΄ μετὰ τῶν ἄνωθεν σκε΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς πάλιν σκε΄· ἐστὶ δὲ ταῦτα οὐ πολλ(α)πλασιαστής, ἀλλὰ μᾶλλον μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὸ κάτωθεν α΄ μετὰ τῶν ἄνωθεν σν΄ λιτρῶν καὶ πάλιν γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς σν΄· ἐστὶ δὲ ταῦτα οὐ μεριστής, ἀλλὰ μᾶλλον πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον δὲ τὰ τλζ΄ϛ″ φλουριὰ μετὰ τῶν σν΄ λιτρῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς πάλιν η δ γ ζ ε΄. μέρισον ταῦτα μετὰ τῶν σκε΄ φλουριῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς πάλιν λίτραι τοε΄ ὡς τὸ πρότερον. καὶ ἰδοὺ ἐὰν φλουριὰ σκε΄ οἰκειοῦνται λίτρας σν΄, τὰ τλζ΄ϛ″ φλουριὰ οἰκειοῦνται λίτρας τοε΄, ὥσπερ καὶ τὸ ἀνάπαλιν· ἐὰν λίτραι σν΄ χρῄζωσι φλουριὰ σκε΄, τὰ τλζ΄ϛ″ φλουριὰ οἰκειοῦνται

φ σκε / α — μεριστής

σν / α — πολλ(α)πλασιαστής



φ τλζ ϛ″




---

20 τ ζ ε΄] **sic C pro** γ ζ ε΄ **sive** τοε΄

λίτρας τοε΄.

Καὶ τὸ ἀνάπαλι(ν). ἐὰν λίτραι σν΄ χρῄζωσι φλουριὰ σκε΄, αἱ τοε΄ λίτραι πόσα φλουριὰ χρῄζουσι;

πολλ(α)πλασίασον τὰς τοε΄ λίτρας μετὰ τῶν σκε΄ φλουριῶν καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα η δ γ ζ ε΄. μέρισον ταῦτα μετὰ τῶν σν΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς τλζ΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\alpha\,\beta\,\varepsilon}{\beta\,\varepsilon\,\mu}$, τουτέστι τλζ΄ς″· ὃν γὰρ λόγον ἔχει τὸ α΄ πρὸς τὰ β΄, τὸν αὐτὸν ἔχουσι καὶ τὰ ρκε΄ πρὸς τὰ σν΄, τουτέστι μισόν. καὶ ἰδοὺ ἐὰν λίτραι σν΄ χρῄζωσι φλουριὰ σκε΄, αἱ τοε΄ λίτραι χρῄζουσι φλουριὰ τλζ΄ς″, ὥσπερ καὶ τὸ ἀνάπαλιν· ἐὰν λίτραι σν΄ χρῄζωσι φλουριὰ σκε΄, τὰ τλζ΄ς″ φλουριὰ οἰκειοῦνται λίτρας τοε΄.




Cα Περὶ τοῦ ἐὰν τὸ βηλάριν, ἡ τζόχα, χρῄζῃ ὑπέρπυρα φμδ΄, αἱ ια΄ κάναι, ἃς ζητεῖς ἀγοράσαι, πόσα ὑπέρπυρα χρῄζουσι ἀναλόγως

Ἔστω ὅτι τὸ βηλάριν, ἡ τζόχα, ἐστὶ κάνες ιζ΄, χρῄζουσι δὲ αἱ ιζ΄ κάναι ὑπέρπυρα φμδ΄. ζητεῖς δὲ ἀγοράσαι κάνας ια΄ εἰς τὸ αὐτὸ ἀνάλογον τίμημα, ὅπερ εἴπομεν, ὅτι αἱ ιζ΄ κάναι χρῄζουσι ὑπέρπυρα φμδ΄. ζητεῖς δὲ καὶ πόσα ὑπέρπυρα ἔχεις δοῦναι πρὸς τὸ λαβεῖν κάνας ια΄.

ἔχεις δὲ καὶ τοῦτο εἰδέναι διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν, δι᾽ οὗ καὶ τὰ προειρημένα πάντα ζητήματα εὗρες καλῶς καὶ προχείρως. ποίησον ‖ δὲ τοῦτον καὶ νῦν **f. 48^{r}** καὶ εὑρήσεις καλῶς τὸ ζητούμενον.

πολλ(α)πλασίασον τὰ φμδ΄ ὑπέρπυρα μετὰ τῶν ια΄ κανῶν, ὧν ζητεῖς ἀγοράσαι, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα ε θ η δ΄. μέρισον ταῦτα μετὰ τῶν ιζ΄ κανῶν, ὧν εἴπομεν, ὅτι τὸ καθόλου βηλάριν ἐστὶ κάνας ιζ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς τνβ΄. καὶ ἰδοὺ ἐὰν αἱ ιζ΄ κάναι χρῄζωσι ὑπέρπυρα φμδ΄, αἱ ια΄ κάναι χρῄζουσι ἀναλόγως εἰς τὸ αὐτὸ τίμημα ὑπέρπυρα τνβ΄.




καὶ τοῦτο γίνεται οὕτως, ὅταν καὶ τὰ τρία μέρη ἐστὶ ἀκέραια ὡς τὰ φμδ΄ ὑπέρπυρα καὶ κάναι ιζ΄ καὶ κάναι ια΄· ἐστὶ ταῦτα πάντα ἀκέραια. ὅταν δὲ ἔχωσι μισὸν καὶ τρίτον, γίνεται ἄλλως, ὡς πρότερον εἴπομεν.


Ἔστω γὰρ ἕτερον βηλάριν, ὅπερ ἔχει κάνας ις΄ς″. χρῄζουσι δὲ αἱ ις΄ς″ κάναι ὑπέρπυρα φϙβ΄ κουκκιὰ ιε΄, τουτέστι ὑπέρπυρα φϙβ΄ καὶ $\frac{\gamma}{\delta}$ ἑνὸς ὑπερπύρου. ζητεῖς δὲ ἀγοράσαι κάνας θ΄ καὶ $\frac{\alpha}{\gamma}$ μιᾶς κάνας. πόσα ὑπέρπυρα χρῄζουσι ἀναλόγως αἱ θ΄ κάναι καὶ $\frac{\alpha}{\gamma}$;


ἐπεὶ οὖν καὶ τὰ τρία μέρη οὐκ ἐστι ἐξόλου ἀκέραια, ἀλλὰ τὸ μὲν βηλάριν ἐστὶ κάναι ις΄ς″, ἡ δὲ τιμὴ τούτου ὑπέρπυρα φϙβ΄ καὶ $\frac{\gamma}{\delta}$, αἱ δὲ κάναι, ἃς ζητεῖς ἀγοράσαι, θ΄ καὶ $\frac{\alpha}{\gamma}$, ποίησον τὰς ις΄$\frac{\alpha}{\beta}$ μισάς· δὶς οὖν ις΄ γίνονται λβ΄, καὶ α΄ τὸ ἄνωθεν τῆς κεραίας γραμμῆς – ὁμοῦ μισὰ λγ΄ αἱ ις΄ς″ κάναι. θὲς οὖν ἄνωθεν μὲν τῆς κεραίας γραμμῆς λγ΄, κάτωθεν δὲ β΄ πρὸς δήλωσι(ν), ὅτι τὰ ἄνωθεν λγ΄ ἐστὶ μισά. ποίησον

---


17 κάνες, i. e. κάναι] κάναις **C**








ἢ γ γ ε ⁝ ε καὶ τουρν(έ)σι(α) γ καὶ $\frac{\alpha}{\beta}$ ἔγγιστα





τουρν(έ)σι(α) β γ καὶ $\frac{\beta}{\varepsilon}$
βραχ(ύ) τι πλεῖο

καὶ τὰς ϑ΄ κάνας καὶ $\frac{\alpha}{\gamma}$, ἃς ζητεῖς ἀγοράσαι, τρίτας· τρὶς οὖν ϑ΄ γίνονται κζ΄, καὶ α΄ τὸ ἄνωθεν τῆς κεραίας γραμμῆς – ὁμοῦ τρίτα κη΄ αἱ ϑ΄ κάναι καὶ $\frac{\alpha}{\gamma}$. θὲς οὖν ἄνωθεν μὲν τῆς κεραίας γραμμῆς κη΄, κάτωθεν δὲ γ΄ πρὸς δήλωσι(ν), ὅτι τὰ ἄνωθεν κη΄ ἐστὶ τρίτα. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς τὰ κάτωθεν γ΄ μετὰ τῶν ἄνωθεν λγ΄· τρὶς οὖν λγ΄ γίνονται ϙϑ΄. ἐστὶ δὲ ταῦτα ὁ μεριστής. πολλ(α)πλασίασον δὲ στ(αυ)ροειδῶς καὶ τὰ κάτωθεν β΄ μετὰ τῶν ἄνωθεν κη΄· δὶς οὖν κη΄ γίνονται νς΄. ἐστὶ δὲ ταῦτα ὁ πολλ(α)πλασιαστής. πολλ(α)πλασίασον δὲ τὰ φϙβ΄ ὑπέρπυρα καὶ $\frac{\gamma}{\delta}$ μετὰ τῶν νς΄· νς΄κις οὖν $\frac{\gamma}{\delta}$ γίνονται ἀκέραια μβ΄. θὲς οὖν μβ΄, ἔπειτα πολλ(α)-πλασίασον καὶ τὰ φϙβ΄ ὑπέρπυρα μετὰ τῶν νς΄ καὶ ἕνωσον τὰ πολλ(α)πλασιασθέντα μέρη καὶ γίνονται ὁμοῦ τὰ παρόντα γράμματα γ γ α ϑ δ΄. μέρισον ταῦτα μετὰ τῶν ϙϑ΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς τλε΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta\ \vartheta}{\vartheta\ \vartheta}$. καὶ ἰδοὺ ἐὰν κάνες ις΄ς″ χρῄζωσι ὑπέρπυρα φϙβ΄ καὶ $\frac{\gamma}{\delta}$, ἅπερ ἐστὶ κουκκιὰ ιε΄, αἱ ϑ΄ κάναι καὶ $\frac{\alpha}{\gamma}$, ἃς ζητεῖς ἀγοράσαι, χρῄζοσι ἀναλόγως εἰς τὸ αὐτὸ τίμημα ὑπέρπυρα τλε΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta\ \vartheta}{\vartheta\ \vartheta}$.

ἐπεὶ δὲ ἕκαστον ὑπέρπυρόν ἐστι τουρν(έ)σι(α) π΄, τὰ δὲ κϑ΄ τὸ τζάκισμα μετὰ τῶν ϙϑ΄ τὸν μεριστὴν συγκρινόμενα οὐκ ἔχεις καλῶς εἰδέναι, τίνα λόγον ἔχουσι πρὸς τὸ ἕνα ὑπέρπυρον, ὅπερ ἐστὶ τουρν(έ)σ(ια) π΄, πολλ(α)πλασίασον τὰ π΄ τουρν(έ)σι(α) τοῦ ἑνὸς ὑπερπύρου μετὰ τῶν ἄνωθεν τῆς κεραίας γραμμῆς κϑ΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα β γ β ι΄. μέρισον ταῦτα μετὰ τῶν κάτωθεν τῆς κεραίας γραμμῆς ϙϑ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κγ΄ καὶ $\frac{\alpha}{\beta}$ ἔγγιστα. τὰ δὲ κγ΄ καὶ $\frac{\alpha}{\beta}$ ἐστὶ τουρν(έ)σ(ια), ἅπερ γίνονται κουκκιὰ ε΄ τουρν(έ)σι(α) γ΄ καὶ $\frac{\alpha}{\beta}$ ἔγγιστα ἑνὸς τουρν(ε)σ(ίου). καὶ ἰδοὺ αἱ ϑ΄ κάναι καὶ $\frac{\alpha}{\gamma}$ χρῄζ(ο)σι ὑπέρπυρα τλε΄ κουκκιὰ ε΄ καὶ τουρν(έ)σι(α) γ΄ καὶ $\frac{\alpha}{\beta}$ ἔγγιστα ἑνὸς τουρν(ε)σί(ου).

---

multiplicatio decussata: auctor crucem oblitus est.

divisio prima: ϡξξ] ϡξζ **C**


solutio: $\frac{\alpha}{\beta}$ ἔγγιστα] $\frac{\alpha}{\varepsilon}$ ἔγγιστα **falso C**

12 κάνες] cf. 13 κάναι 23 ἔγγιστα **scripsi: spatium atramento coopertum**

Cβ **Καὶ τὸ ἀνάπαλιν. ἐὰν αἱ ια΄ κάναι, ἃς ζητεῖς ἀγοράσαι, χρῄζωσι ὑπέρπυρα τνβ΄, αἱ ιζ΄ κάναι, τὸ καθόλου βηλάριν, πόσα ὑπέρπυρα χρῄζ(ο)σι ἀναλόγως;**

Πολλ(α)πλασίασον τὰ τνβ΄ ὑπέρπυρα, ἅπερ χρῄζουσι αἱ ι΄ κάναι, οὐ μετὰ τῶν ια΄ κανῶν, καθὼς πρότερον ἐπολλ(α)πλασίασας τὰ φμδ΄ ὑπέρπυρα μετὰ τῶν ια΄ κανῶν, ἀλλὰ τὸ ἐναντίον νῦν μᾶλλον ποίησον.

πολλ(α)πλασίασον γὰρ τὰ τνβ΄ ὑπέρπυρα μετὰ τῶν ιζ΄ κανῶν, ὧν ἔχει τὸ καθόλου βηλάριν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα ε ϑ η δ΄. μέρισον ταῦτα οὐ μετὰ τῶν ιζ΄ κανῶν, καθὼς οὕτως ἐποίησας πρότερον, ἀλλὰ μετὰ τῶν ια΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς φμδ΄. καὶ ἰδοὺ ἐὰν κάναι ια΄ χρῄζωσι ὑπέρπυρα τνβ΄, αἱ ιζ΄ κάναι, τὸ καθόλου βηλάριν, χρῄζ(ο)σι ὑπέρπυρα φμδ΄, ὥσπερ πρότερον τὸ ἀνάπαλι(ν)· ἐὰν τὸ καθόλου βηλάριν χρῄζῃ ὑπέρπυρα φμδ΄, αἱ ια΄ κάναι χρῄζ(ο)σι ὑπέρπυρα τνβ΄.




καὶ τοῦτο μὲν οὕτως, ὅταν ἐστὶ τὰ ζητούμενα μέρη ἀκέραια. ὅταν δέ ἐστι μισὸν καὶ τρίτον ἢ τέταρτον, γίνεται διὰ τῆς ἑτέρας μεταχειρίσεως, ἧς εἴπομεν ἄνωθεν.

Cγ **Περὶ τοῦ ἐὰν τὰ η΄ ὑπέρπυρα αὐξανόμενα γίνωνται ιε΄ ὑπέρπυρα, τὰ ρ΄ ὑπέρπυρα κατὰ τὸν ὅμοιον λόγον πόσα ὑπέρπυρα γίνονται**


Ἔστω ὅτι πραγματευτής τις ἐζήτησεν ἀν(θρώπ)ου τινὸς εὐπόρου ὑπέρπυρά τινα μετὰ συμφωνίας τοιαύτης, ὅτι μετὰ τὸ πραγματεύεσθαι χρόνον ἕνα ἀποδοῦναι ἀντὶ τῶν η΄ ὑπερπύρων ὑπέρπυρα ιε΄, τουτέστι κέρδος ὑπέρπυρα ζ΄. ζητ(εῖ) δὲ ὁ πραγματευτὴς λαβεῖν ἐκ τοῦ εὐπόρου ὑπέρπυρα ρ΄. ζητεῖς δὲ εἰδέναι, ἐὰν τὰ η΄ ὑπέρπυρα μετὰ τοῦ κέρδους αὐτῶν γίνωνται ιε΄, ὡς ὑπέσχετο || δοῦναι, τὰ ρ΄ ὑπέρπυρα, ἅπερ ζητ(εῖ) λαβεῖν, πόσα γίνονται αὐξανόμενα ἀναλόγως. ἔχεις δὲ καὶ τοῦτο εἰδέναι διὰ τῆς μεταχειρίσεως τῆς διὰ τῶν τριῶν. **f. 48^{v}**

πολλ(α)πλασίασον τὰ ρ΄ ὑπέρπυρα, ἅπερ ἔλαβεν ὁ πραγματευτής, μετὰ τῶν ιε΄, ὧν ὑπέσχετο δοῦναι ἀντὶ τῶν η΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τὰ παρόντα γράμματα α ε ι ι΄. μέρισον ταῦτα μετὰ τῶν η΄ ὑπερπύρων, ὧν εἴπομεν, ὅτι τὰ η΄ γίνονται ιε΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ρπζ΄ καὶ $\frac{\alpha}{\beta}$. καὶ ἰδοὺ ἐὰν εἰς τὰ η΄ ὑπέρπυρα ὑπέσχετο δοῦναι ὑπέρπυρα ιε΄, εἰς τὰ ρ΄ ὑπέρπυρα, ἅπερ ἔλαβεν ὁ πραγματευτής, ὀφείλει δοῦναι τῷ εὐπόρῳ ὑπέρπυρα ρπζ΄ καὶ κουκκιὰ ι΄.



Ἐὰν δὲ πάλιν εἰς ὑπέρπυρα ιβ΄ ὑπέσχετο δοῦναι ὑπέρπυρα ιη΄, εἰς τὰ ,αρν΄ ὑπέρπυρα, ἅπερ ἔλαβεν ὁ πραγματευτής, κατὰ τὸν ὅμοιον λόγον πόσα ὑπέρπυρα ὀφείλει δοῦναι;


πολλ(α)πλασίασον τὰ ,αρν΄ ὑπέρπυρα μετὰ τῶν ιη΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς β ι ζ ι ι΄. μέρισον ταῦτα μετὰ τῶν ιβ΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων διαμερισμὸς ,αψκε΄. καὶ ἰδοὺ ἐὰν τὰ ιβ΄ ὑπέρπυρα διδῶσ(ι) κέρδος ὑπέρπυρα ς΄ καὶ γίνωνται ὑπέρπυρα ιη΄, τὰ ,αρν΄ ὑπέρπυρα κατὰ τὸν ὅμοιον λόγον γίνονται ὑπέρπυρα ,αψκε΄.



καὶ ταῦτα μὲν οὕτως, ὅταν καὶ τὰ τρία μέρη ἐστὶ ἀκέραια. ὅταν δὲ ἔχωσι μισὸν καὶ τρίτον καὶ τέταρτον, γίνονται διὰ τῆς ἑτέρας μεταχειρίσεως, ἥτις πολλ(α)πλασιάζει στ(αυ)ροειδῶς τὰς ἄνωθεν καὶ κάτωθεν τῶν κεραίων γραμμῶν ψήφους, καθὼς ἐκεῖσε ὁρᾶται σαφέστερον.

Cδ **Καὶ τὸ ἀνάπαλι(ν)· ἐὰν τὰ ιε΄ ὑπέρπυρα φθειρόμενα γίνωνται η΄, τὰ ρ΄ ὑπέρπυρα πόσα γίνονται κατὰ τὸν ὅμοιον λόγον;**

Ἐὰν δὲ τὸ ἀνάπαλι(ν) ζητῇς, ὅτι ἐὰν τὰ ιε΄ ὑπέρπυρα φθειρόμενα γίνωνται η΄, τὰ ρ΄ ὑπέρπυρα κατὰ τὸν ὅμοιον λόγον φθειρόμενα πόσα γίνονται, πολλ(α)πλασίασον τὰ ρ΄ ὑπέρπυρα οὐ μετὰ τῶν ιε΄ ὑπερπύρων ὡς τὸ πρότερον, ἀλλὰ τὸ ἀνάπαλι(ν) μετὰ τῶν η΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς η υ υ΄. μέρισον ταῦτα οὐ μετὰ τῶν η΄ ὑπερπύρων ὡς τὸ πρότερον, ἀλλὰ μετὰ τῶν ιε΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς νγ΄ καὶ $\frac{\alpha}{\gamma}$. καὶ ἰδοὺ ἐὰν τὰ ιε΄ ὑπέρπυρα φθειρόμενα γίνωνται η΄, τὰ ρ΄ ὑπέρπυρα κατὰ τὸν ὅμοιον λόγον φθειρόμενα γίνονται ὑπέρπυρα νγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς ὑπερπύρου.



εἰ δὲ οὐκ ἐστι ἀκέραια τὰ τρία μέρη αὐτῶν, ἀλλ᾽ ἔχοσι καὶ μισὸν καὶ τρίτον ἢ τέταρτον, γίνεται διὰ τῆς ἑτέρας μεταχειρίσεως, ἥτις πολλ(α)πλασιάζει στ(αυ)ροειδῶς τὰς ἄνωθεν καὶ κάτωθεν τῶν κεραίων γραμμῶν ψήφους, καθὼς ἐκεῖσε δηλοῦται σαφέστερον.

Cε **Περὶ τοῦ δανείσαντος φλουριὰ ρ΄, τὸ δὲ χρονικὸν κέρδος αὐτῶν φλουριὰ κ΄ – ἐν ᾧ καὶ πόσον ἐστὶ τὸ χρονικὸν κέρδος καὶ μηνιαῖον οὐχὶ τῶν ρ΄ φλουριῶν, ἀλλ᾽ ἑνὸς ἑκάστου τῶν ρ΄ φλουριῶν;**


Ἔστω ὅτι τις ἐδάνεισεν πρὸς ἕτερόν τινα φλουριὰ ρ΄. ὑπέσχετο δὲ ὁ λαβὼν δοῦναι πρὸς τὸν ἔχοντα ταῦτα ὀφειλῆς χάριν ἕκαστον ἐνιαυτὸν φλουριὰ κ΄. ζητεῖς δὲ εἰδέναι, τί ἐστι τὸ χρονικὸν καὶ μην(ι)αῖον κέρδος ἑκάστου τῶν ρ΄ φλουριῶν· ἕκαστον δὲ φλουρὶ ἔστω ὅτι χρῄζει ὑπέρπυρα η΄. ἔχεις δὲ τοῦτο εἰδέναι δι(τ)ῶς.

καὶ πρῶτος μὲν τρόπος. ζήτει, τίνα λόγον ἔχοσι τὰ κ΄ φλουριά, τὸ χρονικὸν δηλονότι κέρδος, πρὸς τὰ ρ΄ φλουριά, τὸ κεφάλαιον δηλονότι. ἐστὶ δὲ τὰ κ΄ πρὸς τὰ ρ΄ φλουριὰ $\frac{\alpha}{\varepsilon}$· ε΄κις γὰρ κ΄ ρ΄ γίνονται. καὶ ἰδοὺ ἕκαστον τῶν ρ΄ φλουριῶν – τὸ χρονικὸν αὐτοῦ κέρδος ἐστὶ $\frac{\alpha}{\varepsilon}$ ἑνὸς φλουριοῦ, ὥσπερ καὶ τὰ κ΄ φλουριά ἐστι $\frac{\alpha}{\varepsilon}$ τῶν ρ΄ φλουριῶν. τὸ δὲ $\frac{\alpha}{\varepsilon}$ τοῦ ἑνὸς φλουριοῦ, τουτέστι τῶν η΄ ὑπερπύρων, ὧν ποιῶσι κουκκιὰ ρξ΄, ἐστὶ κουκκιὰ λβ΄· ε΄κις γὰρ κουκκιὰ λβ΄ γίνονται κουκκιὰ ρξ΄. καὶ ἰδοὺ ἕκαστον τῶν ρ΄ φλουριῶν ἔχει χρονικὸν κέρδος κουκκιὰ λβ΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄ κουκκιὰ ιβ΄.

ὁ δεύτερος δὲ τρόπος. λάβε τὸ πέμπτον μέρος τῶν κ΄ φλουριῶν, ὧν εἴπομεν, ὅτι ἐστὶ χρονικὸν κέρδος τῶν ρ΄ φλουριῶν. τὸ πέμπτον δὲ μέρος τῶν κ΄ φλουριῶν ἐστι δ΄· ε΄κις γὰρ δ΄ κ΄ γίνονται. πολλ(α)πλασίασον δὲ τὰ η΄ ὑπέρπυρα, ἅπερ χρῄζει φλουρὶ α΄, μετὰ τῶν δ΄, ἅπερ ἐστὶ πέμπτον μέρος τῶν κ΄· δ΄κις οὖν η΄ γίνονται λβ΄. καὶ ἰδού, ὥσπερ τὰ δ΄ ἐστὶ πέμπτον μέρος τῶν κ΄, οὕτως καὶ τὰ λβ΄ κουκκιά ἐστι πέμπτον μέρος τῶν ρξ΄ κουκκιῶν, ὧν ποιῶσι ὑπέρπυρα η΄. ἐστὶ δὲ τὸ χρονικὸν κέρδος ἑκάστου τῶν ρ΄ φλουριῶν κουκκιὰ λβ΄, καθὼς οὕτως καὶ πρότερον εὗρες.


ἐπεὶ οὖν τὸ χρονικὸν κέρδος ἑκάστου τῶν ρ΄ φλουριῶν ἐστι κουκκιὰ λβ΄, μέρισον τὰ λβ΄ κουκκιὰ εἰς τοὺς ιβ΄ μῆνας τοῦ χρόνου καὶ γίνεται ὁ τούτων διαμερισμὸς β΄ καὶ

$\frac{\beta}{\gamma}$. καὶ ἰδοὺ ἕκαστον φλουρὶ τῶν ρ΄ κερδᾷ τὸν μῆναν κουκκιὰ β΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς κουκκιοῦ. τὰ δὲ $\frac{\beta}{\gamma}$ τοῦ ἑνὸς κουκκιοῦ ἐστι τουρν(έ)σι(α) β΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς τουρν(ε)σί(ου). καὶ ἰδοὺ ἕκαστον τῶν ρ΄ φλουριῶν – τὸ μὲν χρονικὸν κέρδος αὐτοῦ ἐστι κουκκιὰ λβ΄, τὸ δὲ μηνιαῖόν ἐστι κουκκιὰ β΄ τουρν(έ)σι(α) β΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς τουρνεσίου.




Ἔστω δὲ τὸ χρονικὸν κέρδος τῶν ρ΄ φλουριῶν φλουριὰ ιε΄. λάβε πάλιν τὸ πέμπτον μέρος τῶν ιε΄ φλουριῶν, ὅπερ ἐστὶ φλουριὰ γ΄· ε΄κις γὰρ γ΄ ιε΄ γίνονται. πολλ(α)πλασίασον δὲ ἑνὸς φλουριοῦ ὑπέρπυρα, τουτέστι η΄, μετὰ τῶν γ΄ φλουριῶν, ὧν ἐστι πέμπτον μέρος τῶν ιε΄ φλουριῶν· τρὶς οὖν η΄ γίνονται κδ΄. ἕκαστον οὖν τῶν ρ΄ φλουριῶν ἔχει κέρδος τὸν χρόνον κουκκιὰ κδ΄. μέρισον ταῦτα εἰς τοὺς ιβ΄ μῆνας τοῦ χρόνου· δὶς οὖν ιβ΄ γίνονται κδ΄. ἕκαστον οὖν τῶν ρ΄ φλουριῶν ἔχει κέρδος τὸν μῆναν κουκκιὰ β΄. καὶ ἰδοὺ ἐὰν τὰ ρ΄ φλουριὰ κερδῶσι τὸν χρόνον φλουριὰ ιε΄, ἕκαστον φλουρὶ τῶν ρ΄ τὸν μὲν χρόνον κερδᾷ κουκκιὰ κδ΄, τὸν δὲ μῆναν κουκκιὰ β΄. ἔστω δὲ πάλιν ‖ τὸ χρονικὸν κέρδος τῶν ρ΄ φλουριῶν φλουριὰ ις΄. λάβε τὸ πέμπτον **f. 49^{r}** μέρος τῶν ις΄ φλουριῶν, ὅπερ ἐστὶ φλουριὰ γ΄ καὶ $\frac{\alpha}{\varepsilon}$ ἑνὸς φλουριοῦ· ε΄κις γὰρ γ΄ καὶ $\frac{\alpha}{\varepsilon}$ γίνονται ις΄. πολλ(α)πλασίασον δὲ μετὰ τῶν γ΄ καὶ $\frac{\alpha}{\varepsilon}$ τὰ η΄ ὑπέρπυρα τοῦ ἑνὸς φλουριοῦ· η΄κις οὖν γ΄ γίνονται κδ΄ καὶ η΄κις $\frac{\alpha}{\varepsilon}$ γίνονται $\frac{\eta}{\varepsilon}$, ἅπερ ἐστὶ ἀκέραιον α΄ καὶ $\frac{\gamma}{\varepsilon}$ ἑνὸς ἀκεραίου. ἕνωσον καὶ ταῦτα μετὰ τῶν κδ΄ καὶ γίνονται ὁμοῦ κε΄ καὶ $\frac{\gamma}{\varepsilon}$ ἑνὸς ἀκεραίου. τὸ χρονικὸν δὲ κέρδος τῶν ρ΄ φλουριῶν ἐστι κουκκιὰ κε΄ καὶ $\frac{\gamma}{\varepsilon}$ ἑνὸς κουκκιοῦ.

ἐὰν δὲ ζητῇς εἰδέναι τὰ $\frac{\gamma}{\varepsilon}$ τοῦ ἑνὸς κουκκιοῦ, πόσα ἐστί· τὸ ἕνα κουκκί ἐστι τουρν(έ)σ(ια) δ΄. πολλ(α)πλασίασον τὰ δ΄ τουρν(έ)σ(ια) μετὰ τῶν ἄνωθεν γ΄· τρὶς οὖν δ΄ γίνονται ιβ΄. μέρισον ταῦτα μετὰ τῶν κάτωθεν ε΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς β΄ καὶ $\frac{\beta}{\varepsilon}$. καὶ ἰδοὺ τὰ $\frac{\gamma}{\varepsilon}$ τοῦ ἑνὸς κουκκιοῦ, τουτέστι τῶν δ΄ τουρν(ε)σί(ων), ἐστὶ τουρν(έ)σ(ια) β΄ καὶ $\frac{\beta}{\varepsilon}$ ἑνὸς τουρν(ε)σ(ίου). ἐὰν οὖν φλουριὰ ρ΄ κερδῶσι τὸν χρόνον φλουριὰ ις΄, ἕκαστον τῶν ρ΄ φλουριῶν κερδᾷ τὸν χρόνον κουκκιὰ κε΄ τουρν(έ)σι(α) β΄ καὶ $\frac{\beta}{\varepsilon}$ ἑνὸς τουρν(ε)σίου.



ϛϛ Περὶ τοῦ ἐὰν τὰ ρ΄ φλουριὰ τοὺς ϑ΄ μῆνας διδῶσι κέρδος φλουριὰ ι΄, πόσον κερδᾷ ἕκαστον φλουρὶ τὸν μῆνα καὶ πόσον τὸν χρόνον – ὁμοῦ δὲ καὶ τὰ ρ΄ φλουριά, πόσα κερδῶσι τὸν χρόνον

Ἔστω δὲ πάλιν, ἐὰν τὰ ρ΄ φλουριὰ κερδῶσι τοὺς ϑ΄ μῆνας φλουριὰ ι΄, ζητεῖς εἰδέναι ἕκαστον τῶν ρ΄ φλουριῶν, πόσα κερδᾷ τὸν μῆνα καὶ πόσα τὸν χρόνον ἀναλόγως – ὁμοῦ δὲ καὶ τὰ ρ΄ φλουριά, πόσα κερδῶσι τὸν χρόνον. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. ποίησον τὰ ι΄ φλουριὰ ὑπέρπυρα. ἕκαστον οὖν φλουρί ⟨ἐστι⟩ ὑπέρπυρα η΄. ι΄κις η΄ γίνονται ὑπέρπυρα π΄· ἐστὶ δὲ ταῦτα τῶν ρ΄ φλουριῶν κέρδος μηνῶν ϑ΄. ποίησον ταῦτα κουκκιά· πολλ(α)πλασίασον γὰρ τὰ π΄ ὑπέρπυρα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνονται τὰ π΄ ὑπέρπυρα κουκκιὰ ,αχ΄. μέρισον ταῦτα μετὰ τῶν ρ΄ φλουριῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ις΄. ἕκαστον οὖν φλουρὶ τῶν ρ΄ κερδᾷ τοὺς ϑ΄ μῆνας κουκκιὰ ις΄.



1.12.13 μῆναν] sic **C** 4 τὸ ... χρονικὸν κέρδος] τῶν ... χρονικὸν κέρδος **C** 16 ις΄] ιε **falso C** divisio tertia: ϡϛϡϡ] ϡϛυυ **C**

μέρισον δὲ πάλιν τὰ ις΄ κουκκιὰ εἰς τοὺς ϑ΄ μῆνας καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκὶ α΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ζ΄, ἅπερ ἐστὶ τουρν(έ)σ(ια) κη΄. μέρισον καὶ ταῦτα μετὰ τῶν ϑ΄ μηνῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ια) γ΄ καὶ $\frac{\alpha}{\vartheta}$ ἑνὸς τουρν(ε)σ(ίου). καὶ ἰδοὺ ἕκαστον τῶν ρ΄ φλουριῶν κερδᾷ τὸν μῆνα κουκκὶ α΄ τουρν(έ)σι(α) γ΄ καὶ $\frac{\alpha}{\vartheta}$ ἑνὸς τουρν(ε)σ(ίου).

ζ ⋮ α ϛ ϑ $\frac{\zeta}{\vartheta}$ τουρν(έ)σι(α) α ⋮ α ϑ $\frac{\alpha}{\vartheta}$ τουρν(έ)σι(α) γ καὶ $\frac{\alpha}{\vartheta}$

ἐπεὶ δὲ ζητεῖς εἰδέναι καὶ τὸ χρονικὸν κέρδος ἑκάστου τῶν ρ΄ φλουριῶν· τοὺς μὲν ϑ΄ μῆνας ἕκαστον τῶν ρ΄ φλουριῶν εὗρες, ὅτι κερδᾷ κουκκιὰ ις΄, τὸν δὲ μῆναν κουκκὶ α΄ τουρν(έ)σ(ια) γ΄ καὶ $\frac{\alpha}{\vartheta}$ ἑνὸς τουρν(ε)σ(ίου). ὑπὲρ οὖν τῶν γ΄ μηνῶν, ὧν λείπονται τοὺς ϑ΄ πρὸς τὸ γενέσθαι μῆναι ιβ΄, τριπλασίασον ἑνὸς μήνου κέρδος· τρὶς οὖν κουκκὶ α΄ γίνονται κουκκιὰ γ΄ καὶ τρὶς τουρν(έ)σι(α) γ΄ γίνονται τουρν(έ)σ(ια) ϑ΄, ἅπερ ἐστὶ κουκκιὰ β΄ καὶ τουρν(έ)σ(ι) α΄. ἔχεις μέχρι τοῦ νῦν κουκκιὰ ε΄ καὶ τουρν(έ)σ(ι) α΄. τρὶς δὲ $\frac{\alpha}{\vartheta}$ γίνονται $\frac{\chi}{\vartheta}$· ἔχεις κουκκιὰ ε΄ τουρν(έ)σ(ι) α΄ καὶ $\frac{\chi}{\vartheta}$ ἑνὸς τουρν(ε)σ(ίου). ὑπὲρ οὖν τῶν τριῶν μηνῶν κερδᾷ ἕκαστον φλουρὶ ταῦτα. ἕνωσον οὖν ταῦτα μετὰ τῶν ις΄ κουκκιῶν, ὧν κερδᾷ ἕκαστον φλουρὶ τοὺς ϑ΄ μῆνας, καὶ γίνονται ὁμοῦ κουκκιὰ κα΄ τουρν(έ)σι α΄ καὶ $\frac{\chi}{\vartheta}$ ἑνὸς τουρν(ε)σ(ίου). καὶ ἰδοὺ ἕκαστον τῶν ρ΄ φλουριῶν κερδᾷ τὸν χρόνον κουκκιὰ κα΄ τουρν(έ)σι α΄ καὶ $\frac{\chi}{\vartheta}$ ἑνὸς τουρν(ε)σ(ίου). τὰ δὲ ρ΄ φλουριὰ ἔχοσ(ι) κέρδος τὸν χρόνον τὸ τέταρτον πλέον τῶν ι΄ φλουριῶν, καθ᾽ ὃν λόγον οἱ ιβ΄ μῆνες τοῦ χρόνου πρὸς τοὺς ϑ΄ ἔχοσι $\frac{\alpha}{\delta}$ μέρος πλέον· γ΄ γὰρ τρὶς γίνονται ϑ΄ καὶ γ΄ δ΄κις γίνονται ιβ΄. τὸ δὲ τέταρτον τῶν ι΄ φλουριῶν ἐστι φλουριὰ β΄ϛ″, τουτέστι φλουριὰ β΄ καὶ ὑπέρπυρα δ΄. ἕνωσον ταῦτα μετὰ τῶν ι΄ φλουριῶν καὶ γίνεται τὸ χρονικὸν κέρδος τῶν ρ΄ φλουριῶν φλουριὰ ιβ΄ καὶ ὑπέρπυρα δ΄ – ἕκαστον δὲ φλουρὶ εἰς ὑπέρπυρα η΄ –, τὰ ιβ΄ φλουριὰ καὶ τὰ δ΄ ὑπέρπυρα γίνονται ὑπέρπυρα ρ΄.

ϛζ Περὶ τοῦ ἐάν – φλουριὰ ρνϛ΄ καὶ ὑπέρπυρα δ΄ καὶ κουκκιὰ ι΄ – ἕκαστον φλουρὶ κερδᾷ τὸν μῆνα κουκκιὰ β΄, πόσον ἐστὶ τὸ κέρδος τούτων τοὺς ι΄ϛ″ μῆνας

Ἔστω ὅτι ζητεῖς εἰδέναι· ἐὰν ἕκαστον φλουρὶ κερδᾷ τὸν μῆνα κουκκιὰ β΄, φλουριὰ ρνϛ΄ καὶ ὑπέρπυρα δ΄ καὶ κουκκιὰ ι΄ πόσα ἔχοσι κερδῆσαι τοὺς ι΄ϛ″ μῆνας ἀναλόγως; ἕκαστον δὲ φλουρὶ ἔστω ὅτι χρῄζει ὑπέρπυρα η΄, ὡς εἴπομεν καὶ ἐπὶ τῶν προγενεστέρων. ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως.

ζήτει ἑνὸς μήνου κέρδος. ἐπεὶ οὖν ἕκαστον φλουρὶ τὸν μῆνα κερδᾷ κουκκὰ β΄, δὶς ρνϛ΄ γίνονται κουκκιὰ τιβ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ιε΄ κουκκιὰ ιβ΄. τὰ δὲ δ΄ ὑπέρπυρά ἐστι μισὸν μέρος τῶν η΄ ὑπερπύρων τοῦ ἑνὸς φλουριοῦ. ἐστὶ δὲ καὶ τὸ μηνικὸν κέρδος τῶν δ΄ ὑπερπύρων μισόν· εἰ γὰρ ἕκαστον φλουρὶ ἔχει κέρδος τὸν μῆνα κουκκιὰ β΄, τὰ δ΄ ὑπέρπυρα ἔχοσι κέρδος κουκκὶ α΄. ἕνωσον καὶ τοῦτο μετὰ τῶν ιβ΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ιε΄ κουκκιὰ ιγ΄. τὰ ι΄ δὲ πάλιν κουκκιά ἐστι ἕκτον καὶ δέκατον μέρος τῶν η΄ ὑπερπύρων τοῦ ἑνὸς φλουριοῦ· ἐστὶ δὲ καὶ τὸ κέρδος αὐτῶν

---

12 μῆναι] **sic pro** μῆνες, μήνου] **sic pro** μηνὸς **C, cf. 33**

20 τὸ τέταρτον πλέον] **falso C pro** τὸ τρίτον πλέον: **sequitur solutio falsa** φλουριὰ ιβ΄ καὶ ὑπέρπυρα δ΄ **pro** φλουριὰ ιγ΄ ὑπέρπυρα β΄ κουκκιὰ ιγ΄ τουρνέσι α΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς τουρνεσίου.

38/39 ἕκτον καὶ δέκατον] $\overset{\text{ον}}{\text{ις}}$ **hic et passim C**

ἕκτον καὶ δέκατον μέρος τῶν β΄ κουκκιῶν, τουτέστι τουρν(έ)σ(ι) ϛ″. κερδῶσι δὲ τὰ ρνς΄ φλουριὰ καὶ ὑπέρπυρα δ΄ καὶ κουκκιὰ ι΄ τὸν μῆνα ὑπέρπυρα ιε΄ κουκκιὰ ιγ΄ τουρν(έ)σι ϛ″.

δεκαπλασίασον δὲ ταῦτα ὑπὲρ τῶν δέκα μηνῶν· ι΄κις οὖν ὑπέρπυρα ιε΄ γίνονται ὑπέρπυρα ρν΄ καὶ ι΄κις κουκκιὰ ιγ΄ γίνονται κουκκιὰ ρλ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ϛ΄ κουκκιὰ ι΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρν΄ ὑπερπύρων καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ρνς΄ κουκκιὰ ι΄. ι΄κις δὲ τουρν(έ)σ(ι) ϛ″ γίνονται τουρν(έ)σ(ια) μισὰ μὲν ι΄, ἀκέραια δὲ ε΄, ἅπερ ἐστὶ κουκκὶ α΄ τουρν(έ)σ(ι) α΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν προγενεστέρων καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ρνς΄ κουκκιὰ ια΄ τουρν(έ)σι α΄. καὶ ἰδοὺ φλουριὰ ρνς΄ ὑπέρπυρα δ΄ κουκκιὰ ι΄ κερδῶσι τοὺς ι΄ μῆνας ὑπέρπυρα ρνς΄ κουκκιὰ ια΄ τουρν(έ)σι α΄.

τὸν δὲ ϛ″ μῆνα κερδῶσι τὸ ἥμισυ, τοῦ ἑνὸς μηνὸς τὸ κέρδος, τουτέστι τῶν ιε΄ ὑπερπύρων καὶ κουκκιῶν ιγ΄ καὶ τουρν(ε)σ(ίου) ϛ″. τὸ δὲ ἥμισυ τούτων ἐστὶ ὑπέρπυρα ζ΄ κουκκιὰ ις΄ τουρν(έ)σ(ια) β΄ καὶ $\frac{\alpha}{\delta}$ ἑνὸς τουρν(ε)σ(ίου). ἕνωσον καὶ ταῦτα μετὰ τῶν ι΄ μηνῶν τὸ κέρδος, ὅπερ ἐστὶ ὑπέρπυρα ρνς΄ κουκκιὰ ια΄ τουρν(έ)σι α΄, καὶ γίνεται ὁμοῦ τῶν ι΄ϛ″ μηνῶν τὸ κέρδος ὑπέρπυρα ρξδ΄ κουκκιὰ ζ΄ τουρν(έ)σια γ΄ καὶ $\frac{\alpha}{\delta}$ ἑνὸς τουρν(ε)σί(ου).

τὸ δὲ χρονικὸν κέρδος τῶν ρνς΄ φλουριῶν καὶ δ΄ ὑπερπύρων καὶ κουκκιῶν ι΄ – τοὺς μὲν ι΄ μῆνας εἴπομεν, ὅτι ἐστὶ ὑπέρπυρα ρνς΄ κουκκιὰ ια΄ τουρν(έ)σι α΄. λείπονται δύο μῆνες μέχρι τῶν ιβ΄ μηνῶν τοῦ χρόνου. διπλασίασον δὲ ἑνὸς μήνου κέρδος· δὶς οὖν ὑπέρπυρα ιε΄ γίνονται ὑπέρπυρα λ΄ καὶ δὶς κουκκιὰ ιγ΄ γίνονται κουκκιὰ κς΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄ κουκκιὰ ϛ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν λ΄ ὑπερπύρων καὶ γίνονται ὑπέρπυρα λα΄ κουκκιὰ ϛ΄. δὶς δὲ τουρν(έ)σ(ι) ϛ″ γίνονται β΄ μὲν μισά, α΄ δὲ ἀκέραιον. ‖ ἕνωσον καὶ τοῦτο μετὰ τῶν προγενεστέρων καὶ γίνονται f. 49^{v} ὁμοῦ τῶν β΄ μηνῶν ὑπέρπυρα λα΄ κουκκιὰ ϛ΄ τουρν(έ)σι α΄. ἕνωσον δὲ ταῦτα, ἅπερ ἐστὶ μηνῶν δύο κέρδος, μετὰ τῶν ρνς΄ ὑπερπύρων καὶ κουκκιῶν ια΄ καὶ τουρν(ε)σ(ίου) α΄, τῶν ι΄ μηνῶν τὸ κέρδος, καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ρπζ΄ κουκκιὰ ιζ΄ καὶ τουρν(έ)σι(α) β΄. καὶ

ι μηνῶν	‖ ρνς	⋮ ια	τουρν(έ)σ(ι)	α
β μηνῶν	$\overset{(\alpha)}{\|}$ λα	$\overset{(\alpha)}{\vdots}$ ς	τουρν(έ)σ(ι)	α
ιβ μηνῶν	‖ ρπζ	⋮ ιζ	τουρν(έ)σι(α)	β

ἰδοὺ τὰ ρνς΄ φλουριὰ καὶ ὑπέρπυρα δ΄ καὶ κουκκιὰ ι΄ κερδῶσι τὸν χρόνον ὑπέρπυρα ρπζ΄ κουκκιὰ ιζ΄ τουρν(έ)σι(α) β΄.

εὗρες οὖν, πόσα κερδῶσι τὸν μῆνα καὶ πόσα τοὺς ι΄ϛ″ μῆνας καὶ πόσα τὸν χρόνον, οὐ μετὰ προχείρου μεταχειρίσεως, ἀλλ᾽ ὡς ἐνδέχεται γενέσθαι.

Cη Περὶ τοῦ ἐὰν φλουριὰ ρ΄ ἔχωσι τὸν χρόνον κέρδος φλουριὰ ιε΄, τὰ ρν΄ φλουριὰ πόσα κερδῶσι μῆνας ϛ΄ καὶ ἡμέρας ιε΄

Ἔστω ὅτι ζητεῖς εἰδέναι· ἐὰν τὰ ρ΄ φλουριὰ κερδῶσι τὸν χρόνον φλουριὰ ιε΄, τὰ ρν΄ φλουριὰ πόσα ἔχοσι κερδῆσαι μῆνας ϛ΄ καὶ ἡμέρας ιε΄;

τὰ ιε΄ φλουριά, ἅπερ ἐστὶ χρονικὸν κέρδος τῶν ρ΄ φλουριῶν, ἕκαστον ἀνὰ ὑπέρπυρα η΄ – η΄κις ιε΄ γίνονται ὑπέρπυρα ρκ΄. τὰ δὲ ν΄ φλουριά – ἐστὶ τὸ χρονικὸν κέρδος αὐτῶν τὰ ἡμίση τῶν ρκ΄ ὑπερπύρων, ἅπερ ἐστὶ ὑπέρπυρα ξ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρκ΄ ὑπερπύρων καὶ γίνεται ὁμοῦ τὸ χρονικὸν κέρδος τῶν ρν΄ φλουριῶν ὑπέρπυρα ρπ΄. μέρισον ταῦτα εἰς τοὺς ιβ΄ μῆνας τοῦ ἐνιαυτοῦ καὶ γίνεται ὁ τούτων δια-

---

4 δεκαπλασίασον] $\overset{\alpha}{\iota}$πλασί$\overset{\alpha}{\sigma}$ων **C** 12.13 τὸ ἥμισυ] τὸ ἡμισην **C**

μερισμὸς ὑπέρπυρα ιε΄. καὶ ἰδοὺ τὰ ρν΄ φλουριὰ κερδῶσι τὸν μῆνα ὑπέρπυρα ιε΄. τοὺς ς΄ δὲ μῆνας· ς΄κις ὑπέρπυρα ιε΄ γίνονται ὑπέρπυρα Ϛ΄. τὰς ιε΄ δὲ ἡμέρας κερδῶσι τὰ ἡμίση τῶν ιε΄ ὑπερπύρων, ἅπερ ἐστὶ ὑπέρπυρα ζ΄ κουκκιὰ ι΄. καὶ ἰδοὺ τὰ ρν΄ φλουριὰ κερδῶσι τοὺς ς΄ μῆνας καὶ ιε΄ ἡμέρας ὑπέρπυρα Ϛζ΄ κουκκιὰ ι΄.

ἐὰν δὲ καὶ τὸ ἡμερήσιον κέρδος τῶν ρν΄ φλουριῶν ζητῇς, μέρισον τὸ μηνικὸν κέρδος, τὰ ιε΄ δηλονότι ὑπέρπυρα, εἰς τὰς λ΄ ἡμέρας τοῦ μηνὸς καὶ γίνεται τὸ ἡμερήσιον κέρδος τῶν ρν΄ φλουριῶν κουκκιὰ ι΄.

ἐὰν δὲ καὶ πόσον κερδᾷ τὸν χρόνον ἕκαστον φλουρὶ τῶν ρν΄ ζητῇς, μέρισον τὰ ρπ΄ ὑπέρπυρα μετὰ τῶν ρν΄ φλουριῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρον α΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\gamma\,\iota\,\eta}{\alpha\,\varepsilon\,\iota}$, ἅπερ σχιζόμενα εἰς μέρη λ΄ γίνεται $\frac{\alpha}{\varepsilon}$. τὸ δὲ $\frac{\alpha}{\varepsilon}$ τοῦ ἑνὸς ὑπερπύρου, τῶν κ΄ δηλονότι κουκκιῶν, ἐστὶ κουκκιὰ δ΄.

ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί· τὰ λ΄, ἅπερ ἀπομένοσι τζάκισμα, ἐστὶ ὑπέρπυρα. ποίησον ταῦτα κουκκιά· κ΄κις οὖν λ΄ γίνονται χ΄. μέρισον ταῦτα μετὰ τῶν ρν΄ φλουριῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ δ΄. καὶ ἰδοὺ ἕκαστον τῶν ρν΄ φλουριῶν κερδᾷ τὸν χρόνον ὑπέρπυρον α΄ καὶ κουκκιὰ δ΄, τουτέστι κουκκιὰ κδ΄.

μέρισον τὰ κδ΄ εἰς τοὺς ιβ΄ μῆνας καὶ γίνεται ἑκάστη μερὶς τῶν ιβ΄ ἀνὰ κουκκιὰ β΄· ιβ΄κις γὰρ β΄ κδ΄ γίνονται. ἕκαστον δὲ τῶν ρν΄ φλουριῶν κερδᾷ τὸν μῆνα κουκκιὰ β΄.

Ϛθ Περὶ τοῦ ἐὰν φλουριὰ ρ΄ ἔχωσι τὸν χρόνον κέρδος φλουριὰ ιε΄, τὰ τ΄ φλουριὰ εἰς πόσους χρόνους διπλάζονται

Ἔστω ὅτι ζητεῖς εἰδέναι· ἐὰν φλουριὰ ρ΄ κερδῶσι ἕκαστον ἐνιαυτὸν φλουριὰ ιε΄, τὰ τ΄ φλουριὰ εἰς πόσους χρόνους γενήσονται ἐπὶ τὸ διπλάσιον;

τὸ χρονικὸν οὖν κέρδος τῶν τ΄ φλουριῶν ἐστι τρὶς ιε΄, με΄ φλουριά. μέρισον τὰ τ΄ φλουριὰ μετὰ τῶν με΄ φλουριῶν, τὸ χρονικὸν κέρδος αὐτῶν δηλονότι, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ς΄ καὶ $\frac{\beta}{\gamma}$· καὶ γὰρ δὶς ιε΄ γίνονται λ΄ καὶ τρὶς ιε΄ γίνονται με΄. καὶ ἰδοὺ εἰς χρόνους ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς χρόνου, ἅπερ ἐστὶ μῆνες η΄, διπλάζονται τὰ τ΄ φλουριὰ καὶ γίνονται χ΄.

ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί. τὸ χρονικὸν κέρδος τῶν τ΄ φλουριῶν εἴπομεν, ὅτι ἐστὶ φλουριὰ με΄· ς΄κις οὖν με΄ γίνονται σο΄, τὰ δὲ $\frac{\beta}{\gamma}$ τῶν με΄ φλουριῶν ἐστι φλουριὰ λ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν σο΄ καὶ γίνονται ὁμοῦ φλουριὰ τ΄. καὶ ἰδοὺ χρόνους ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς χρόνου κερδῶσι τὰ τ΄ φλουριὰ ἕτερα τ΄, τουτέστι διπλάζονται, καθὼς οὕτως εὗρες καὶ διὰ τῆς προχείρου μεταχειρίσεως.


Ἐὰν δὲ καὶ τοῦτο ζητῇς, ὅτι ἐὰν εἰς χρόνους ς΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς χρόνου διπλάζωνται τὰ τ΄ φλουριὰ καὶ γίνωνται χ΄, τὸ χρονικὸν αὐτῶν κέρδος ἄρα πόσον ἐστί;

μέρισον τὰ τ΄ φλουριὰ μετὰ τῶν ς΄ καὶ $\frac{\beta}{\gamma}$· τρὶς οὖν ς΄ γίνονται ιη΄, καὶ β΄ – τὰ ἄνωθεν τῆς κεραίας γραμμῆς – ὁμοῦ τρίτα κ΄ τὰ ς΄ καὶ $\frac{\beta}{\gamma}$. ποίησον τρίτα καὶ τὰ τ΄ φλουριά· τρὶς οὖν τ΄ γίνονται τρίτα ≫΄. μέρισον τὰ ≫΄ τρίτα μετὰ τῶν κ΄ τρίτων καὶ γίνεται ὁ τούτων διαμερισμὸς με΄. καὶ ἰδοὺ μεριζόμενα τὰ τ΄ φλουριὰ μετὰ τῶν ς΄

---

10 ζητῇς] ζητες **C**

χρόνων καὶ $\frac{\beta}{\gamma}$, ὧν διπλάζονται, γίνεται ὁ τούτων διαμερισμὸς φλουριὰ με΄, ἅπερ ἐστὶ χρονικὸν κέρδος τῶν τ΄ φλουριῶν.



ἐὰν δὲ καὶ τὸ μηνιαῖον κέρδος τῶν τ΄ φλουριῶν ζητῇς, μέρισον τὸ χρονικὸν κέρδος αὐτῶν, τουτέστι τὰ με΄ φλουριά, εἰς τοὺς ιβ΄ μῆνας τοῦ χρόνου καὶ γίνεται ὁ τούτων διαμερισμὸς φλουριὰ γ΄ καὶ $\frac{\gamma}{\delta}$ ἑνὸς φλουριοῦ. τὰ γὰρ θ΄ πρὸς τὰ ιβ΄ $\frac{\gamma}{\delta}$ εἰσί· τρὶς γὰρ γ΄ γίνονται θ΄ καὶ δ΄κις γ΄ γίνονται ιβ΄. τὰ δὲ $\frac{\gamma}{\delta}$ τῶν η΄ ὑπερπύρων τοῦ ἑνὸς φλουριοῦ ἐστι ὑπέρπυρα ς΄. καὶ ἰδοὺ τὸ μηνιαῖον κέρδος τῶν τ΄ φλουριῶν ἐστι φλουριὰ γ΄ καὶ ὑπέρπυρα ς΄, ἅπερ ἐστὶ ὑπέρπυρα λ΄.

ἐὰν δὲ καὶ τὸ ἡμερήσιον κέρδος τῶν τ΄ φλουριῶν ζητῇς, μέρισον τὸ μηνιαῖον κέρδος, τουτέστι τὰ λ΄ ὑπέρπυρα, εἰς τὰς λ΄ ἡμέρας τοῦ μηνὸς καὶ γίνεται τὸ ἡμερήσιον κέρδος τῶν τ΄ φλουριῶν ὑπέρπυρον α΄.

ρ

Περὶ τοῦ πῶς ἔστι συνάψαι τὰ ἐν διαφόροις μησὶ καὶ ἡμέραις δοθέντα μέρη καὶ ποιῆσαι τὸ κέρδος τούτων ἄρξασθαι ἐν μιᾷ ἡμέρᾳ

Ἔστω ὅτι δανειστὴς μετὰ τόκου, ὅστις ἔχει κατάστιχον διαφόρων χρεῶν, ὧν δέδωκε κατὰ διαφόρους μῆνάς τε καὶ ἡμέρας, ὡς δηλοῦται καταμέρος ἐν τὸ ἐκείνου κατάστιχον. ζητεῖ δὲ συνάψαι τὰ ἐν διαφόροις μησὶ καὶ ἡμέραις δοθέντα διάφορα ‖ χρέα f. 50r καὶ ποιῆσαι τὸ κέρδος τούτων ἄρξασθαι ἐν μιᾷ ἡμέρᾳ. ἔχεις οὖν τοῦτο ποιῆσαι οὕτως. ἔστω ὅτι κατὰ τὴν πρώτην ἰνδικτιῶνα ἐν διαφόροις μησὶ δέδωκε δανειακῶς πρός τινα φλουριά τινα, ἕκαστον φλουρὶ εἰς ὑπέρπυρα η΄. συνε[μ]φώνησε δὲ εἰς τὰ ρ΄ φλουριὰ τὸν χρόνον κέρδος φλουριὰ ιε΄, κερδᾷ δὲ ἕκαστον φλουρὶ τὸν μῆνα κουκκιὰ β΄. δέδω-

εἰς τὰς ι τοῦ σεπτ(εμβ)ρί(ου)	φ	ο				
εἰς τὰς κ τοῦ ὀκτ(ωβ)ρί(ου)	φ	ξ ·	κέρδος φ	α	ἤτοι ℥	η
εἰς τὰς λ τοῦ νοε(μβ)ρί(ου)	φ	ς ·	κέρδος φ	γ	ἤτοι ℥	κδ
εἰς τὰς ι τοῦ δεκ(εμβ)ρί(ου)	φ	π ·	κέρδος φ	γ	ἤτοι ℥	κδ
			ὁμοῦ φ	ζ	ἤτοι ℥	νς

κε δὲ τὰς διαφόρους οὕτως· τῇ δεκάτῃ τοῦ σεπτ(εμβ)ρί(ου) φλουριὰ ο΄, τῇ εἰκοστῇ τοῦ ὀκτ(ωβ)ρί(ου) φλουριὰ ξ΄, τῇ τριακοστῇ τοῦ νοε(μβ)ρί(ου) φλουριὰ ς΄, τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρί(ου) φλουριὰ π΄.

ἄφες οὖν τὰ ο΄ φλουριὰ καὶ ζήτει τὸ κέρδος τῶν ξ΄ φλουριῶν τῆς δευτέρας δόσεως. τὰ ξ΄ οὖν φλουριὰ δέδωκαν κέρδος ἀπὸ τῆς δεκάτης τοῦ σεπτ(εμβ)ρί(ου) μέχρι τῆς εἰκοστῆς τοῦ ὀκτ(ωβ)ρί(ου), ἅπερ εἰσὶ ἡμέραι μ΄, – τὰς μὲν λ΄ ἡμέρας, τουτέστι ἑνὸς μήνου κέρδος, κουκκιὰ δὶς ξ΄, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄. τῶν ι΄ δὲ ἡμερῶν τὸ κέρδος, ὧν λείπονται μέχρι τῶν μ΄, ἐστὶ τρίτον μέρος τῶν λ΄ ἡμερῶν, ἐστὶ δὲ καὶ τὸ κέρδος αὐτῶν τρίτον μέρος τῶν ρκ΄ κουκκιῶν, ἅπερ ἐστὶ κουκκιὰ μ΄. καὶ ὁμοῦ τὸ κέρδος τῶν ξ΄ φλουριῶν τὰς μ΄ ἡμέρας κουκκιὰ ρξ΄, τουτέστι φλουρὶ α΄ ἤτοι ὑπέρπυρα η΄.

---

divisio prima: ⟨illegible⟩] ⟨illegible⟩ **C** 16 δανειστὴς] δανησθης **hic et passim C** 17/18 ἐν τὸ ... κατάστιχον **sic C** 18 χρέα] **sic pro** χρέη **C** 20 ἰνδικτιῶνα] ⟨illegible⟩ **C in figura:** ἤτοι] ὕτι **C** 23 τὰς διαφόρους] **sc.** ἡμέρας 23–25 δεκάτῃ] ι **C** εἰκοστῇ] κ **C** τριακοστῇ] λ **C, similiter passim alia ordinalia** 27 δέδωκαν] **sic pro** δεδώκασιν **C** δεκάτης] ι **C** 28 εἰκοστῆς] κ **C** 32 ἤτοι] **iterum** ὕτι **C**

τὰ δὲ ς΄ φλουριὰ ἀπὸ τῆς δεκάτης τοῦ σεπτ(εμβ)ρί(ου) μέχρι τῆς τριακοστῆς τοῦ νοε(μβ)ρ(ίου) ἔχοσι ἡμέρας π΄. τὰ ς΄ οὖν φλουριὰ κερδῶσι τὸν μῆνα κουκκιὰ δὶς ς΄, ἅπερ ἐστὶ κουκκιὰ ρπ΄, τοὺ<ς> δύο δὲ μῆνας – τὰς ξ΄ δηλονότι ἡμέρας – κερδῶσι δὶς ρπ΄, ἅπερ ἐστὶ κουκκιὰ τξ΄. τὰς δὲ κ΄ ἡμέρας, ἃς λείπονται μέχρι τῶν π΄ ἡμερῶν – ὥσπερ ἐστὶ $\frac{\beta}{\gamma}$ τῶν λ΄ ἡμερῶν τοῦ ἑνὸς μήνου, ἐστὶ καὶ τὸ κέρδος αὐτῶν $\frac{\beta}{\gamma}$ τῶν ρπ΄ κουκκιῶν, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν τξ΄ κουκκιῶν, καὶ ὁμοῦ τὸ κέρδος τῶν ς΄ φλουριῶν τὰς π΄ ἡμέρας κουκκιὰ υπ΄, ἅπερ ἐστὶ φλουριὰ γ΄ ἤτοι ὑπέρπυρα κδ΄.

τὰ δὲ π΄ φλουριά – ἴσως τὸ δίκαιον ἀπαιτεῖ, ἵνα οὐδὲν ἔχωσι κέρδος, ἐπεὶ οὐδὲ ἡμέρας παρελθούσας ἔχοσι· κατ᾽ αὐτὴν γὰρ τὴν δεκάτην τοῦ δεκ(εμβ)ρί(ου) δοθέντα οὐ κερδῶσι τὸ τυχόν. διὰ δὲ τὸ συνάψαι τὸ κέρδος τῶν διαφόρων τεσσάρων τούτων δόσεων εἰς μιᾶς ἡμέρας ἀρχὴν ἀπαιτεῖ ἡμῖν ἡ μεταχείρισις αὐτή, ὅτι τὰ μὲν ο΄ φλουριά, ἅπερ μάλιστα δικαίως ἔχοσι κέρδος, ἵνα οὐκ ἀπαιτήσωμεν ἐξ αὐτῶν κέρδος ζητῆσαι δὲ μᾶλλον τὸ κέρδος τῶν π΄ φλουριῶν ἀπὸ τῇ δεκάτῃ τοῦ σεπτ(εμβ)ρί(ου) μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρ(ίου), ἅπερ ἐστὶ ἡμέραι ς΄, τουτέστι μῆνες γ΄. ἔχοσι δὲ τὰ π΄ φλουριὰ τὸν μῆνα κέρδος κουκκιὰ δὶς π΄, ἅπερ ἐστὶ κουκκιὰ ρξ΄, τοὺς τρεῖς δὲ μῆνας τρὶς κουκκιὰ ρξ΄, ἅπερ ἐστὶ κουκκιὰ υπ΄, ἅπερ ἐστὶ φλουριὰ γ΄ ἤτοι ὑπέρπυρα κδ΄.

καὶ ὁμοῦ τὸ κέρδος τῶν τεσσάρων διαφόρων δόσεων τῷ τρόπῳ τούτῳ φλουριὰ ζ΄ ἤτοι ὑπέρπυρα νς΄. ἕνωσον τὰς τέσσαρες διαφόρους δόσεις· ο΄ δὲ καὶ ξ΄ καὶ ς΄ καὶ π΄ φλουριὰ γίνονται ὁμοῦ φλουριὰ τ΄. ζήτει οὖν τῶν τ΄ φλουριῶν τὸ ἀνάλογον κέρδος πρὸς ιε΄ τὰ ρ΄, πόσων ἡμερῶν κέρδος τῶν τ΄ φλουριῶν ἐστι τὰ νς΄ ὑπέρπυρα. τὰ τ΄ οὖν φλουριὰ τὸν μῆνα κερδῶσι κουκκιὰ χ΄, καθ᾽ ὃν λόγον εἴπομεν, ὅτι ἕκαστον φλουρὶ κερδᾷ τὸν μῆνα κουκκιὰ β΄. τὰ δὲ χ΄ κουκκιά ἐστι ὑπέρπυρα λ΄. καὶ ἰδοὺ ἑκάστην ἡμέραν κερδῶσι τὰ τ΄ φλουριὰ ὑπέρπυρον α΄. τὰ νς΄ οὖν ὑπέρπυρα, ἅπερ ἐστὶ κέρδος τῶν τεσσάρων διαφόρων δόσεων, ἐστὶ νς΄ ἡμερῶν κέρδος τῶν τ΄ φλουριῶν. ἄρξου δὲ ἀπὸ τῇ δεκάτῃ τοῦ σεπτ(εμβ)ρί(ου) καὶ σκόπει, ποῦ καταλήγοσι αἱ νς΄ ἡμέραι, κἀκεῖσε σημείωσαι τὴν ἀρχὴν πάντων καὶ ἄρχου ἀπ᾽ ἐκεῖσε τὸ κέρδος τῶν τ΄ φλουριῶν. καταλήγοσι δὲ αἱ νς΄ ἡμέραι ἀπὸ τῇ δεκάτῃ τοῦ σεπτ(εμβ)ρί(ου) ἀρχόμεναι μέχρι τῇ ἕκτῃ τοῦ νοε(μβ)ρί(ου)· πάντας γὰρ τοὺς ιβ΄ μῆνας τοῦ ἐνιαυτοῦ ἐπὶ τῶν λογαριασμῶν τε καὶ καταστίχων ἀνὰ λ΄ ἡμέρας ἀριθμῶσι αὐτούς. διὰ τὸ ἀσύγχυτον· κ΄ δὲ τοῦ σεπτ(εμβ)ρί(ου) καὶ λ΄ τοῦ ὀκτ(ωβ)ρί(ου) – ὁμοῦ ἡμέραι ν΄. λάβε καὶ ἀπὸ τὸν νοέ(μβ)ρι(ον) ἡμέρας ς΄ – ὁμοῦ ἡμέραι νς΄. καὶ ἰδοὺ ἐγένετο ἡ σύναψις καὶ ἡ ἀρχὴ τοῦ κέρδους τῶν διαφόρων τεσσάρων δόσεων τῇ ἕκτῃ τοῦ νοε(μβ)ρί(ου).

Ἵνα δὲ ἴδῃς τὸ ἀληθὲς τῆς παρούσης μεταχειρίσεως· ἀπὸ τῇ ἕκτῃ τοῦ νοε(μβ)ρί(ου), ἣν διωρισάμεθα εἶναι τὴν ἀρχὴν τοῦ κέρδους τούτων πάντων, μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρ(ίου) εἰσὶ ἡμέραι λδ΄. καὶ ἐπεὶ τὰ τ΄ φλουριὰ ἑκάστην ἡμέρα(ν) δίδωσι κέρδος ὑπέρπυρον α΄, τὰς λδ΄ ἡμέρας κερδῶσι ὑπέρπυρα λδ΄. οὕτως οὖν δίδωσι καὶ αἱ τέσσαρες διάφοραι δόσεις τῇ ἀληθείᾳ ἀπὸ τῇ δεκάτῃ τοῦ σεπτ(εμβ)ρ(ίου) μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρ(ίου) ὑπέρπυρα λδ΄.

ἵνα δὲ ἴδῃς, ὅτι οὕτως ἐστί· τὰ ο΄ φλουριὰ τῆς πρώτης δόσεως ἀπὸ τῇ δεκάτῃ τοῦ σεπτ(εμβ)ρί(ου) μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρί(ου) ἔχοσι ἡμέρας ς΄, τουτέστι μῆνας τρεῖς. δίδωσι δὲ κέρδος τὸν μῆνα τὰ ο΄ φλουριὰ κουκκιὰ δὶς ο΄, ἅπερ ἐστὶ κουκκιὰ

14/15 **hic et aliubi** ἀπό, μέχρι **c. dat. sic C** 33 ἀπό **c. acc. C** 20 τέσσαρες] τέσσαραις **C, hic et passim pro** τέσσαρας

ρμ΄, τοὺς δὲ γ΄ μῆνας δίδωσι κέρδος τρὶς ρμ΄, ἅπερ ἐστὶ κουκκιὰ υκ΄, τουτέστι ὑπέρπυρα κα΄.

εἰς τὰς ι τοῦ σεπτ(εμβ)ρί(ου)	φ ο ·	κέρδος $\overset{(α)}{\parallel}$ κα
εἰς τὰς κ τοῦ ὀκτ(ωβ)ρί(ου)	φ ξ ·	κέρδος $\overset{(α)}{\parallel}$ ι
εἰς τὰς λ τοῦ νοε(μβ)ρί(ου)	φ ς ·	κέρδος $\overset{(α)}{\parallel}$ γ
εἰς τὰς ι τοῦ δεκ(εμβ)ρί(ου)	φ π	ὁμοῦ $\overset{(α)}{\parallel}$ λδ

τὰ δὲ ξ΄ φλουριὰ ἀπὸ τῇ εἰκοστῇ τοῦ ὀκτ(ωβ)ρί(ου) μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρί(ου) ἔχοσι ἡμέρας ν΄. κερδῶσι δὲ τὰ ξ΄ φλουριὰ τὸν μῆνα κουκκιὰ δὶς ξ΄, ἅπερ ἐστὶ κουκκιὰ ρκ΄. αἱ δὲ κ΄ ἡμέραι ἐστὶ $\frac{β}{γ}$ τῶν λ΄ ἡμερῶν τοῦ ἑνὸς μήνου. ἐστὶ δὲ καὶ τὸ κέρδος αὐτῶν $\frac{β}{γ}$ τῶν ρκ΄ κουκκιῶν, ἅπερ ἐστὶ κουκκιὰ π΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ρκ΄ κουκκιῶν καὶ γίνεται τὸ κέρδος τῶν ξ΄ φλουριῶν τὰς ν΄ ἡμέρας κουκκιὰ σ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ι΄.

τὰ δὲ ς΄ φλουριὰ ἀπὸ τῇ τριακοστῇ τοῦ νοε(μβ)ρ(ίου) μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρ(ίου) ἔχοσι ἡμέρας ι΄. αἱ ι΄ δὲ ἡμέραι ἐστὶ $\frac{α}{γ}$ τῶν λ΄ ἡμερῶν τοῦ ἑνὸς μήνου. τὸν δὲ μῆνα κερδῶσι τὰ ς΄ φλουριὰ κουκκιὰ δὶς ς΄, ἅπερ ἐστὶ κουκκιὰ ρπ΄. τὸ δὲ $\frac{α}{γ}$ τῶν ρπ΄ κουκκιῶν ἐστι κουκκιὰ ξ΄, ἅπερ ἐστὶ ὑπέρπυρα γ΄. κερδῶσι δὲ τὰ ς΄ φλουριὰ τὰς ι΄ ἡμέρας ὑπέρπυρα γ΄.

τὰ δὲ π΄ φλουριά, ἐπεὶ οὐ παρῆλθον ἡμέραι ἀπὸ τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρί(ου), οὐδὲ κέρδος ἔχοσι. ἕνωσον δὲ τὰ ὑπέρπυρα αὐτῶν καὶ γίνονται ὁμοῦ ὑπέρπυρα λδ΄. καὶ ἰδοὺ εὗρες, ὅτι ἀληθῶς αἱ διάφοραι τέσσαρες δόσεις κερδῶσι μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρί(ου) ὑπέρπυρα λδ΄.

κἄντε οὖν ἀπὸ τῇ δεκάτῃ || τοῦ σεπτ(εμβ)ρί(ου) διειρημ[μ]ένως ἀρξάμενον τὸ κέρδος τῶν τεσσάρων διαφόρων δόσεων μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρ(ίου) ἐστὶ ὑπέρπυρα λδ΄, κἄντε ἀπὸ τῇ ἕκτῃ τοῦ νοε(μβ)ρ(ίου) – οὐ διειρημ[μ]ένως, ἀλλὰ ὁμοῦ ἀρξάμενον – τῶν τεσσάρων διαφόρων δόσεων τὸ κέρδος μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρί(ου) καὶ οὕτως πάλιν ἐστὶ ὑπέρπυρα λδ΄. f. 50^{v}

Ἐπεὶ οὖν εὗρες τῇ ἀληθείᾳ, ὅτι αἱ τοιαῦται τέσσαρες διάφοραι δόσεις διειρημένως μὲν ἀπὸ τῇ δεκάτῃ τοῦ σεπτ(εμβ)ρί(ου) ἀρξάμενον τὸ κέρδος αὐτῶν μέχρι τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρ(ίου) ἐστὶ ὑπέρπυρα λδ΄, ὁμοῦ δὲ αἱ τέσσαρες δόσεις τῶν τ΄ φλουριῶν ἑκάστην ἡμέραν κερδῶσι ὑπέρπυρον α΄, δῆλόν σοι γίνεται, ὅτι ταῦτα τὰ λδ΄ ὑπέρπυρα, ἅπερ ἐστὶ κέρδος τῶν τεσσάρων διαφόρων δόσεων, ἐστὶ κέρδος τῶν τ΄ φλουριῶν ἡμερῶν λδ΄.

ὀπισθαπόδησε οὖν ὀπισθορμήτως ἀπὸ τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρί(ου) ἀρξάμενος, ἥτις ἐστὶ τελευταία ἡμέρα πάντων τῶν διαφόρων δόσεων, μέχρις ἂν πληρώσῃς ταύτας τὰς λδ΄ ἡμέρας, ταὐτὸν δ᾽ εἰπεῖν τὰ λδ΄ ὑπέρπυρα, καὶ ἔνθα ἂν καταλήξωσι ὀπισθορμήτως αἱ λδ΄ ἡμέραι – μᾶλλον δὲ τὰ λδ΄ ὑπέρπυρα –, ἐκεῖσέ ἐστι ἡ ἀρχή τε καὶ σύναψις τοῦ κέρδους τῶν διαφόρων τεσσάρων δόσεων. καταλήγοσι δὲ ὀπισθορμήτως ἀπὸ τῇ δεκάτῃ τοῦ δεκ(εμβ)ρ(ίου) ἀρξάμενα τὰ λδ΄ ὑπέρπυρα μέχρι τῇ ἕκτῃ τοῦ νοε(μβ)ρί(ου), καθὼς οὕτως εὗρες καὶ διὰ τῆς πρώτης μεταχειρίσεως.


καὶ ἰδού ἐστι καὶ αὕτη δευτέρα μεταχείρισις καὶ σαφεστέρα τῆς πρώτης, δι᾽ ἧς ἔχεις συνάψαι τὰς διειρημ[μ]ένας διαφόρους τέσσαρες δόσεις τῶν τ΄ φλουριῶν καὶ ποιῆσαι τὸ κέρδος τούτων ἄρξασθαι ἐν μιᾷ ἡμέρᾳ.

ρα

Περὶ τοῦ πῶς ἔστι ἑνῶσαι ὁμάδας διαφόρους καὶ εἰδέναι, πόση γίνεται ἡ ποσότης τούτων πάντων μία ὁμὰς γενομένη

Ἔστω ὅτι ἐκ διαφόρων λογαριασμῶν ἐξῆλθον ὁμάδαι διάφοραι, καὶ ἡ μὲν πρώτη ὁμάς

22.36 ἕκτῃ] ς **C**



ἐστι ὑπέρπυρα ,αχϛε΄, ἡ δευτέρα δὲ ὁμάς ἐστι ὑπέρπυρα ,ατϛγ΄, ἡ δὲ τρίτη ἐστὶ ὑπέρπυρα ,γυνδ΄, ἡ δὲ τετάρτη ἐστὶ ὑπέρπυρα ,δφξε΄. θὲς οὖν ταύτας ἀκολούθως ἐν τάξει – μονάδα μετὰ μονάδος καὶ δεκάδα μετὰ δεκάδος καὶ ἑξῆς ὁμοίως. ἕνωσον οὖν ταύτας τὰς διαφόρους ὁμάδας ἀπὸ τῆς μονάδος ἀρξάμενος καὶ εἰπέ· ε΄ καὶ γ΄ γίνονται η΄, καὶ δ΄ γίνονται ιβ΄, καὶ ε΄ γίνονται ιζ΄. θὲς κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τόπον μονάδος ζ΄, κράτει δὲ παρὰ σεαυτῷ α΄ ἀντὶ τῶν ι΄. ἕνωσον δὲ πάλιν τὰς δεκάδας ἀπὸ τῶν θ΄ ἀρξάμενος· θ΄ οὖν καὶ θ΄ γίνονται ιη΄, καὶ ε΄ γίνονται κγ΄, καὶ ϛ΄ γίνονται κθ΄. πρόσθες καὶ τὸ α΄, ὅπερ κρατεῖς ἀντὶ τῶν ι΄, καὶ γίνονται ὁμοῦ λ΄. τὰ δὲ λ΄ γράφονται οὕτως· γ μ΄. θὲς οὖν κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τόπον δεκάδος μ΄, κράτει δὲ παρὰ σεαυτῷ γ΄ ἀντὶ τῶν λ΄. ἕνωσον δὲ καὶ τὰς ἑκατοντάδας· ϛ΄ οὖν καὶ γ΄ γίνονται θ΄, καὶ δ΄ γίνονται ιγ΄, καὶ ε΄ γίνονται ιη΄, καὶ γ΄, ἅπερ ἀντὶ τῶν λ΄ κρατεῖς, ὁμοῦ κα΄. θὲς κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τόπον ἑκατοντάδος α΄, κράτει δὲ παρὰ σεαυτῷ β΄ ἀντὶ τῶν κ΄. ἕνωσον δὲ καὶ τὰς χιλιάδας· α΄ οὖν καὶ α΄ γίνονται β΄, καὶ γ΄ γίνονται ε΄, καὶ δ΄ γίνονται θ΄, καὶ β΄, ἅπερ ἀντὶ τῶν κ΄ κρατεῖς, ὁμοῦ ια΄. θὲς οὖν κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τὸν τῆς χιλιάδος τόπον α΄ καὶ εἰς τὸν τῆς μυριάδος τόπον α΄ ἀντὶ τῶν ι΄. καὶ ἰδοὺ ἡ καθόλου ποσότης τῶν διαφόρων τεσσάρων ὁμάδων ἐστὶ ὑπέρπυρα ,ι,α΄ καὶ ρζ΄ ὑπέρπυρα.

Ἡ δὲ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον, ἔστι αὕτη.

ζήτει ἀνὰ δύο γράμματα, ὡς καὶ ἐπὶ τῶν τοῦ πολλ(α)πλασιασμοῦ καὶ διαμερισμοῦ εἰώθαμεν ποιεῖν μαρτ(υ)ριῶν, καὶ μέριζε ταῦτα ἐπὶ τῶν ζ΄. καὶ ἀπὸ μὲν τῶν δύο πρώτων γραμμάτων οὕτως κείμενα α ϛ΄ περισσεύοσι β΄. τὰ β΄ δὲ ταῦτα μετὰ τοῦ ἐφεξῆς τρίτου γράμματος οὕτως κείμενα β θ΄ δηλῶσι κθ΄. μέρισον καὶ ταῦτα ἐπὶ τῶν ζ΄ – περισσεύει α΄. τὸ δὲ α΄ μετὰ τοῦ ἐφεξῆς τετάρτου γράμματος οὕτως κείμενα α ε΄ δηλῶσι ιε΄. μέρισον ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύει καὶ α΄. θὲς οὖν ἔμπροσθεν τῆς τοιαύτης ὁμάδος τὸ α΄, ὅπερ περισσεύει ἐκ τῆς τελευταίας συζυγίας τῶν ἀνὰ δύο γραμμάτων.

οὕτως δὲ ποιῶν καὶ ἐπὶ τῆς δευτέρας ὁμάδος τῆς δηλούσης ὑπέρπυρα ,ατϛγ΄ εἰς τὰ τῆς τελευταίας συζυγίας δύο γράμματα ἀπομένει μ΄· θὲς ἔμπροσθεν κατ᾽ εὐθεῖαν τῆς δευτέρας ὁμάδος μ΄. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς τρίτης ὁμάδος τῆς δηλούσης ,γυνδ΄ ἐπὶ τῆς τελευταίας συζυγίας περισσεύοσι γ΄· θὲς ἔμπροσθεν τῆς τρίτης ὁμάδος γ΄. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς τετάρτης ὁμάδος τῆς δηλούσης ,δφξε΄ ἐπὶ τῆς τελευταίας συζυγίας τῶν ἀνὰ δύο γραμμάτων περισσεύει α΄· θὲς ἔμπροσθεν τῆς τετάρτης ὁμάδος α΄. ἕνωσον δὲ τὰ ἐκ τῶν τεσσάρων ὁμάδων περιττεύοντα· α΄ οὖν καὶ γ΄ γίνονται δ΄, καὶ α΄ γίνονται ε΄. θὲς ε΄ ἐντὸς κύκλου τινός.

ζήτει δὲ καὶ τὰ ἐξελθόντα ἐκ τῶν τεσσάρων ὁμάδων, ἅπερ δηλῶσι ,ι,α΄ καὶ ρζ΄, καὶ μέρισον καὶ ταῦτα ἀνὰ δύο γράμματα ἐπὶ τῶν ζ΄ ἀπὸ τῆς πρώτης συζυγίας ἀρξάμενος, ἥτις δηλοῖ ια΄, μέχρι τῆς τελευταίας, ὡς εἰώθαμεν ποιεῖν. καὶ εὑρήσεις, ὅτι περισσεύοσι καὶ ἐνταῦθα ε΄. θὲς καὶ ταῦτα ἐντὸς κύκλου τινός. καὶ ἐπεὶ αἱ δύο μαρτ(υ)ρίαι αὐτῶν ἐγένοντο ἴσαι καὶ ὅμοιαι, ἔχουσα ἑκάστη ἀνὰ ε΄, ἤδη ἐγένετο καλῶς τὸ ζητούμενον. εἰ δὲ ἡ μὲν εἶχε ε΄, ἡ δὲ ἄλλον τι ἀνόμοιον γράμμα, οὐδὲ ἡ ὁμὰς τῶν

---

in sinistro marg. fol. 50^{v} ad 21: ζήτει τὴν μαρτ(υ)ρίαν τούτου διὰ τοῦ θ΄ καὶ οὐ διὰ τοῦ ζ΄.

,ι,α΄ καὶ ρζ΄ ὑπερπύρων ἐγένετο ἂν καλῶς.
καὶ ἰδοὺ αὕτη ἐστὶ ἡ ἀπόδειξις τῆς ὁμάδος.

Ἕτερον τούτου ὅμοιον. Ἔστω δὲ πάλιν ἡ μὲν πρώτη ὁμὰς ὑπέρπυρα ≫νγ΄, ἡ δὲ δευτέρα ὑπέρπυρα ωις΄, ἡ δὲ τρίτη ὑπέρπυρα ,ζχλα΄, ἡ δὲ τετάρτη ὑπέρπυρα ,ϛτιε΄, ἡ δὲ πέμπτη ὑπέρπυρα ,εσοδ΄, ἡ δὲ ἕκτη ὑπέρπυρα ,δρξγ΄, ἡ δὲ ἑβδόμη ὑπέρπυρα ,ι,γ΄ καὶ σμε΄. ἕνωσον οὖν ταύτας τὰς διαφόρους ὁμάδας ἀπὸ τοῦ τέλους τῶν μονάδων ἀρξάμενος ὡς τὸ πρότερον. καὶ γίνεται ὁμοῦ ἡ ποσότης τῶν ἑπτὰ γραμμάτων τῶν μονάδων || κζ΄. θὲς κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τὸν τῆς μονάδος τόπον τὰ ζ΄, κράτει δὲ παρὰ σεαυτῷ β΄ ἀντὶ τῶν κ΄. ὡσαύτως ἕνωσον καὶ τὰ ζ΄ τῶν δεκάδων γράμματα· γίνονται δὲ ὁμοῦ κζ΄. πρόσθες καὶ τὰ β΄, ἅπερ ἀντὶ τῶν κ΄ κρατεῖς, καὶ γίνονται ὁμοῦ κθ΄. θὲς κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τὸν τῆς δεκάδος τόπον τὰ θ΄, κράτει δὲ παρὰ σεαυτῷ β΄ ἀντὶ τῶν κ΄. ὡσαύτως ἕνωσον καὶ τὰ ζ΄ τῶν ἑκατοντάδων γράμματα· γίνονται δὲ ὁμοῦ λα΄. πρόσθες καὶ τὰ β΄, ἅπερ ἀντὶ τῶν κ΄ κρατεῖς, καὶ γίνονται ὁμοῦ λγ΄. θὲς τὰ γ΄ κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τὸν τῆς ἑκατοντάδος τόπον, κράτει δὲ παρὰ σεαυτῷ γ΄ ἀντὶ τῶν λ΄. ὡσαύτως ἕνωσον καὶ τὰ ε΄ γράμματα τῶν χιλιάδων· γίνονται δὲ ὁμοῦ κε΄. πρόσθες καὶ τὰ γ΄, ἅπερ ἀντὶ τῶν λ΄ κρατεῖς, καὶ γίνονται ὁμοῦ κη΄. θὲς τὰ η΄ κάτωθεν τῆς κεραίας γραμμῆς, κράτει δὲ παρὰ σεαυτῷ β΄ ἀντὶ τῶν κ΄. ἕνωσον ταῦτα τὰ β΄ μετὰ τοῦ α΄, ὅπερ ἐστὶ εἰς πέμπτον τόπον τῆς κατωτέρας ὁμάδος, καὶ γίνονται ὁμοῦ γ΄. θὲς ταῦτα τὰ γ΄ κάτωθεν τῆς κεραίας γραμμῆς εἰς πέμπτον τόπον. καὶ ἰδοὺ ἐγένοντο αἱ ἑπτὰ αὗται διάφοραι ὁμάδαι μία ὁμάς, ἥτις δηλοῖ ὑπέρπυρα ,λ,η΄ καὶ τϛζ΄ ὑπέρπυρα. f. 51r

(α)= θ ε γ α
(α)= η α ϛ δ
(α)= ζ ϛ γ α α
(α)= ϛ γ α ε α
(α)= ε β ζ δ γ
(α)= δ α ϛ γ ε
(α)= α γ β δ ε α ὁμοῦ α ϛ (β)
ὁμοῦ (α)= γ η γ θ ζ (β)

Ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία τῆς προτέρας. ἀπὸ γὰρ τῆς πρώτης ὁμάδος περισσεύει α΄, ἀπὸ δὲ τῆς δευτέρας περισσεύουσι δ΄, ἀπὸ δὲ τῆς τρίτης περισσεύει α΄, ἀπὸ δὲ τῆς τετάρτης περισσεύει α΄, ἀπὸ δὲ τῆς πέμπτης περισσεύουσι γ΄, ἀπὸ δὲ τῆς ἕκτης περισσεύουσι ε΄, ἀπὸ δὲ τῆς ἑβδόμης περισσεύει α΄. ἕνωσον ταῦτα πάντα καὶ γίνονται ὁμοῦ ις΄. ἄφελε καὶ ταῦτα ἐπὶ τῶν ζ΄ καὶ περισσεύουσι καὶ β΄. θὲς τὰ β΄ ταῦτα ἐντὸς κύκλου.

ζήτει δὲ καὶ ἀπὸ τῆς τῶν ἑπτὰ ὁμάδων γενομένης ὁμάδος, ἥτις δηλοῖ ,λ,η΄ καὶ τϛζ΄, τὸ περισσεῦον γράμμα τῆς τελευταίας συζυγίας τῶν ἀνὰ δύο γραμμάτων· εὑρήσεις δὲ καὶ τοῦτο β΄. θὲς οὖν καὶ ταῦτα τὰ β΄ ἐντὸς κύκλου. ἐπεὶ οὖν αἱ δύο μαρτυρίαι εἰσὶ ὅμοιαι, ἔχουσα ἑκάστη ἐντὸς κύκλου ἀνὰ β΄, ἐγένετο καλῶς ἡ ποσότης τῆς ὁμάδος, ἧς ἐποίησας, ἥτις δηλοῖ ὑπέρπυρα ,λ,η΄ καὶ τϛζ΄ ὑπέρπυρα.

τὸ αὐτὸ δὲ ἔχεις καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμάδων καὶ τῶν τούτων μαρτ(υ)ριῶν ποιεῖν καὶ εἰδέναι καλῶς τὸ ζητούμενον.

ρβ

Περὶ τοῦ πῶς ἔστι ἀφελεῖν ὁμάδα ἐξ ὁμάδος καὶ εἰδέναι τὸ ἐν[ν]απομεῖναν μέρος, πόσον ἐστί

Ὅταν βούλ(ῃ) ἀφελεῖν ὁμάδα τινὰ ἐξ ἑτέρας ὁμάδος, οὐ δύνασαι ἀφελεῖν τοσαύτην καὶ ὁμοίαν ποσότητα ἐξ ἑτέρας τοσαύτης ὁμοίας ποσότητος· ρ΄ γὰρ ἐκ τῶν ρ΄ καὶ σ΄ ἐκ τῶν σ΄ ἀφελόμενος τὸ ἐναπομένον ἔσται οὐδέν. δεῖ οὖν ἀνομοίους εἶναι τὰς τούτων ποσότητας καὶ ἡ μὲν ἔχειν πλεῖο, ἡ δὲ ἔλαττο. θὲς οὖν τὰ μὲν πλείονα ἄνωθεν,

τὰ δὲ ἐλάττονα κάτωθεν.

ἔστω γὰρ ὅτι ζητεῖς ἀφελεῖν ,αχνε΄ ὑπέρπυρα ἐκ τῶν ,αψκδ΄ ὑπερπύρων. θὲς τὰ μὲν πλείονα ἄνωθεν, τὰ δὲ ἐλάττονα κάτωθεν. καὶ τὰ μὲν ἄνω-

‖ α ζ β δ	ὁμοῦ α δ	ὁμοῦ δὲ ⓔ
‖ α ϛ ε ε	η	
‖ ψ ψ ϛ θ	ϛ	} ὁμοῦ α δ ὁμοῦ δὲ ⓔ

θεν ἔχοσι τὰ μείζονα μέρη περὶ τὴν ἀρχήν, τὰ δὲ κάτωθεν ἔχοσι τὰ μείζονα περὶ τὸ τέλος. οὐ δύνασαι οὖν ἀφελεῖν τὰ κάτωθεν κατ᾽ εὐθεῖαν κείμενα περὶ τὸ τέλος, ἅπερ δηλῶσι νε΄, ἐκ τῶν ἄνωθεν κατ᾽ εὐθεῖαν κειμένων, ὧν δηλῶσι κδ΄· τὰ γὰρ νε΄ μείζονά ἐστι τῶν κδ΄. εἶχες δὲ καλῶς καὶ προχείρως ἀφελεῖν τὰ κάτωθεν ἐκ τῶν ἄνωθεν, εἰ τὰ ἄνωθεν μὲν ἦσαν ἀπαρχῆς μέχρι τέλους μείζω, τὰ κάτωθεν δὲ ἀπαρχῆς μέχρι τέλους ἐλάττω. νῦν δὲ ἀνωμάλως ἔχουσαι τὰ μείζονα καὶ ἐλάττονα, ἡ μὲν περὶ τὴν ἀρχὴν ἔχουσα τὰ μείζω, ἡ δὲ περὶ τὸ τέλος, ἔχεις ἀφελεῖν τὰ κάτωθεν ἐκ τῶν ἄνωθεν οὕτως.

λάβε ἐκ τῶν ἄνωθεν β΄, ὥνπερ εἰς τὸν τῆς δεκάδος τόπον εὑρίσκονται, α΄. τοῦτο δὲ τὸ α΄ μετὰ τῶν δ΄, ὥνπερ ἐστὶ περὶ τὸ τέλος, οὕτως κείμενα α δ΄ δηλῶσι ιδ΄. ἄφελε τὰ ε΄, ἅπερ ἐστὶ κάτωθεν τῶν δ΄, ἐκ τῶν ιδ΄ καὶ ἀπομένοσι θ΄. θὲς οὖν τὰ θ΄ κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τὸν τῆς μονάδος τόπον.

οὐκ ἔχεις οὖν πάλιν ἀφελεῖν τὰ κάτωθεν ε΄, ἅπερ ἐστὶ εἰς τὸν τῆς δεκάδος τόπον, ἐκ τοῦ ἄνωθεν α΄, ὅπερ ἦν πρότερον β΄· ἀφεῖλες γὰρ α΄ καὶ ἀπέμεινεν καὶ α΄. κόψε οὖν ἐκ τῶν ἄνωθεν ζ΄ τῶν εὑρισκομένων εἰς τὸν τῆς ἑκατοντάδος τόπον α΄ καὶ ἀπομένοσι ϛ΄. τὸ α΄ δὲ τοῦτο, ὅπερ ἔκοψας ἐκ τῶν ζ΄, μετὰ τοῦ ἑτέρου α΄, οὗπερ ἀπέμεινε ἐκ τῶν β΄, οὕτως κείμενα α α΄ δηλῶσι ια΄. ἄφελε τὰ κάτωθεν ε΄, ἅπερ ἐστὶ εἰς τὸν τῆς δεκάδος τόπον καὶ δηλῶσι ν΄, ἐκ τῶν ἄνωθεν ια΄, ὧν ἐποίησας, καὶ ἀπομένοσι ϛ΄. θὲς ϛ΄ κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τὸν τῆς δεκάδος τόπον.

ἄφελε δὲ τὰ κάτωθεν ϛ΄, ἅπερ ἐστὶ εἰς τὸν τῆς ἑκατοντάδος τόπον καὶ δηλῶσι χ΄, ἐκ τῶν ἄνωθεν ϛ΄, ὧν ἀπέμειναν ἐκ τῶν ζ΄· ἀφεῖλες γὰρ α΄ καὶ ἀπέμειναν ϛ΄, ἅπερ καὶ ταῦτα εἰς τόπον ὄντα ἑκατοντάδος δηλῶσι χ΄. χ΄ δὲ ἐκ τῶν χ΄ – μᾶλλον δὲ ϛ΄ ἐκ τῶν ϛ΄ – ἀφελόμενος ἀπομένει οὐδέν. θὲς κάτωθεν τῆς κεραίας γραμμῆς εἰς τὸν τῆς ἑκατοντάδος τόπον ἀντὶ ἄλλου τινὸς γράμματος ψ΄.

ἄφελε δὲ τὸ κάτωθεν α΄, ὅπερ ἐστὶ εἰς τὸν τῆς χιλιάδος τόπον καὶ δηλοῖ ,α΄, ἐκ τοῦ ἄνωθεν α΄, ὅπερ καὶ αὐτὸ εἰς τὸν τῆς χιλιάδος τόπον εὑρισκόμενον δηλοῖ ,α΄. ,α΄ δὲ ἐκ τῶν ,α΄ – μᾶλλον δὲ α΄ ἐκ τοῦ α΄ – ἀφελόμενος ἀπομένει οὐδέν. θὲς κάτωθεν εἰς τὸν τῆς χιλιάδος τόπον ἀντὶ ἄλλου τινὸς δηλωτικοῦ γράμματος ψ΄. καὶ ἰδοὺ εὗρες, ὅτι – ἐὰν ἀφέλῃς ,αχνε΄ ὑπέρπυρα ἐκ τῶν ,αψκδ΄ ὑπερπύρων – τὰ ἐναπομένοντά ἐστι ὑπέρπυρα ξθ΄.

Εἰ οὖν ζητεῖς εἰδέναι, εἰ καλῶς ἐγένετο ἡ ἀφεξαίρεσις τούτων· ἔστι μὲν καὶ ἄλλη τις μαρτυρία τε καὶ ἀπόδειξις, ὡς σαφεστέραν δὲ οὖσαν καὶ πρόχειρον ἐροῦμεν τὴν κρείττονα, ‖ ἥτις ἐστὶ ἡ παροῦσα. f. 51^{v}

10.12 μείζω] μυζων **C** 11 ἔχουσαι] **sc.** ὁμάδαι 14 δεκάδος] **hic et aliubi** $^{\alpha}$ἰδος **C** 20 ἑκατοντάδος] **hic et aliubi** $^{\omega\nu}$ρτάδος **C** 30 χιλιάδος] **hic et aliubi** ,$^{\omega\varsigma}$αδ **C** 36 ἀφεξαίρεσις] αφεξέρϊσης **C** 35 ἐναπομένοντά] ἐναπομένοσι **sic C**

in inferiore marg. fol. 51^{r}: + ἔστι καὶ ἑτέρα ἀπόδειξις· α ϛ ε ε΄ ὁμοῦ γίνονται α ζ΄, ὁμοῦ δὲ τὰ α ζ΄ γίνονται η΄. ψ ψ ϛ θ΄ ὁμοῦ γίνονται α ε΄, ὁμοῦ δὲ τὰ α ε΄ γίνονται ϛ΄. ἕνωσον τὰ η΄ καὶ ϛ΄ καὶ γίνονται ὁμοῦ α δ΄, ὁμοῦ δὲ τὰ α δ΄ γίνονται ⓔ. α ζ β δ΄ ὁμοῦ γίνονται α δ΄, ὁμοῦ δὲ τὰ α δ΄ γίνονται ⓔ. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

θὲς ἄνωθεν μὲν τὰ ,αχνε΄ ὑπέρπυρα, ἅπερ ἀφεῖλες ἐκ τῶν ἄνωθεν ,αψκδ΄ ὑπερπύρων, κάτωθεν δὲ τούτων θὲς τὰ ϛ ϛ ϛ ϑ΄, ἅπερ ἀπέμειναν ἐκ τῶν ,αψκδ΄ ὑπερπύρων, καὶ ἕνωσον ταῦτα. ε΄ δὲ καὶ ϑ΄ γίνονται ιδ΄. θὲς κάτωθεν δ΄, κράτει δὲ α΄ ἀντὶ τῶν ι΄. α΄ δὲ καὶ ε΄ καὶ ϛ΄ γίνονται ὁμοῦ ιβ΄. θὲς κάτωθεν β΄, κράτει δὲ α΄ ἀντὶ τῶν ι΄. α΄ δὲ καὶ ϛ΄ γίνονται ζ΄. θὲς κάτωθεν ζ΄. ὡσαύτως θὲς κάτωθεν καὶ τὸ α΄, ὅπερ δηλοῖ ,α΄. καὶ ἰδοὺ ἐγένοντο πάλιν ὑπέρπυρα ,αψκδ΄ ὡς τὸ πρότερον. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

͵	α	ϛ	ε	ε			
͵	υ	υ	ϛ	ϑ			
͵	α	ζ	β	δ			

Ἕτερον τούτου ὅμοιον. Ἔστω ὅτι χνη΄ χιλιάδων καὶ ≫λδ΄ ὑπερπύρων ζητεῖς ἀφελεῖν υλε΄ χιλιάδας καὶ ψμθ΄ ὑπέρπυρα. θὲς οὖν πάλιν καὶ ἐνταῦθα ἄνωθεν μὲν τὰ πλείονα, κάτωθεν δὲ τὰ ἐλάττονα. οὐ δύνασαι οὖν ἀφελεῖν τὰ κάτωθεν ϑ΄ ἐκ τῶν ἄνωθεν δ΄. κόψε οὖν ἐκ τῶν ἄνωθεν γ΄ γράμμα α΄ καὶ ἀπομένοσι β΄. τὸ δὲ α΄, ὅπερ ἀφεῖλες ἐκ τῶν γ΄, μετὰ τῶν δ΄ οὕτως κείμενα α δ΄ δηλῶσι ιδ΄. ἄφελε τὰ κάτωθεν ϑ΄ ἐκ τῶν ιδ΄ καὶ ἀπομένοσι ε΄. θὲς ε΄ κάτωθεν.

͵	ϛ	ε	η	ϑ	γ	δ		ὁμοῦ (η)
͵	δ	γ	ε	ζ	δ	ϑ	ε	} ὁμοῦ (η)
͵	β	β	γ	α	η	ε	γ	

οὐκ ἔχεις οὖν ἀφελεῖν τὰ κάτωθεν δ΄ ἐκ τῶν ἄνωθεν β΄, ὧν ἀφεῖλες α΄ ἐκ τῶν γ΄ καὶ ἀπέμειναν β΄. κόψε οὖν ἐκ τῶν ἄνωθεν ϑ΄ α΄ καὶ ἀπομένοσι η΄. τὸ δὲ α΄, ὅπερ ἔκοψας ἐκ τῶν ϑ΄, μετὰ τῶν β΄, ὧν ἀπέμειναν ἐκ τῶν γ΄, οὕτως κείμενα α β΄ δηλῶσι ιβ΄. ἄφελε δὲ τὰ κάτωθεν δ΄ ἐκ τῶν ιβ΄ καὶ ἀπομένοσι η΄. θὲς η΄ κάτωθεν. ἄφελε δὲ πάλιν τὰ κάτωθεν ζ΄ ἐκ τῶν ἄνωθεν η΄, ὧν ἀφεῖλες α΄ ἐκ τῶν ϑ΄ καὶ ἀπέμειναν η΄. ἀφελόμενος δὲ ζ΄ ἐκ τῶν η΄ ἀπομένει α΄. θὲς α΄ κάτωθεν. ἄφελε δὲ τὰ κάτωθεν ε΄ ἐκ τῶν ἄνωθεν η΄ καὶ ἀπομένοσι γ΄. θὲς γ΄ κάτωθεν. ἄφελε δὲ τὰ κάτωθεν γ΄ ἐκ τῶν ἄνωθεν ε΄ καὶ ἀπομένοσι β΄. θὲς β΄ κάτωθεν. ἄφελε δὲ τὰ κάτωθεν δ΄ ἐκ τῶν ἄνωθεν ϛ΄ καὶ ἀπομένοσι β΄. θὲς β΄ κάτωθεν. καὶ ἰδοὺ ἀφελόμενος υλε΄ χιλιάδας καὶ ψμθ΄ ὑπέρπυρα ἐκ τῶν χνη΄ χιλιάδων καὶ ≫λδ΄ ὑπερπύρων ἀπομένοσι καὶ ὑπέρπυρα σκγ΄ χιλιάδαι καὶ ρπε΄ ὑπέρπυρα.

ἡ δὲ ἀπόδειξις πάλιν ἐστὶ ὁμοία τῆς προτέρας. θὲς ἄνωθεν μὲν τὰς υλε΄ χιλ(ι)άδας καὶ ψμθ΄ ὑπέρπυρα, κάτωθεν δὲ θὲς τὰς σκγ΄ χιλιάδας καὶ ρπε΄ ὑπέρπυρα, ἅπερ ἀπέμειναν ἐκ τῆς πρώτης μεγ(ά)λης ὁμάδος. ἕνωσον δὲ τὰ δύο μέρη αὐτῶν καὶ πάλιν γίνονται ὡς τὸ πρότερον ὑπέρπυρα χνη΄ χιλιάδαι καὶ ≫λδ΄ ὑπέρπυρα. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις τούτων, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

͵	δ	γ	ε	ζ	δ	ϑ
͵	β	β	γ	α	η	ε
͵	ϛ	ε	η	ϑ	γ	δ

καὶ ταῦτα μὲν οὕτως, ὁπόταν ἀνωμάλως ἔχῃ ἡ ἄνω μεῖζο ὁμὰς τῆς κάτωθεν ἔλαττο οὔσης ὁμάδος. ὅταν δὲ ὁμαλῶς ἀεὶ τὰ ἄνωθεν ἔχωσι πλέον ἀπαρχῆς μέχρι τέλους τῶν κάτωθεν, τότε προχείρως ἔχεις ἀφελεῖν τὰ ἐλάττονα ἐκ τῶν πλειόνων, τουτέστι τὰ κάτωθεν ἐκ τῶν ἄνωθεν· τὰ γὰρ ἐλάττονα ἀεί, ὡς εἴπομεν, κάτωθεν τίθενται.

Ἵνα δὲ ἴδῃς, πῶς γίνεται τοῦτο προχείρως· θὲς ἄνωθεν ψϛς΄ χιλιάδας καὶ υνγ΄

---

multiplicatio sine contextu alia manu velociter exarata in superiore marg. fol. 51^{v} invenitur:

	α	ε
	α	ϛ
	ϑ	·
α	ε	
β	δ	·

in sinistro marg. fol. 51^{v} ad additionem secundam: μαρτ(υ)ρία ἑνώσεως· εὑρέθησαν δὲ αἱ δύο μαρτ(υ)ρίαι ἀνὰ (η).

ὑπέρπυρα, κάτωθεν δὲ πάλιν θὲς φπδ΄ χιλιάδας καὶ τκα΄ ὑπερπύρων. καὶ ἐπεὶ τὰ ἄνωθεν ἔχοσι ὁμαλῶς ἀεὶ τὰ μείζω[ν] ἐκ τῶν κάτωθεν, ἄφελε τὸ κάτωθεν α΄ ἐκ τῶν ἄνωθεν γ΄ καὶ ἀπομένοσι β΄· θὲς κάτωθεν β΄. ἄφελε δὲ τὰ κάτωθεν β΄ ἐκ τῶν ἄνωθεν ε΄ καὶ ἀπομένοσι γ΄· θὲς κάτωθεν γ΄. ἄφελε δὲ τὰ κάτωθεν γ΄ ἐκ τῶν ἄνωθεν δ΄ καὶ ἀπομένει α΄· θὲς α΄ κάτωθεν. ἄφελε καὶ τὰ κάτωθεν δ΄ ἐκ τῶν ἄνωθεν ς΄ καὶ ἀπομένοσι β΄· θὲς β΄ κάτωθεν. ἄφελε καὶ τὰ κάτωθεν η΄ ἐκ τῶν ἄνωθεν θ΄ καὶ ἀπομένει α΄· θὲς α΄ κάτωθεν. ἄφελε καὶ τὰ κάτωθεν ε΄ ἐκ τῶν ἄνωθεν ζ΄ καὶ ἀπομένοσι β΄· θὲς β΄ κάτωθεν. καὶ ἰδοὺ ἀφελόμενος φπδ΄ χιλιάδας καὶ τκα΄ ὑπέρπυρα ἐκ τῶν ἄνωθεν ψϛς΄ χιλιάδων καὶ υνγ΄ ὑπερπύρων ἀπομένοσι καὶ ὑπέρπυρα σιβ΄ χιλιάδαι καὶ ρλβ΄ ὑπέρπυρα.

ϡ ζ θ ϛ δ ε γ
ϡ ε η δ γ β α
ϡ β α β α γ β

θὲς οὖν ἄνωθεν μὲν τὰς φπδ΄ χιλιάδας καὶ τκα΄ ὑπέρπυρα, κάτωθεν δὲ τὰς σιβ΄ χιλιάδας καὶ ρλβ΄ ὑπέρπυρα, ἅπερ ἀπέμειναν ἐκ τῆς ἄνωθεν πρώτης μεγ(ά)λης ὁμάδος, καὶ ἕνωσον τὰ δύο μέρη αὐτῶν. καὶ πάλιν γίνονται ὡς τὸ πρότερον ψϛς΄ χιλιάδαι καὶ υνγ΄ ὑπέρπυρα. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

ϡ ε η δ γ β α
ϡ β α β α γ β
ϡ ζ θ ϛ δ ε γ

ργ Περὶ τῶν τριῶν τῶν ἐχόντων ἐκ τῶν ,α΄ ὑπερπύρων ὁ μὲν τρίτον μέρος, ὁ δὲ τέταρτον, ὁ δὲ πέμπτον

Ἔστω ὅτι τρεῖς σύντροφοι ἔχοσι διαμερίσασθαι ὑπέρπυρα ,α΄, καὶ ὁ μὲν πρῶτος οἰκειοῦται λαβεῖν ἐκ τῶν ,α΄ ὑπερπύρων τὸ τρίτον μέρος αὐτῶν, ὁ δὲ δεύτερος τὸ τέταρτον μέρος αὐτῶν, ὁ δὲ τρίτος τὸ πέμπτον μέρος αὐτῶν. ζητεῖς δὲ εἰδέναι, πόσα ὑπέρπυρα οἰκειοῦται ἕκαστος αὐτῶν ἐκ τῶν ,α΄ ὑπερπύρων, καθ᾽ ὃν λόγον εἴπομεν. ἐνταῦθα δὲ ἔστι τι κεκριμ[μ]ένον, ὅπερ δύναται διακλέψαι τὴν ἡμετέραν διάνοιαν καὶ νοῆσαι, ὅπερ εἴπομεν ἔχειν οὕτως, ὅπερ οὐκ ἐστι ἀληθὴς ἐπίνοια. τὸ δέ ἐστι, ὅτι τὸ $\frac{\alpha}{\gamma}$ τῶν ,α΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα τλγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς ὑπερπύρου, τὸ δὲ $\frac{\alpha}{\delta}$ τῶν ,α΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα σν΄, τὸ δὲ $\frac{\alpha}{\varepsilon}$ τῶν ,α΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα σ΄. ἕνωσον ταῦτα πάντα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ψπγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς ὑπερπύρου. καὶ ἰδοὺ εὕρομεν τῷ τρόπῳ τούτῳ, ὅτι περιέρχεται αὐτοῖς ὑπέρπυρα ψπγ΄ καὶ $\frac{\alpha}{\gamma}$. περισσεύοσι δὲ ἐκ τῶν ,α΄ ὑπερπύρων καὶ ὑπέρπυρα σις΄ καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς ὑπερπύρου.

ϡ τλγ καὶ $\frac{\alpha}{\gamma}$
ϡ σν
ϡ σ
ὁμοῦ ϡ ψπγ καὶ $\frac{\alpha}{\gamma}$

λέγεται δὲ λόγος τοιοῦτος, ὅτι τις διανέμων καὶ διαμερίζων αὐτοῖς ἕκαστον τὸ οἰκεῖον μέρος, ὡς μὴ εἰδότας αὐτοὺς τοῦτο ποιῆσαι καλῶς, ἀπέδωκεν αὐτοῖς ἀναλόγως τὸ οἰκεῖον μέρος οὐκ ἀληθῶς, ἀλλὰ δοκήσεν μᾶλλον καλῶς μεριζόμενον ‖ καὶ διδόμενον, f. 52r
οὐχ οὕτως δὲ ἔχον. δέδωκε γὰρ αὐτοῖς, ὡς ἀποδέδεικται, ὑπέρπυρα ψπγ΄ καὶ $\frac{\alpha}{\gamma}$ ἑνὸς ὑπερπύρου καὶ ἀρκεσθέντας ἔχειν ἕκαστος αὐτῶν τὸ οἰκεῖον καὶ ἀνάλογον μέρος. τὰ ἐν[ν]απομένοντα σις΄ ὑπέρπυρα καὶ $\frac{\beta}{\gamma}$ ἑνὸς ὑπερπύρου χάριν μισθοῦ ὁ μερίζων ταῦτα λελη θότως προσείληφε.

ἵνα δὲ μὴ καὶ ἡμεῖς τοῦτο πάθωμεν, ποιήσωμεν τοῦτο διὰ τῆς παρούσης μεταχειρίσεως, ἥτις ἔχει ἡμῖν δεῖξαι τὸ ἑκάστου οἰκεῖον μέρος ἀληθῶς καὶ προχείρως.

Θὲς τὰ οἰκεῖα μέρη ἑκάστου αὐτῶν, καὶ τὸ μὲν πρῶτον δηλοῖ ἕνα τρίτον, τὸ δὲ δεύ-


---

10 ὑπέρπυρα] ϡ **C** 40 πάθωμεν] πάθειμεν **C**

τερον ἕνα τέταρτον, τὸ δὲ τρίτον ἕνα πέμπτον. πολλ(α)πλασίασον δὲ τὰ κάτωθεν γ΄ μετὰ τῶν κάτωθεν δ΄· τρὶς οὖν δ΄ γίνονται ιβ΄. πολλ(α)πλασίασον δὲ τὰ ιβ΄ μετὰ τῶν κάτωθεν ε΄, ὧν δηλοῖ πέμπτον· ε΄κις οὖν ιβ΄ γίνονται ξ΄. ἔστι δὲ ταῦτα ἓν σῶμα τῶν τριῶν. λάβε οὖν ἐκ τῶν ξ΄ τὸ $\frac{\alpha}{\gamma}$, ὅπερ ἐστὶ κ΄. λάβε δὲ ἐκ τῶν ξ΄ τὸ $\frac{\alpha}{\delta}$, ὅπερ ἐστὶ ιε΄. λάβε πάλιν ἐκ τῶν ξ΄ καὶ τὸ $\frac{\alpha}{\varepsilon}$, ὅπερ ἐστὶ ιβ΄. ἕνωσον δὲ


$\frac{\alpha}{\gamma}$ $\frac{\alpha}{\delta}$ $\frac{\alpha}{\varepsilon}$

α β
ξ ς υ
γ΄ β υ
δ΄ α ε
ε΄ α β
δ ζ ὁ μεριστής



τὰ κ΄ καὶ ιε΄ καὶ ιβ΄ καὶ γίνονται ὁμοῦ μζ΄. ἔστι δὲ τὰ μζ΄ ταῦτα ὁ μεριστὴς τῶν ,α΄ ὑπερπύρων.


Πολλ(α)πλασίασον δὲ τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν κ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,κ΄. μέρισον ταύτας μετὰ τῶν μζ΄, ὧν εἴπομεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα υκε΄. ἀπομένει καὶ τὸ παρὸν τζάκισμα β ε΄, ὅπερ δηλοῖ κε΄· ἔστι δὲ ὑπέρπυρα. πολλ(α)πλασίασον δὲ τὰ κε΄ ὑπέρπυρα μετὰ τῶν κ΄ καὶ γίνονται κουκκιὰ φ΄. μέρισον τὰ φ΄ κουκκιὰ μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ι΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ λ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τουρν(έ)σ(ια) ρκ΄. μέρισον καὶ ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι(α) β΄. ἀπομένει καὶ τζάκισμα κς΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\gamma}$ ἐκ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα υκε΄ κουκκιὰ ι΄ τουρν(έ)σι(α) β΄ καὶ τζάκισμα κς΄.



Πολλ(α)πλασίασον δὲ πάλιν τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν ιε΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\delta}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ι,ε΄. μέρισον ταύτας μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα τιθ΄. ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ζ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ ζ΄ ὑπέρπυρα κουκκιὰ ρμ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ β΄. ἀπομένει καὶ τζάκισμα μς΄ κουκκιά. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ μς΄ κουκκιὰ τουρν(έ)σ(ια) ρπδ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι(α) γ΄. ἀπομένει καὶ τζάκισμα μγ΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\delta}$ ἐκ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα τιθ΄ κουκκιὰ β΄ τουρν(έ)σι(α) γ΄ καὶ τζάκισμα μγ΄.

Iterum multiplicatio sine contextu alia manu velociter exarata in superiore marg. (fol. 52^{r}) invenitur: divisio quarta: ✗✗✗ζ] ✗✗✓ζ C


α ς
ζ
α α β



Πολλ(α)πλασίασον δὲ πάλιν τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν ιβ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\varepsilon}$ τῶν ξ΄, καὶ γί<νεται> ὁ τούτων πολλ(α)πλασιασμὸς ,ι,β΄. μέρισον ταύτας μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σνε΄. ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ιε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ ιε΄ ὑπέρπυρα κουκκιὰ τ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ς΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ιη΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ιη΄ κουκκιὰ τουρν(έ)σ(ια) οβ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι α΄. ἀπομένει καὶ τζάκισμα κε΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\varepsilon}$ ἐκ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα σνε΄ κουκκιὰ ς΄ τουρν(έ)σι α΄ καὶ τζάκισμα κε΄.

Θὲς τὰ οἰκεῖα μέρη ἑκάστου αὐτῶν καὶ ἕνωσον τὰ τζακίσματα καὶ γίνονται ὁμοῦ τζακίσματα ϛδ΄.


ἔστι οὖν τὰ ϛδ΄ τζακίσματα δύο μερισταί, τουτέστι δύο τουρν(έ)σι(α)· δὶς γὰρ μζ΄ ϛδ΄ γίνονται. θὲς τὰ



β΄ τουρν(έ)σι(α) κάτωθεν τῶν ς΄ τουρν(ε)σ(ίων) καὶ ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ τουρν(έ)σ(ια) η΄, ἅπερ ἐστὶ κουκκιὰ β΄. θὲς τὰ β΄ κουκκιὰ κάτωθεν τῶν ιη΄ κουκκιῶν καὶ ἕνωσον ταῦτα καὶ γίνονται ὁμοῦ κουκκιὰ κ΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄. θὲς τὸ α΄ ὑπέρπυρον κάτωθεν τῶν ὑπερπύρων καὶ ἕνωσον τὰ τῆς μονάδος ὑπέρπυρα καὶ γίνονται ὁμοῦ κ΄. θὲς κάτωθεν υ΄, κράτει δὲ β΄ ἀντὶ τῶν κ΄. ἕν(ω)σον καὶ τὰ τῆς δεκάδος ὑπέρπυρα μετὰ τῶν β΄, ὧν κρατεῖς ἀντὶ τῶν κ΄, καὶ γίνονται ὁμοῦ ι΄. θὲς κάτωθεν υ΄, κράτ(ει) δὲ α΄ ἀντὶ τῶν ι΄. ἕνωσον καὶ τὰ τῆς ἑκατοντάδος ὑπέρπυρα μετὰ τοῦ α΄, οὗ κρατεῖς ἀντὶ τῶν ι΄, καὶ γίνονται ὁμοῦ πάλιν ι΄. θὲς κάτωθεν εἰς μὲν τῆς ἑκατοντάδος τόπον τὸ υ΄, εἰς δὲ τῆς χιλιάδος τὸ α΄, ὅπερ μετὰ τοῦ υ΄ οὕτως κείμενον α υ΄ δηλοῖ ι΄. νῦν δὲ εἰς τόπον τέταρτον εὑρισκόμενον δηλοῖ ,α΄. ‖ f. 52^{v} καὶ ἰδοὺ ἑνωθέντων τῶν οἰκείων μερῶν, ὧν οἰκειοῦται ἕκαστος ἐκ τῶν ,α΄ ὑπερπύρων, πάλιν γίνονται ὁμοῦ ὑπέρπυρα ,α΄ ὡς τὸ πρότερον.

καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

Τοῦτο καὶ ἄλλως πάλιν γίνεται. Τὰ ,α΄ ὑπέρπυρα, ἅπερ εἴπομεν, ὅτι ἐξ αὐτῶν ὁ μὲν ἔχει $\frac{\alpha}{\gamma}$, ὁ δὲ $\frac{\alpha}{\delta}$, ὁ δὲ $\frac{\alpha}{\varepsilon}$, ποίησον ταῦτα κουκκιά. πολλ(α)πλασίασον γὰρ ταῦτα μετὰ τῶν κ΄ κουκκιῶν τοῦ ἑνὸς ὑπερπύρου καὶ γίνονται τὰ ,α΄ ὑπέρπυρα κουκκιὰ ,κ΄. μέρισον τὰς ,κ΄ τὰ κουκκιά, ἅπερ ἐστὶ ,α΄ ὑπερπύρων κουκκιά, μετὰ τῶν μζ΄, ὧν εἶχες καὶ πρότερον μεριστήν· ὁ γὰρ μεριστὴς καὶ ἐπὶ τῆς παρούσης μεταχειρίσεως οὕτως λαμβάνεται ὡς καὶ ἐπὶ τῆς πρώτης,



καθὼς ἕνωσας τὰ κ΄ καὶ ιε΄ καὶ ιβ΄ καὶ ἐγένοντο ὁμοῦ μζ΄. μεριζόμεναι δὲ αἱ ,κ΄ τὰ κουκκιὰ μετὰ τῶν μζ΄ γίνεται ὁ τούτων διαμερισμὸς υκε΄. ἀπομένει δὲ καὶ τὸ παρὸν τζάκισμα $\frac{\beta\,\varepsilon}{\delta\,\zeta}$. καὶ ἐπὶ μὲν τῆς πρώτης μεταχειρίσεως ἐπολλ(α)πλασίασας τὰ ,α΄ ὑπέρπυρα μετὰ τοῦ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄, ὅπερ ἐστὶ κ΄. ἐπὶ δὲ τῆς παρούσης μεταχειρίσεως·

Πολλ(α)πλασίασον τὰ υκε΄, ἅπερ ἐξῆλθον ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν, μετὰ τῶν κ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ,ηφ΄ κουκκιά. πολλ(α)πλασίασον δὲ καὶ τὰ κε΄ τὸ τζάκισμα, ἅπερ ἀπέμειναν ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν, μετὰ τῶν κ΄, ὧν ἐπολλ(α)πλασίασας καὶ τὰ υκε΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς φ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄, ὧν ἔχεις μεριστήν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ι΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν ,ηφ΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,ηφι΄. ἀπομένει δὲ καὶ τζάκισμα κουκκιὰ λ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ λ΄ κουκκιὰ τουρν(έ)σι(α) ρκ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι(α) β΄. ἀπομένει καὶ τζάκισμα κς΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\gamma}$ ἐκ τῶν ,α΄ ὑπερπύρων, ὅνπερ ἐστὶ κουκκιὰ ,κ΄, οἰκειοῦται κουκκιὰ ,ηφι΄ τουρν(έ)σι(α) β΄ καὶ τζάκισμα κς΄.

Πολλ(α)πλασίασον δὲ πάλιν τὰ υκε΄ μετὰ τῶν ιε΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\delta}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ,ςτοε΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ κε΄ τὸ τζάκισμα μετὰ τῶν ιε΄, ὧν ἐπολλ(α)πλασίασας καὶ τὰ υκε΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τοε΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ζ΄. ἕνωσον ταῦτα μετὰ τῶν ,ςτοε΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,ςτπβ΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ μς΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ μς΄ κουκκιὰ τουρν(έ)σι(α) ρπδ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ια) γ΄. ἀπομένει καὶ τζάκισμα μγ΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\delta}$ ἐκ τῶν ,α΄ ὑπερπύρων, ὅνπερ ἐστὶ κουκκιὰ ,κ΄, οἰκειοῦται κουκκιὰ ,ςτπβ΄ τουρν(έ)σ(ια) γ΄ καὶ τζάκισμα μγ΄.

Πολλ(α)πλασίασον δὲ πάλιν τὰ υκε΄ μετὰ τῶν ιβ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\varepsilon}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλαπλασιασμὸς κουκκιὰ ,ερ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ κε΄ τὸ τζάκισμα μετὰ τῶν ιβ΄, ὧν ἐπολλ(α)πλα-

1 ἕνωσας] ἔννοσας **C**

σίασας καὶ τὰ υκε΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς τ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ς΄. ἕνωσον ταῦτα μετὰ τῶν ,ερ΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,ερς΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ιη΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ιη΄ κουκκιὰ τουρν(έ)σι(α) οβ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι α΄. ἀπομένει καὶ τζάκισμα κε΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\varepsilon}$ ἐκ τῶν ,α΄ ὑπερπύρων, ὅνπερ ἐστὶ κουκκιὰ ,κ΄, οἰκειοῦται κουκκιὰ ,ερς΄ τουρν(έ)σι α΄ καὶ τζάκισμα κε΄.

Θὲς οὖν καὶ ἐνταῦθα τὰ οἰκεῖα μέρη αὐτῶν καὶ ἕνωσον τὰ τζακίσματα καὶ γίνονται πάλιν ὡς τὸ πρότερον ϛδ΄, ἅπερ ἐστὶ δύο μερισταί, τουτέστι τουρν(έ)σι(α) β΄. ἕνωσον τὰ β΄ τουρν(έ)σι(α) μετὰ τῶν ς΄ τουρν(ε)σ(ίων) καὶ γίνονται ὁμοῦ τουρν(έ)σ(ια) η΄, τουτέστι κουκκιὰ β΄. ἕνωσον τὰ β΄ κουκκιὰ μετὰ τῶν κουκκιῶν καὶ θὲς κάτωθεν τῶν μονάδων καὶ δεκάδων καὶ ἑκατοντάδων καὶ χιλιάδων τὴν ἑνωθεῖσαν ὁμάδαν τῶν καθόλου κουκκιῶν, καθὼς οὕτως καὶ ἐπὶ τῆς πρώτης ὁμάδος ἐποίησας, καὶ γίνονται ὁμοῦ πάλιν κουκκιὰ ,κ΄, καθὼς ἐποίησας τὰ ,α΄ ὑπέρπυρα κουκκιὰ ,κ΄.

γ΄΄ (α) η ε α υ ⁋ β τζ α β ς
δ΄΄ (α) ς γ η β ⁋ γ τζ α δ γ
ε΄΄ (α) ε α υ ς ⁋ α τζ α β ε
α α α β | β | ϑ δ δύο μερισταί
α β υ υ υ

καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

καὶ ἰδοὺ καὶ ἡ δευτέρα αὕτη μεταχείρισις ἀπέδωκεν ἡμῖν καὶ τὰ τζακίσματα καὶ τὰ τουρν(έ)σ(ια) ὅμοια, ὡς καὶ ἐπὶ τῆς πρώτης μεταχειρίσεως εὕραμεν οὕτως, τζακίσματα μὲν κς΄ καὶ μγ΄ καὶ κε΄, τουρν(έ)σι(α) δὲ β΄ καὶ γ΄ καὶ α΄. τὰ δὲ ἐπὶ τῆς παρούσης μεταχειρίσεως ἐξελθόντα κουκκιὰ ἐπὶ τῆς προτέρας μεταχειρίσεως ἐξῆλθον ὑπέρπυρα. ‖ f. 53r

ἐὰν δὲ ζητῇς ποιῆσαι καὶ τὰ παρόντα κουκκιὰ ὑπέρπυρα, εὑρήσεις καὶ ταῦτα ὥσπερ κἀκεῖνα. καὶ πρῶτον μὲν λάβε τῶν τριῶν τὰ τζακίσματα καὶ θὲς ταῦτα ἰδίως. θὲς οὖν καὶ τὰ τουρν(έ)σ(ια) εἰς τὸν οἰκεῖον τόπον αὐτῶν, καθὼς καὶ πρότερον οὕτως ἐποίησας. ἔπειτα μέρισον ,ηφι΄ κουκκιὰ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα υκε΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ι΄. μέρισον καὶ τὰ ,ϛτπβ΄ κουκκιὰ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα τιϑ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ β΄. μέρισον καὶ τὰ ,ερς΄ κουκκιὰ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σνε΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ς΄. θὲς οὖν τὰ κουκκιὰ εἰς τὸν οἰκεῖον τόπον αὐτῶν, ὡσαύτως καὶ τὰ ὑπέρπυρα, καὶ γίνεται καταπάντα ὅμοιον καὶ εἰς τὰ ὑπέρπυρα καὶ εἰς τὰ κουκκιὰ καὶ εἰς τὰ τουρν(έ)σ(ια) καὶ εἰς τὰ τζακίσματα ὡς καὶ

γ΄΄ (α) δ β ε ‖ α υ ⁋ β τζ α β ς
δ΄΄ (α) γ α ϑ ‖ β ⁋ γ τζ α δ γ
ε΄΄ (α) β ε ε ‖ ς ⁋ α τζ α β ε
(α) α υ υ υ | β | β | ϑ δ δύο μερισταί

---

26 ὥσπερ] ὡς πέρ **C**

ἐπὶ [τὸ] τῆς ἑτέρας μεταχειρίσεως. ἕνωσον δὲ ταῦτα πάντα ἀπὸ τῶν τζακισμάτων ἀρξάμενος καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,α΄.

Εὑρήσεις δὲ τὸ ζητούμενον καὶ μετὰ ὑπερπύρων ἀκεραίων μὴ γενομένων κουκκιῶν, καθὼς ἐποίησας τὰ ,α΄ ὑπέρπυρα κουκκιὰ ,κ΄. μέρισον γὰρ τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν μζ΄, καθὼς ἐμέρισας καὶ τὰς ,κ΄ τὰ κουκκιά, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κα΄ καὶ τὸ παρὸν τζάκισμα $\frac{\iota\gamma}{\mu\zeta}$. ἔστι δὲ τὰ κα΄ καὶ $\frac{\iota\gamma}{\mu\zeta}$ ἓν σῶμα τῶν τριῶν ὥσπερ καὶ ἐπὶ τῶν ,κ΄ τῶν κουκκιῶν τὰ υκε΄ καὶ $\frac{\kappa\varepsilon}{\mu\zeta}$. πολλ(α)πλασίασον δὲ τὰ κ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄, μετὰ τῶν κα΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ὑπέρπυρα υκ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ ιγ΄ τὸ τζάκισμα μετὰ τῶν κ΄, ὧν ἐπολλαπλασίασας μετὰ τῶν κα΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς σξ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα ε΄. ἕνωσον ταῦτα μετὰ τῶν υκ΄ ὑπερπύρων καὶ γίνονται ὁμοῦ ὑπέρπυρα υκε΄. ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα κε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ κε΄ ὑπέρπυρα κουκκιὰ φ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ι΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ λ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ λ΄ κουκκιὰ τουρν(έ)σι(α) ρκ΄. μέρισον ταῦτα μετὰ τῶν μζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι(α) β΄· ἀπομένει καὶ τζάκισμα κς΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\gamma}$ ἐκ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα υκε΄ κουκκιὰ ι΄ τουρν(έ)σ(ια) β΄ καὶ τζάκισμα κς΄. ὡσαύτως ποίησον καὶ ἐπὶ τοῦ ἔχοντος $\frac{\alpha}{\delta}$ τῶν ξ΄, ἅπερ ἐστὶ ιε΄, καὶ ἐπὶ τοῦ ἔχοντος $\frac{\alpha}{\varepsilon}$ τῶν ξ΄, ἅπερ ἐστὶ ιβ΄. καὶ εὑρήσεις τὰ οἰκεῖα μέρη αὐτῶν, ἅπερ οἰκειοῦται ἕκαστος ἐκ τῶν ,α΄ ὑπερπύρων, ὅμοια ὡς καὶ ἐπὶ τῆς πρώτης μεταχειρίσεως, καθὼς εὗρες καὶ νῦν τοῦ ἔχοντος $\frac{\alpha}{\gamma}$ τῶν ,α΄ ὑπερπύρων τὰ ὑπέρπυρα καὶ κουκκιὰ καὶ τουρν(έ)σι(α) καὶ τζακίσματα ὅμοια ὡς καὶ ἐπὶ τῆς πρώτης μεταχειρίσεως.

τούτῳ οὖν τῷ τρόπῳ γίνεται καὶ μετὰ ἀκεραίων ὑπερπύρων ὡς καὶ μετὰ τῶν κουκκιῶν καὶ εὑρίσκεται ἡ ἑκάστου οἰκεία μερὶς διὰ ὑπερπύρων καὶ κουκκιῶν καὶ τουρν(ε)σί(ων) καὶ τζακίσματος, ὡς προχειρότερον δὲ κρεῖττον γενέσθαι μετὰ τῶν κουκκιῶν ἢ μετὰ τῶν ὑπερπύρων.

Ἕτερον τούτου ὅμοιον. Ἐκ τῶν ,α΄ ὑπερπύρων εἴπομεν, ὅτι ὁ μὲν ἔχει $\frac{\alpha}{\gamma}$, ὁ δὲ $\frac{\alpha}{\delta}$, ὁ δὲ $\frac{\alpha}{\varepsilon}$. ἔστω δὲ νῦν, ὅτι ἐκ τῶν ,α΄ ὑπερπύρων ὁ μὲν ἔχει $\frac{\alpha}{\beta}$, ὁ δὲ $\frac{\alpha}{\gamma}$, ὁ δὲ $\frac{\alpha}{\delta}$, ὁ δὲ $\frac{\alpha}{\varepsilon}$. ζητεῖς δὲ εἰδέναι, πόσον μέρος οἰκειοῦται ἕκαστος τῶν τεσσάρων ἐκ τῶν ,α΄ ὑπερπύρων.

κοινῶς δὲ τοῦτο ζητούμενον καὶ οὐ τεχνικῶς εἶπεν ἄν τις, ὅτι τὸ μὲν $\frac{\alpha}{\beta}$ τῶν ,α΄ ὑπερπύρων ἐστὶ ὑπέρπυρα φ΄, τὸ δὲ $\frac{\alpha}{\gamma}$ ὑπέρπυρα τλγ΄ καὶ $\frac{\alpha}{\gamma}$, τὸ δὲ $\frac{\alpha}{\delta}$ ὑπέρπυρα σν΄, τὸ δὲ $\frac{\alpha}{\varepsilon}$ ὑπέρπυρα σ΄. ἕνωσον ταῦτα πάντα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,ασπγ΄ καὶ

---

divisio prima: auctor numeros exstinguere oblitus est.


34 εἶπεν ἄν τις] υπεν αντης **C**, **pro** εἴπῃ ἄν τις

$\frac{\alpha}{\gamma}$. δοκεῖ δὲ ἀπὸ τῆς ἀτέχνου ταύτης ζητ(ή)σεως, ὅτι οὐκ ἐστι ἱκανὰ τὰ ,α΄ ὑπέρπυρα ἀποδοῦναι ἑκάστῳ αὐτῶν τὸ οἰκεῖον μέρος· λείπονται γὰρ ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα σπγ΄ καὶ $\frac{\alpha}{\gamma}$ τὸ δοκοῦν, ὅπερ οὐκ ἐστι ἀληθές. ποίησον δὲ τοῦτο τεχνικῶς καὶ εὑρήσεις καλῶς τὸ ζητούμενον.

Θὲς τὰ οἰκεῖα μέρη ἑκάστου αὐτῶν καὶ πολλ(α)πλασίασον τὰ κάτωθεν β΄ μετὰ τῶν κάτωθεν γ΄· δὶς οὖν γ΄ γίνονται ς΄. πολλ(α)πλασίασον δὲ τὰ ς΄ μετὰ τῶν κάτωθεν δ΄· δ΄κις οὖν ς΄ γίνονται κδ΄. πολλ(α)πλασίασον δὲ τὰ κδ΄ μετὰ τῶν κάτωθεν ε΄· ε΄κις οὖν κδ΄ γίνονται ρκ΄. ἔχεις οὖν καὶ ἐκ τῶν ρκ΄ λαβεῖν τὸ οἰκεῖον μέρος ἑκάστου τῶν τεσσάρων. διὰ δὲ τὸ μὴ γενέσθαι τὸν μεριστὴν γράμματα τρία καὶ γένηταί σοι δυσχερὲς διαμερίζειν τὰ οἰκεῖα μέρη αὐτῶν ἐκ τῶν ,α΄ ὑπερπύρων διὰ τριῶν γραμμάτων τοῦ μεριστοῦ, λάβε ἐκ τῶν ρκ΄ τὰ ἡμίση, ἅπερ ἐστὶ ξ΄, καὶ θὲς ταῦτα κάτωθεν τῶν ρκ΄. κάτωθεν δὲ τούτων ποίησον κεραίαν γραμμήν. λάβε δὲ $\frac{\alpha}{\beta}$ τῶν ξ΄, ὅπερ ἐστὶ λ΄. λάβε καὶ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄, ὅπερ ἐστὶ κ΄. λάβε καὶ $\frac{\alpha}{\delta}$ τῶν ξ΄, ὅπερ ἐστὶ ιε΄. λάβε καὶ $\frac{\alpha}{\varepsilon}$ τῶν ξ΄, ὅπερ ἐστὶ ιβ΄. ἕνωσον δὲ τὰ λ΄ καὶ κ΄ καὶ ιε΄ καὶ ιβ΄ καὶ γίνονται ὁμοῦ οζ΄. ἔστι δὲ τὰ οζ΄ ὁ μεριστὴς πάντων τούτων. ἔστι δὲ νῦν δύο γράμματα διὰ τὸ λαβεῖν τὰ οἰκεῖα μέρη τούτων ἐκ τῶν ξ΄. εἰ δὲ ἐκ τῶν ρκ΄ ἔλαβες τὰ οἰκεῖα μέρη αὐτῶν, ἐγένοντο ἂν ‖ ὁμοῦ ρνδ΄, ἅπερ νῦν ἐστι οζ΄, τουτέστι τὰ ἡμίση τῶν ρνδ΄· δὶς γὰρ οζ΄ ρνδ΄ γίνονται. ἴσως οὖν καὶ διὰ τῶν τριῶν γραμμάτων τῶν δηλούντων ρνδ΄ εἶχες ἂν καλῶς διαμερίζειν τὰ ζητούμενα μέρη. νῦν δὲ ἔχων μεριστὴν οζ΄ ἀντὶ τῶν ρνδ΄ προχειροτέρως ἔχεις διαμερίσαι τὰ ,α΄ ὑπέρπυρα καὶ τὰ τούτων τζακίσματα διὰ τῶν δύο γραμμάτων τῶν δηλώντων οζ΄ ἢ μετὰ τῶν τριῶν τῶν δηλώντων ρνδ΄· δι᾽ οὐδὲν γὰρ ἕτερον λαμβάνονται τὰ οζ΄ καὶ οὐ τὰ ρνδ΄ ἢ μόνον διὰ τὸ προχειρέστερον.

$\frac{\alpha}{\beta}$	$\frac{\alpha}{\gamma}$	$\frac{\alpha}{\delta}$	$\frac{\alpha}{\varepsilon}$
			ς
		β	δ
	α	β	μ
	ξ·	ς	μ
	ς″	γ	μ
	γ″	β	μ
	δ″	α	ε
	ε″	α	β
	ζ	ζ	ὁ μεριστής


Πολλ(α)πλασίασον δὲ τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν λ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\beta}$ τῶν ξ΄, καὶ γίνεται




ὁ τούτων πολλ(α)πλασιασμὸς γ μ μ μ μ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα τπθ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα μζ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ μζ΄ ὑπέρπυρα κουκκιὰ ,αμ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ιβ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ις΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ις΄ κουκκιὰ τουρν(έ)σι(α) ξδ΄. καὶ ἐπεί ἐστι ἐλάττονα τῶν οζ΄, ἀπομένοσι τζάκισμα. καὶ ἰδοὺ ὁ ἔχων τὰ $\frac{\alpha}{\beta}$ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα τπθ΄ κουκκιὰ ιβ΄ τουρν(έ)σι μ΄ καὶ τζάκισμα ξδ΄.

Πολλ(α)πλασίασον δὲ πάλιν τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν κ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄, καὶ


30 ,αμ΄] ,α falso C



γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς β υ υ υ υ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σνθ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα νζ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ νζ΄ ὑπέρπυρα κουκκιὰ ,αρμ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ιδ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ξβ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ξβ΄ κουκκιὰ τουρν(έ)σ(ια) σμη΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ια) γ΄· ἀπομένει καὶ τζάκισμα ιζ΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\gamma}$ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα σνθ΄ κουκκιὰ ιδ΄ τουρν(έ)σ(ια) γ΄ καὶ τζάκισμα ιζ΄. Πολλ(α)πλασίασον δὲ πάλιν τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν ιε΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\delta}$ τῶν ξ΄, καὶ



γίνεται ὁ τούτων πολλαπλασιασμὸς α ε υ υ υ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα ρϛδ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ξβ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ ξβ΄ ὑπέρπυρα κουκκιὰ ,ασμ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ις΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ η΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ η΄ κουκκιὰ τουρν(έ)σι(α) λβ΄. ἐπεὶ δέ ἐστι ἐλάττονα τῶν οζ΄, ἀπομένοσι τζάκισμα. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\delta}$ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα ρϛδ΄ κουκκιὰ ις΄ τουρν(έ)σ(ι) υ΄ καὶ τζάκισμα λβ΄.




Πολλ(α)πλασίασον δὲ πάλιν τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν ιβ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\varepsilon}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α β υ υ υ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα ρνε΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ξε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ ξε΄ ὑπέρπυρα κουκκιὰ ,ατ΄.

---

s/6 ξβ΄ κουκκιὰ] ις ⁝ **falso C**


μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ις΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ξη΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ξη΄ κουκκιὰ τουρν(έ)σι(α) σοβ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι(α) γ΄· ἀπομένει καὶ τζάκισμα μα΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\varepsilon}$ τῶν ,α΄ ὑπερπύρων οἰκειοῦται ὑπέρπυρα ρνε΄ κουκκιὰ ις΄ τουρν(έ)σι(α) γ΄ καὶ τζάκισμα μα΄.

Θὲς οὖν τὰ οἰκεῖα μέρη αὐτῶν ἐν τάξει καὶ ἕνωσον τὰ τζακίσματα καὶ γίνονται ὁμοῦ ρνδ΄, ἅπερ ἐστὶ μεριστοὶ δύο, τουτέστι τουρν(έσ)ι(α) β΄· δὶς γὰρ οζ΄ ρνδ΄ γίνονται. ἕνωσον ταῦτα μετὰ τῶν ς΄ τουρν(ε)σί(ων) καὶ γίνονται ὁμοῦ τουρν(έ)σι(α) η΄, ἅπερ ἐστὶ κουκκιὰ β΄. ἕνωσον ταῦτα μετὰ τῶν κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ξ΄, ἅπερ ἐστὶ ὑπέρπυρα γ΄. θὲς ταῦτα εἰς τὰ τῆς μονάδος ὑπέρπυρα καὶ ἕνωσον τὰς μονάδας καὶ δεκάδας καὶ ἑκατοντάδας, ὡς εἰώθαμεν ποιεῖν ἐπὶ τῶν ὁμάδων, καὶ γίνονται ὁμοῦ πάλιν ὑπέρπυρα ,α΄ ὡς τὸ πρότερον.



καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ‖ ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον. f. 54r

Καὶ ἄλλως πάλιν, καθ' ἅπερ καὶ τὸ πρῶτον. Ἐκ τῶν ,α΄ ὑπερπύρων εἴπομεν, ὅτι ὁ μὲν ἔχει $\frac{\alpha}{\beta}$, ὁ δὲ $\frac{\alpha}{\gamma}$, ὁ δὲ $\frac{\alpha}{\delta}$, ὁ δὲ $\frac{\alpha}{\varepsilon}$. πολλ(α)πλασίασον τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν κ΄, ἅπερ ἐστὶ κουκκιὰ ἑνὸς ὑπερπύρου, καὶ γίνονται τὰ ,α΄ ὑπέρπυρα κουκκιὰ ,κ΄. μέρισον τὰς ,κ΄ τὰ κουκκιὰ μετὰ τῶν οζ΄, ὧν ἔχεις μεριστήν· ὁ γὰρ μεριστὴς καὶ ἐπὶ τῆς παρούσης ταύτης δευτέρας μεταχειρίσεως οὕτως λαμβάνεται ὡς καὶ ἐπὶ τῆς πρώτης, ἧς εἴπομεν, ὅτι ἕνωσον τὰ λ΄ καὶ κ΄ καὶ ιε΄ καὶ ιβ΄ καὶ γίνονται ὁμοῦ οζ΄. μεριζόμεναι δὲ αἱ ,κ΄ τὰ κουκκιὰ μετὰ τῶν οζ΄ γίνεται ὁ τούτων διαμερισμὸς σνθ΄. ἀπομένει καὶ τὸ παρὸν τζάκισμα $\frac{\varepsilon\ \zeta}{\zeta\ \zeta}$, τουτέστι νζ΄ μὲν τζάκισμα, οζ΄ δὲ μεριστής. ἔπειτα ἄρξου ποιεῖν οὕτως.




Πολλ(α)πλασίασον τὰ σνθ΄, ἅπερ ἐξῆλθον ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν, μετὰ τῶν λ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\beta}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ,ζψο΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ νζ΄ τὸ τζάκισμα μετὰ τῶν λ΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α ζ α υ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ κβ΄. ἕνωσον καὶ ταῦτα μετὰ τῶν κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ

---


in suprema figura: ς δ] δ ς **falso C** 13 τουρν(ε)σί(ων), τουρν(έ)σι(α)] ν̈γ̈ **C** 31 ἄρξου **sic C**

,ζψϛβ΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ις΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ις΄ κουκκιὰ τουρν(έ)σ(ια) ξδ΄. ἐπεὶ δέ ἐστι ἐλάττονα τῶν οζ΄, ἀπομένοσι τζάκισμα. καὶ ἰδοὺ ὁ ἔχων τὸ $\frac{\alpha}{\beta}$ τῶν ,κ΄ τῶν κουκκιῶν οἰκειοῦται κουκκιὰ ,ζψϛβ΄ τουρν(έ)σ(ι) υ΄ καὶ τζάκισμα ξδ΄.


Πολλ(α)πλασίασον δὲ πάλ(ιν) τὰ σνθ΄ μετὰ τῶν κ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\gamma}$ τῶν ξ΄, καὶ γίνεται



ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ,ερπ΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ νζ΄ τὸ τζάκισμα μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α α δ υ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ιδ΄. ἕνωσον ταῦτα μετὰ τῶν κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,ερϛδ΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ξβ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ξβ΄ κουκκιὰ τουρν(έ)σι(α) σμη΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ια) γ΄· ἀπομένει καὶ τζάκισμα ιζ΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\gamma}$ τῶν ,κ΄ τῶν κουκκιῶν οἰκειοῦται κουκκιὰ ,ερϛδ΄ τουρν(έ)σι(α) γ΄ καὶ τζάκισμα ιζ΄.



Πολλ(α)πλασίασον δὲ πάλιν τὰ σνθ΄ μετὰ τῶν ιε΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\delta}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ,γωπε΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ νζ΄ τὸ τζάκισμα μετὰ τῶν ιε΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς η ε ε΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ια΄. ἕνωσον ταῦτα μετὰ τῶν κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,γωϛς΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ η΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ η΄ κουκκιὰ τουρν(έ)σι(α) λβ΄. ἐπεὶ δέ ἐστι ἐλάττονα τῶν οζ΄, ἀπομένοσι τζάκισμα. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\delta}$ τῶν ,κ΄ τῶν κουκκιῶν οἰκειοῦται κουκκιὰ ,γωϛς΄ τουρν(έσι) υ΄ καὶ τζάκισμα λβ΄.



Πολλ(α)πλασίασον δὲ πάλιν τὰ σνθ΄ μετὰ τῶν ιβ΄, ἅπερ ἐστὶ $\frac{\alpha}{\varepsilon}$ τῶν ξ΄, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ,γρη΄. πολλ(α)πλασίασον δὲ καὶ τὰ νζ΄ τὸ τζάκισμα μετὰ τῶν ιβ΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ϛ η δ΄. μέρισον

ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ η΄. ἕνωσον ταῦτα μετὰ τῶν κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,γρις΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ξη΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ξη΄ κουκκιὰ τουρν(έ)σ(ια) σοβ΄. μέρισον ταῦτα μετὰ τῶν οζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρνέσια γ΄· ἀπομένει καὶ τζάκισμα μα΄. καὶ ἰδοὺ ὁ ἔχων $\frac{\alpha}{\varepsilon}$ τῶν ,κ΄ τῶν κουκκιῶν οἰκειοῦται κουκκιὰ ,γρις΄ τουρν(έσια) γ΄ καὶ τζάκισμα μα΄.

Θὲς τὰ οἰκεῖα μέρη αὐτῶν ἐν τάξει καὶ ἕνωσον τὰ τζακίσματα καὶ πάλιν γίνονται ὡς τὸ πρότερον ρνδ΄, ἅπερ ἐστὶ μερισταὶ δύο, τουτέστι τουρν(έ)σι(α) β΄. ἕνωσον ταῦτα μετὰ τῶν ς΄ τουρν(ε)σ(ίων) καὶ γίνονται ὁμοῦ τουρν(έ)σ(ια) η΄, ἅπερ ἐστὶ κουκκιὰ β΄. ἕνωσον ταῦτα μετὰ τῶν κουκκιῶν ἀπὸ τοῦ τέλους ἀρξάμενος, ὡς εἰώθαμεν ποιεῖν ἐπὶ τῶν ὁμάδων, καὶ γίνονται ὁμοῦ πάλιν κουκκιὰ ,κ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ,α΄.

ϛ″	(α)⋮	ζ	ζ	ϑ	β	ͱ	υ	τζ α	ϛ	δ
γ′′	(α)⋮	ε	α	ϑ	δ	ͱ	γ	τζ α	α	ζ
δ′′	(α)⋮	γ	η	ϑ	ϛ	ͱ	υ	τζ α	γ	β
ε′′	(α)⋮	γ	α	α	ϛ	ͱ	γ	τζ α	δ	α
	(α)⋮	β	υ	υ	υ	υ	β		α	ε δ

δύο μερισταί

καὶ αὕτη ἐστὶ ἡ μαρτ(υ)ρί(α) τε καὶ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον. ‖ f. 54v

Ἐὰν δὲ ζητῇς εἰδέναι, πόσα ὑπέρπυρα οἰκειοῦται ἕκαστος ἀντὶ τῶν κουκκιῶν, ὧν οἰκει-

⋮	α̸	α̸	α	⋮ α β	⋮	α̸	α	⋮ α δ	⋮	α̸	α	⋮ α ς	(α)⋮	α̸		⋮ α ς			
	ξ̸	ξ̸	ϑ̸ β			ε̸	α̸	ϑ̸ δ		η̸	η̸	ϑ̸ ς		η̸	α̸	α ς			
	β	υ	υ			β	υ	υ		β	υ	υ		β	υ	υ			
		β	β				β	β			β	β			β	β			
‖	γ	η	ϑ	⋮ α β	‖	β	ε	ϑ ⋮ α δ	‖	α	ϑ	δ ⋮ α ς	‖	α	ε	ε ⋮ α ς			

ώσατο, λάβε πρῶτον τὰ τζακίσματα αὐτῶν καὶ θὲς ταῦτα ἐν τάξει, καθὼς καὶ πρότερον οὕτως ἐποίησας ὁμοίως. θὲς καὶ τὰ τουρν(έ)σι(α) αὐτῶν ἐν τάξει. ἔπειτα μέρισον μετὰ τῶν κ΄ τὰ τοῦ πρώτου κουκκιά, ἅπερ ἐστὶ ,ζψϙβ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα τπϑ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ιβ΄. μέρισον καὶ τὰ ,ερϙδ΄ κουκκιὰ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σνϑ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ιδ΄. μέρισον καὶ τὰ ,γωϙς΄ κουκκιὰ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα ρϙδ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ις΄. μέρισον καὶ τὰ ,γρις΄ κουκκιὰ μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα ρνε΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ις΄.

ϛ″	(α)‖	γ	η	ϑ	(α)⋮	α	β	ͱ	υ	τζ α	ϛ	δ
γ′′	(α)‖	β	ε	ϑ	(α)⋮	α	δ	ͱ	γ	τζ α	α	ζ
δ′′	(α)‖	α	ϑ	δ	(α)⋮	α	ς	ͱ	υ	τζ α	γ	β
ε′′	(α)‖	α	ε	ε	(α)⋮	α	ς	ͱ	γ	(α)τζ	δ	α
	‖	α	υ	υ	υ		β		β		α	ε δ

δύο μερισταί

θὲς οὖν τὰ κουκκιὰ εἰς τοὺς οἰκείους τόπους αὐτῶν, ὁμοίως καὶ τὰ ὑπέρπυρα, καὶ ἕνωσον ταῦτα πάντα καὶ γίνεται καταπάντα ὅμοιον καὶ ἐπὶ τῶν ὑπερπύρων καὶ κουκκιῶν καὶ τουρν(ε)σίων καὶ τζακισμάτων καὶ εὑρίσκεται καὶ οὕτως ὁμοῦ ὑπέρπυρα ,α΄ καὶ διειρημένως ἡ ἑκάστου μερίς.

εὑρήσεις δὲ τὸ ζητούμενον καὶ μετὰ ἀκεραίων ὑπερπύρων μὴ γενομένων κουκκιῶν, καθὼς τὸ περὶ τούτου σαφέστερον εἴπομεν περὶ τὸ τέλος τοῦ πρώτου, ἐν ᾧπερ εἴπομεν τῶν τριῶν τῶν ἐχόντων $\frac{\alpha}{\gamma}$ καὶ $\frac{\alpha}{\delta}$ καὶ $\frac{\alpha}{\varepsilon}$ ἐκ τῶν ,α΄ ὑπερπύρων.

4/5 τουρνέσια] ͱ C 12.13 τουρν(ε)σ(ίων), τουρν(έ)σ(ια)] ͱσ hic et passim C

ρδ


Περὶ τῶν προσφερόντων – ὁ μὲν ὑπέρπυρα κγ΄, ὁ δὲ ὑπέρπυρα λε΄, ὁ δὲ ὑπέρπυρα νς΄ – πῶς ἔστι εἰδέναι, πόσα ὑπέρπυρα οἰκειοῦται ἕκαστος αὐτῶν ἀναλόγως ἐκ τῶν ,α΄ ὑπερπύρων;

Θὲς τὰ ὑπέρπυρα, ἅπερ ἕκαστος αὐτῶν δέδωκεν, καὶ ὁ μὲν πρῶτος δέ<δωκεν> ὑπέρπυρα κγ΄, ὁ δὲ δεύτερος ὑπέρπυρα λε΄, ὁ δὲ τρίτος ὑπέρπυρα νς΄. ἕνωσον ταῦτα πάντα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ριδ΄. ταῦτα οὖν τὰ ριδ΄ ὑπέρπυρά ἐστι ὁ μεριστὴς τῶν ,α΄ ὑπερπύρων· δι᾽ αὐτῶν γὰρ τῶν ριδ΄ ὑπερπύρων μερίζονται τὰ ,α΄ ὑπέρπυρα καὶ εὑρίσκεται, πόσα ὑπέρπυρα οἰκειοῦται ἕκαστος αὐτῶν ἀναλόγως ἐκ τῶν ,α΄ ὑπερπύρων.


(α)‖	β	γ
(α)‖	γ	ε
(α)‖	ε	ς
α	α	δ
	ε	ζ

μεριστής

ἵνα δὲ γένηται προχειρεστέρως ἡ τῶν πολλ(α)πλασιαζομένων καὶ διαμεριζομένων τούτων ζήτησις, σχίσον τὰ ριδ΄, ἅπερ εἴπομεν, ὅτι ἐστὶ μεριστής, εἰς μέρη δύο καὶ γίνονται τὰ ἡμίση τῶν ριδ΄ νζ΄. σχίσον καὶ τὰ ,α΄ ὑπέρπυρα εἰς μέρη δύο καὶ γίνονται τὰ ἡμίση τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα φ΄. κράτει οὖν ἀντὶ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα φ΄ καὶ ἀντὶ τῶν ριδ΄ τὸν μεριστὴν νζ΄. ὅπερ οὖν ἔχεις ποιῆσαι μετὰ τῶν ,α΄ ὑπερπύρων καὶ μετὰ τῶν ριδ΄ τὸν μεριστ<ήν>, ταὐτὸν ἔχεις ποιῆσαι προχ(ει)ρ(ο)τέρως καὶ μετὰ τῶν φ΄ ὑπερπύρων καὶ νζ΄ μεριστ<οῦ>.



Πολλ(α)πλασίασον γὰρ ἀντὶ τῶν ,α΄ ὑπερπύρων τὰ φ΄ ὑπέρπυρα μετὰ τῶν κγ΄ ὑπερπύρων τοῦ πρώτου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α α ε υ υ΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σα΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα μγ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ μγ΄ ὑπέρπυρα κουκκιὰ ωξ΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ιε΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ε΄ κουκκιὰ τουρν(έ)σι(α) κ΄. ἐπεὶ δὲ ἐλάττονά εἰσι τῶν νζ΄, ἀπομένοσι τζάκισμα. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα κγ΄ οἰκειοῦται ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα σα΄ κουκκιὰ ιε΄ τουρν(έ)σι υ΄ καὶ τζάκισμα κ΄.




Πολλ(α)πλασία<σον> δὲ πάλιν τὰ φ΄ ὑπέρπυρα μετὰ τῶν λε΄ ὑπερπύρων τοῦ δευτέρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α ζ ε υ υ΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα τζ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρον α΄, ὅπερ ἐστὶ κουκκιὰ κ΄. καὶ ἐπεὶ τὰ κ΄ κουκκιὰ οὐ δύνανται διαμερισθῆναι

---


divisio quarta: β] ℱ falso C

μετὰ τῶν νζ΄, ποίησον ταῦτα τουρν(έ)σ(ια) καὶ γίνονται τὰ κ΄ κουκκιὰ τουρν(έ)σι(α) π΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι α΄· ἀπομένει καὶ τζάκισμα κγ΄. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα λε΄ οἰκειοῦται ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα τζ΄ κουκκὶ μ΄ τουρν(έ)σι α΄ καὶ τζάκισμα κγ΄.




Πολλ(α)πλασίασον δὲ πάλιν τὰ φ΄ ὑπέρπυρα μετὰ τῶν νς΄ ὑπερπύρων τοῦ τρίτου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς β η υ υ υ΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα υϚα΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ιγ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ ιγ΄ ὑπέρπυρα κουκκιὰ σξ΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ δ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ λβ΄, ἅπερ ἐστὶ τουρν(έσια) ρκη΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ια) β΄ καὶ τζάκισμα ιδ΄. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα νς΄ οἰκειοῦται ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα υϚα΄ κουκκιὰ δ΄ τουρν(έ)σ(ια) β΄ καὶ τζάκισμα ιδ΄.

Θὲς οὖν τὰ οἰκεῖα μέρη αὐτῶν ἐν τάξει καὶ ἔνωσον τὰ τζακίσματα καὶ γίνονται ὁμοῦ νζ΄, ἅπερ ἐστὶ μεριστὴς εἷς, τουτέστι τουρν(έ)σι α΄. θὲς τοῦτο εἰς τὰ τουρν(έ)σι(α) καὶ γίνονται τουρν(έ)σι(α) δ΄, τουτέστι κουκκὶ α΄. θὲς τοῦτο εἰς τὰ κουκκιὰ καὶ γίνονται ὁμοῦ κουκκιὰ κ΄, τουτέστι ὑπέρπυρον α΄. θὲς τοῦτο εἰς τὰ ὑπέρπυρα καὶ ἔνωσον ‖ τὴν καθόλου ὁμάδαν τῶν ὑπερπύρων ἀρξάμενος ἀπὸ τῆς μονάδος, ὡς εἰώθαμεν ποιεῖν, καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,α΄. **f. 55r**




καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.


Καὶ ἄλλως. Ποίησον τὰ ,α΄ ὑπέρπυρα κουκκιά. πολλ(α)πλασίασον γὰρ τὰ ,α΄ ὑπέρπυρα μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς β υ υ υ υ΄, ἅπερ ἐστὶ ,κ΄· γίνονται δὲ τὰ ,α΄ ὑπέρπυρα κουκκιὰ ,κ΄. μέρισον τὰς ,κ΄ τὰ κουκκιὰ μετὰ τῶν ριδ΄, ὧν εἶχες καὶ πρότερον μεριστήν· ὁ γὰρ μεριστὴς καὶ ἐπὶ τῆς παρούσης μεταχειρίσεως οὕτως λαμβάνεται ὡς καὶ ἐπὶ τῆς πρώτης. καὶ γίνεται ὁ τούτων διαμερισμὸς ροε΄· ἀπομένει καὶ τὸ παρὸν τζάκισμα $\frac{\varepsilon\ \upsilon}{\alpha\ \alpha\ \delta}$. σχίσον τὰ ε υ΄ καὶ τὰ




α ζ ε καὶ $\frac{\beta\ \varepsilon}{\varepsilon\ \zeta}$

divisio quarta:  **C**


α α δ΄ εἰς δύο καὶ γίνονται $\frac{\text{κε}}{\text{νζ}}$. κράτει οὖν ροε΄ καὶ τζάκισμα $\frac{\text{κε}}{\text{νζ}}$· ὃν γὰρ λόγον ἔχοσι τὰ ν΄ πρὸς τὰ ριδ΄, τὸν αὐτὸν λόγον ἔχοσι καὶ τὰ κε΄ πρὸς τὰ νζ΄.
Πολλ(α)πλασίασον δὲ τὰ ροε΄, ἅπερ ἐξῆλθον ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν, μετὰ τῶν



κγ΄ ὑπερπύρων, ὧν δέδωκεν ὁ πρῶτος, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ δ υ β ε΄. πολλ(α)πλασίασον καὶ τὰ κε΄ τὸ τζάκισμα μετὰ τῶν κγ΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς ε ζ ε΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ α υ΄. ἕνωσον ταῦτα μετὰ τῶν δ υ β ε΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,δλε΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τουρν(έ)σι(α) κ΄. ἐπεὶ δὲ εἶναι ἐλάττονα τῶν νζ΄, ἀπομένοσι τζάκισμα. καὶ ἰδοὺ εὗρες, ὅτι ὁ δεδωκὼς ὑπέρπυρα κγ΄ οἰκειοῦται ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν κουκκιὰ ,δλε΄ καὶ τζάκισμα κ΄.
Πολλ(α)πλασίασον δὲ πάλιν τὰ ροε΄ μετὰ τῶν λε΄ ὑπερπύρων τοῦ δευτέρου καὶ γίνε-



ται ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ς α β ε΄. πολλ(α)πλασίασον καὶ τὰ κε΄ τὸ τζάκισμα μετὰ τῶν λε΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς η ζ ε΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ α ε΄. ἕνωσον ταῦτα μετὰ τῶν ς α β ε΄ κουκκιῶν καὶ [καὶ] γίνονται ὁμοῦ κουκκιὰ ,ϛρμ΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ κ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τουρν(έ)σ(ια) π΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ι) α΄· ἀπομένει καὶ τζάκισμα κγ΄. καὶ ἰδοὺ εὗρες, ὅτι ὁ δεδωκὼς ὑπέρπυρα λε΄ οἰκειοῦται ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν κουκκιὰ ,ϛρμ΄ τουρν(έ)σ(ι) α΄ τζάκισμα κγ΄.



Πολλ(α)πλασίασον δὲ πάλιν τὰ ροε΄ μετὰ τῶν νς΄ ὑπερπύρων τοῦ τρίτου καὶ γίνεται

---


9 εἶναι] ἐναι] **C**

multiplicatio quarta: ε β ε] γ β ε **falso C**

in inferiore marg. fol. 55^{r} sine contextu: $\overset{\text{ον}}{\text{ϛ}}$


ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ϑ η ψ ψ΄. πολλ(α)πλασίασον καὶ τὰ κε΄ τὸ τζάκισμα μετὰ τῶν νς΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς α δ ψ ψ΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ β δ΄. ἕνωσον ταῦτα μετὰ τῶν ϑ η ψ ψ΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,ϑωκδ΄. ἀπομένει καὶ τζάκισμα λβ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τουρν(έ)σ(ια) ρκη΄. μέρισον ταῦτα μετὰ τῶν νζ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ια) β΄· ἀπομένει καὶ τζάκισμα ιδ΄. καὶ ἰδοὺ εὗρες, ὅτι ὁ δεδωκὼς ὑπέρπυρα νς΄ οἰκειοῦται ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν κουκκιὰ ,ϑωκδ΄ τουρν(έ)σ(ια) β΄ τζάκισμα ιδ΄.

Θὲς οὖν τὰ οἰκεῖα μέρη αὐτῶν ἐν τάξει καὶ ἕνωσον τὰ τζακίσματα καὶ γίνονται ὁμοῦ νζ΄, ἅπερ ἐστὶ μεριστὴς εἷς, τουτέστι τουρν(έ)σι α΄. θὲς τοῦτο εἰς τὰ τουρν(έ)σ(ια) καὶ γίνονται τουρν(έ)σ(ια) δ΄, τουτέστι κουκκὶ α΄. ἕνωσον τὸ α΄ κουκκὶ μετὰ τῶν κουκκιῶν ἀπὸ τοῦ τέλους ἀρξάμενος καὶ γίνονται ὁμοῦ κουκκιὰ ,κ΄, ἅπερ ἐστὶ ὑπέρπυρα ,α΄.



καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

Ἐὰν δὲ ζητῇς εἰδέναι, πόσα ὑπέρπυρα οἰκειοῦται ἕκαστος ἀντὶ τῶν κουκκιῶν, ὧν οἰκειώσατο, θὲς τὰ τζακίσματα αὐτῶν ἐν τάξει, καθὼς καὶ ἀνωτέρω οὕτως ἐποίησας. ὁμοίως θὲς καὶ τὰ τουρν(έ)σ(ια) αὐτῶν ἐν τάξει. ἔπειτα μέρισον μετὰ τῶν κ΄ τὰ τοῦ πρώτου κουκκιά, ἅπερ ἐστὶ δ ψ γ ε΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σα΄ κουκκιὰ ιε΄. μέρισον καὶ τὰ ς α δ ψ΄ κουκκιὰ τοῦ δευτέρου μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα τζ΄. μέρισον καὶ τὰ ϑ η β δ΄ κουκκιὰ τοῦ τρίτου μετὰ τῶν κ΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα υϛα΄ κουκκιὰ δ΄. θὲς τὰ κουκκιὰ εἰς τὸν οἰκεῖον τόπον αὐτῶν. ὁμοίως θὲς καὶ τὰ ὑπέρπυρα εἰς τὸν οἰκεῖον τόπον αὐτῶν. καὶ ἕνωσον τὰ τζακίσματα καὶ γίνονται ὁμοῦ νζ΄, ἅπερ ἐστὶ μεριστὴς εἷς, τουτέστι τουρν(έ)σ(ι) α΄. θὲς τοῦτο εἰς τὰ τουρν(έ)σ(ια) καὶ γίνονται ὁμοῦ τουρν(έ)σι(α) δ΄, τουτέστι κουκκὶ α΄. θὲς τοῦτο εἰς τὰ κουκκιὰ καὶ γίνονται ὁμοῦ κουκκιὰ κ΄, ἅπερ ἐστὶ ὑπέρπυρον α΄. θὲς τοῦτο εἰς τὰ ὑπέρπυρα καὶ ἕνωσον τὰ ὑπέρπυρα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,α΄. ‖ f. 55ᵛ



Ἕτερον τούτου ὅμοιον. Τέσσαρες σύντροφοι προσέφερον ὡς ἐν ταὐτῷ· ὁ μὲν ὑπέρπυρα ρμ΄, ὁ δὲ ὑπέρπυρα σλ΄, ὁ δὲ ὑπέρπυρα τκ΄, ὁ δὲ ὑπέρπυρα υι΄. ἐκέρδεσαν δὲ ὑπέρπυρα ,α΄. ἕνωσον ταῦτα πάντα καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,αρ΄. ἔστι δὲ ταῦτα ὁ μεριστὴς τῶν ,α΄ ὑπερπύρων· δι᾽ αὐτῶν γὰρ τῶν ,αρ΄ ὑπερπύρων μερίζονται τὰ ,α΄ ὑπέρπυρα καὶ εὑρίσκεται, πόσα ὑπέρπυρα οἰκειοῦται ἕκαστος αὐτῶν ἀναλόγως.

ἵνα δὲ γένηται προχειρεστέρως ἡ τῶν πολλ(α)πλασιαζομένων καὶ διαμεριζομένων τούτων ζήτησις, σχίσον τὰ ,αρ΄, ἅπερ εἴπομεν, ὅτι ἐστὶ μεριστής, εἰς μέρη ρ΄ καὶ γίνον-

---

divisio secunda: ⸗ϰϰδϰ] ⸗ϰϰδψ **C**

30 κουκκιὰ δ΄] ᵑ ⋮ α **falso C**

ται ια΄. σχίσον καὶ τὰ ,α΄ ὑπέρπυρα, ἅπερ ἐκέρδεσαν, εἰς μέρη ρ΄ καὶ γίνονται ι΄. κράτ(ει) οὖν ἀντὶ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα ι΄ καὶ ἀντὶ τῶν ,αρ΄ τὸν μεριστὴν ια΄· ὅπερ οὖν ἔχεις ποιῆσαι μετὰ τῶν ,α΄ ὑπερπύρων καὶ μετὰ τῶν ,αρ΄ τὸν μεριστήν, ταὐτὸν ἔχεις ποιῆσαι προχειρεστέρως καὶ μετὰ τῶν ι΄ ὑπερπύρων καὶ ια΄ μεριστήν.

(α)‖ α δ υ
(α)‖ β γ υ
(α)‖ γ β υ
(α)‖ δ α υ

α	α	υ	υ
		α	α

μεριστής

Πολλ(α)πλασίασον γὰρ ἀντὶ τῶν ,α΄ ὑπερπύρων τὰ ι΄ ὑπέρπυρα μετὰ τῶν ρμ΄ ὑπερπύρων τοῦ πρώτου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς

‖ α δ υ
υ υ υ | υ
α δ υ | α
α δ υ υ

‖ α β ζ

(α)‖ γ
υ | υ
ς | β
(α)⋮ ς υ

⋮ ε

(α)⋮ ε
β υ | δ

τουρν(έ)σ(ι) α

α δ υ υ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα ρκζ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα γ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ γ΄ ὑπέρπυρα κουκκιὰ ξ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ε΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ε΄ κουκκιὰ τουρν(έ)σι(α) κ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σ(ι) α΄· ἀπομένει καὶ τζάκισμα ϑ΄. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα ρμ΄ οἰκειοῦται ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα ρκζ΄ κουκκιὰ ε΄ τουρν(έ)σ(ι) α΄ τζάκισμα ϑ΄.

Πολλ(α)πλασίασον δὲ πάλιν ἀντὶ τῶν ,α΄ ὑπερπύρων τὰ ι΄ ὑπέρπυρα μετὰ τῶν σλ΄

‖ β γ υ
υ υ υ | υ
β γ υ | α
β γ υ υ

‖ β υ ϑ

(α)‖ α
υ | υ
β | β
(α)⋮ β υ

⋮ α

(α)⋮ ϑ
γ ς | δ

γ

τουρν(έ)σ(ια) γ

ὑπερπύρων τοῦ δευτέρου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς β γ υ υ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σϑ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρον α΄. πολλ(α)πλασίασον τοῦτο μετὰ τῶν κ΄ καὶ γίνεται τὸ α΄ ὑπέρπυρον κουκκιὰ κ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκὶ α΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ϑ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ϑ΄ κουκκιὰ τουρν(έ)σ(ια) λς΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι(α) γ΄· ἀπομένει καὶ τζάκισμα γ΄. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα σλ΄ οἰκειοῦται ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα σϑ΄ κουκκὶ α΄ τουρν(έ)σ(ια) γ΄ τζάκισμα γ΄.

‖ γ β υ
υ υ υ | υ
γ β υ | α
γ β υ υ

‖ β ϑ υ

‖ α υ
υ υ | υ
β υ | β
(α)⋮ β υ υ

⋮ α η


(α)⋮ β
η | δ

η

τουρν(έ)σι υ


Πολλ(α)πλασίασον δὲ πάλιν ἀντὶ τῶν ,α΄ ὑπερπύρων τὰ ι΄ ὑπέρπυρα μετὰ τῶν τκ΄ ὑπερπύρων τοῦ τρίτου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς γ β υ υ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα σϛ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα ι΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ ι΄ ὑπέρπυρα κουκκιὰ σ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ιη΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ β΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ β΄ κουκκιὰ τουρν(έ)σι(α) η΄. ἐπεὶ δέ ἐστι ἐλάττονα τῶν ια΄, ἀπομένοσι τζάκισμα. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα τκ΄ οἰκειοῦται ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα σϛ΄ κουκκιὰ ιη΄ τουρν(έ)σι υ΄ τζάκισμα η΄.

Πολλ(α)πλασίασον δὲ πάλιν ἀντὶ τῶν ,α΄ ὑπερπύρων τὰ ι΄ ὑπέρπυρα μετὰ τῶν υι΄



ὑπερπύρων τοῦ τετάρτου καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς δ α υ υ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς ὑπέρπυρα τοβ΄· ἀπομένει καὶ τζάκισμα ὑπέρπυρα η΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ η΄ ὑπέρπυρα κουκκιὰ ρξ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ ιδ΄· ἀπομένει καὶ τζάκισμα κουκκιὰ ϛ΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τὰ ϛ΄ κουκκιὰ τουρν(έ)σι(α) κδ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι(α) β΄· ἀπομένει καὶ τζάκισμα β΄. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα υι΄ οἰκειοῦται ἐκ τῶν ,α΄ ὑπερπύρων ὑπέρπυρα τοβ΄ κουκκιὰ ιδ΄ τουρν(έ)σι(α) β΄ τζάκισμα β΄.


Θὲς τὰ οἰκεῖα μέρη αὐτῶν ἐν τάξει καὶ ἕνωσον τὰ τζακίσματα αὐτῶν καὶ γίνονται ὁμοῦ τζακίσματα κβ΄, τουτέστι μεριστα὿ δύο· ὁ γὰρ μεριστής ἐστι ια΄. ἐπεὶ δὲ τὰ κβ΄ τζακίσματά ἐστι μεριστα὿ β΄, ἔστι τουρν(έ)σι(α) β΄. θὲς ταῦτα εἰς τὰ τουρν(έ)σι(α) καὶ ἕνωσον τὰ τουρν(έ)σι(α) καὶ γίνονται ὁμοῦ τουρν(έ)σι(α) η΄, ἅπερ ἐστὶ κουκκιὰ β΄. θὲς ταῦτα εἰς τὰ κουκκιὰ καὶ ἕνωσον τὰ κουκκιὰ καὶ γίνονται ὁμοῦ κουκκιὰ μ΄, ἅπερ ἐστὶ ὑπέρπυρα β΄. ἕνωσον ταῦτα μετὰ τῶν ὑπερπύρων ἀπὸ τοῦ τέλους ἀρξάμενος καὶ γίνονται ὁμοῦ ὑπέρπυρα ,α΄.



δύο μεριστα὿


καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

Καὶ ἄλλως. Ποίησον τὰ ,α΄ ὑπέρπυρα κουκκιά. πολλ(α)πλασίασον γὰρ ταῦτα μετὰ τῶν κ΄ καὶ γίνονται τὰ ,α΄ ὑπέρπυρα κουκκιὰ ,κ΄. μέρισον τὰς ,κ΄ τὰ κουκκιὰ μετὰ τῶν ,αρ΄, ὧν εἴπομεν ἄνωθεν, ὅτι ἐστὶ μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιη΄ καὶ




α η καὶ $\frac{\beta}{\alpha\,\alpha}$


$\frac{\beta\ \upsilon\ \upsilon}{\alpha\ \alpha\ \upsilon\ \upsilon}$, τουτέστι ιη΄ καὶ $\frac{\beta}{\iota\alpha}$· σχιζόμενα γὰρ τὰ $\frac{\beta\ \upsilon\ \upsilon}{\alpha\ \alpha\ \upsilon\ \upsilon}$ εἰς ρ΄ γίνονται οὕτως. ‖ **f. 56^{r}**
Πολλ(α)πλασίασον δὲ τὰ ρμ΄ ὑπέρπυρα τοῦ πρώτου μετὰ τῶν ιη΄, ὧνπερ ἐξῆλθον ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν, καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς κουκκιὰ ,βφκ΄.



πολλ(α)πλασίασον δὲ καὶ τὰ β΄ τὸ τζάκισμα μετὰ τῶν ρμ΄ ὑπερπύρων καὶ γίνεται ὁ τούτων πολλ(α)πλασιασμὸς σπ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς κουκκιὰ κε΄. ἕνωσον ταῦτα μετὰ τῶν ,βφκ΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,βφμε΄. ἀπομένει καὶ τζάκισμα κουκκιὰ ε΄. πολλ(α)πλασίασον ταῦτα μετὰ τῶν δ΄ καὶ γίνονται τουρν(έ)σι(α) κ΄. μέρισον ταῦτα μετὰ τῶν ια΄ καὶ γίνεται ὁ τούτων διαμερισμὸς τουρν(έ)σι α΄· ἀπομένει καὶ τζάκισμα ϑ΄. καὶ ἰδοὺ ὁ δεδωκὼς ὑπέρπυρα ρμ΄ οἰκειοῦται ἐκ τῶν ,κ΄ τῶν κουκκιῶν κουκκιὰ ,βφμε΄ τουρν(έ)σ(ι) α΄ καὶ τζάκισμα ϑ΄.




οὐγγίαι, καὶ γίνονται ὁμοῦ οὐγγίαι υε΄ καθαρὸν ἀσήμιν, ἃς ἔχοσι αἱ μ΄ λίτραι καὶ οὐγγίαι ϛ΄. ποίησον ταύτας μισάς· γίνονται δὲ αἱ υε΄ οὐγγίαι μισαὶ ωι΄. ποίησον καὶ τὰς ζ΄ϛ″ οὐγγίας μισάς· γίνονται δὲ αἱ ζ΄ϛ″ οὐγγίαι μισαὶ ιε΄. μέρισον τὰ ωι΄ μισὰ μετὰ τῶν ιε΄ μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς λίτραι νδ΄. γίνονται δὲ αἱ μ΄ϛ″ λίτραι τῶν ἀνὰ ι΄ οὐγγιῶν λίτραι νδ΄ ἀνὰ ζ΄ϛ″ οὐγγιῶν. ἄφελε τὰς μ΄ϛ″ λίτρας ἐκ τῶν νδ΄ λιτρῶν καὶ ἀπομένοσι λίτραι ιγ΄ϛ″. ιγ΄ οὖν ϛ″ λίτρας χάλκωμαν ἔχεις προσθεῖναι ἐπιβολὴν πρὸς τὸ ποιῆσαι τὰς μ΄ϛ″ λίτρας ἀνὰ οὐγγιῶν ζ΄ϛ″ – ὁμοῦ δὲ μετὰ τῆς ἐπιβολῆς τοῦ χαλκώματος λίτραι νδ΄.



ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία. αἱ νδ΄ λίτραι ἀνὰ ζ΄ϛ″ οὐγγιῶν· νδ΄κις ζ΄ϛ″ γίνονται οὐγγίαι υε΄, καθὼς εἴπομεν, ὅτι αἱ μ΄ λίτραι καὶ οὐγγίαι ϛ΄ ἔχοσι καθαρὸν ἀσήμιν οὐγγίας υε΄. καὶ αὕτη ἐστὶ ἡ ἀπόδειξις, ὅτι ἐγένετο καλῶς τὸ ζητούμενον.

Καὶ τὸ ἀνάπαλιν. Ἔστω ὅτι τὰς νδ΄ λίτρας, αἵτινές εἰσι ἀνὰ οὐγγιῶν ζ΄ϛ″, βούλ(ει) καθαραὶ ταύτας, ὅπερ χρυσοχ(ο)ϊκῶς λαγαρίσαι λέγεται, πρὸς τὸ γενέσθαι φίνον, τουτέστι τέλειον, ἑκάστη λίτρα ἀνὰ οὐγγιῶν ιβ΄, ἥτις νῦν ἐστι ἀνὰ οὐγγιῶν ζ΄ϛ″. πολλ(α)πλασίασον τὰς νδ΄ λίτρας οὐ μετὰ τῶν ζ΄ϛ″ ἀκεραίων οὐγγιῶν, ἀλλὰ μετὰ τῶν ιε΄ μισῶν· ιε΄κις οὖν νδ΄ γίνονται ωι΄ μισά. ἔχοσι δὲ αἱ νδ΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ζ΄ϛ″ οὐγγίας καθαρὸν ἀσήμιν μισὰς μὲν ωι΄, ἀκεραίας δὲ υε΄. ποίησον καὶ τὰς ιβ΄ οὐγγίας, ἃς ζητεῖς γενέσθαι ἑκάστη λίτρα ἀνὰ οὐγγιῶν ιβ΄, μισὰς καὶ γίνονται αἱ ιβ΄ οὐγγίαι μισαὶ κδ΄. μέρισον τὰ ωι΄ μετὰ τῶν κδ΄ μισῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς λγ΄ καὶ $\frac{\text{γ}}{\text{δ}}$. γίνονται δὲ αἱ νδ΄ λίτραι τῶν ἀνὰ οὐγγιῶν ζ΄ϛ″ λίτραι λγ΄ καὶ $\frac{\text{γ}}{\text{δ}}$, ἑκάστη λίτρα ἀνὰ οὐγγιῶν ιβ΄. τὰ δὲ $\frac{\text{γ}}{\text{δ}}$ ἐστὶ οὐγγίαι θ΄. ἄφελε τὰς λγ΄ λίτρας καὶ $\frac{\text{γ}}{\text{δ}}$, τουτέστι τὰς λγ΄ λίτρας καὶ οὐγγίας θ΄, ἐκ τῶν νδ΄ λιτρῶν καὶ ἀπομένοσι λίτραι κ΄ καὶ οὐγγίαι γ΄. διεφθάρη δὲ εἰς τὸ χωνευτήριον χάλκωμαν λίτραι κ΄ καὶ οὐγγίαι γ΄.



ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία τῆς προτέρας. ιβ΄κις λγ΄ γίνονται οὐγγίαι τϛς΄. πρόσθες καὶ τὰ $\frac{\text{γ}}{\text{δ}}$, τουτέστι τὰς θ΄ οὐγγίας, καὶ γίνονται ὁμοῦ οὐγγίαι υε΄, καθὼς εἴπομεν, ὅτι αἱ νδ΄ λίτραι ἀνὰ οὐγγιῶν ζ΄ϛ″ ἐστὶ οὐγγίαι υε΄.

ρια Περὶ τοῦ πῶς τοῦτο καὶ ἐπὶ μαλάγματός ἐστι χρήσιμον

Ἔστω τοίνυν ὅτι ἔχεις μάλαγμαν ἐξάγια ρ΄. ἕκαστον οὖν ἐξάγιον εἴωθεν ἔχειν κουκκιὰ κδ΄, ἃ καὶ καράτα λέγονται. τὸ δὲ κδ΄ κουκκιῶν τὸ μάλαγμάν ἐστι τέλειον. βούλ(ει) δὲ ποιῆσαι τοῦτο χρυσίον, ὥστε γενέσθαι ἕκαστον ἐξάγιον κουκκιῶν κβ΄. ἡ || δὲ ἐπιβολὴ καὶ προσθήκη τοῦ μαλάγματος πρὸς τὸ γενέσθαι ἐλαττόνων κουκκιῶν τε καὶ καράτων πέφυκε γίνεσθαι μετὰ ἀσημιοῦ καὶ οὐ μετὰ χαλκώματος. ζητεῖς οὖν, πόσα ἐξάγια ἀσήμιν ἔχεις προσθεῖναι ἐπιβολὴν πρὸς τὸ γενέσθαι τὰ ρ΄ ἐξάγια τὰ ἀνὰ κουκκιῶν ὄντα κδ΄ ἕκαστον ἐξάγιον ἀνὰ κουκκιῶν κβ΄ καὶ πόσα ἐξάγια χρυσίον γενήσεται μετὰ καὶ τῆς προσθέσεως καὶ ἐπιβολῆς τοῦ ἀσημιοῦ. **f. 61^{r}**


---

13 αἵτινές] ατιναι **C**

16 **in sinistro marg. fol. 60^{v} ad solutionem:** νδ΄κις ζ΄ϛ″ γίνονται υε΄ οὐγγίαι. μέρισον τὰς υε΄ οὐγγίας μετὰ τῶν ιβ΄ οὐγγιῶν καὶ γίνεται ὁ τούτων μερισμὸς λγ΄ καὶ $\frac{\text{γ}}{\text{δ}}$. οὐδὲ γὰρ χρεία ἐστὶ μερίσαι τὰ ωι΄ μισὰ μετὰ τῶν κδ΄ μισῶν.

26 χωνευτήριον] χονευθίριον **C**


ζήτει οὖν πρῶτον, πόσα κουκκιὰ ἔχοσι καθαρὸν μάλαγμαν τὰ ρ΄ ἐξάγια. ἐπεὶ οὖν ἕκαστον ἐξάγιον ἔχει κουκκιὰ κδ΄, ρ΄κις κδ΄ γίνονται ,βυ΄ κουκκιά. μέρισον ταῦτα μετὰ τῶν κβ΄ κουκκιῶν, ὧν ζητεῖς ποιῆσαι ἕκαστον ἐξάγιον ἀνὰ κουκκιῶν κβ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ρϑ΄ καὶ $\frac{\alpha}{\iota\alpha}$ ἑνὸς ἐξαγίου. γίνονται δὲ τὰ ρ΄ ἐξάγια τὰ ἀνὰ κουκκιῶν ὄντα κδ΄ ἐξάγια ρϑ΄ καὶ $\frac{\alpha}{\iota\alpha}$ ἑνὸς ἐξαγίου, ἕκαστον ἐξάγιον τῶν ρϑ΄ ἀνὰ κουκκιῶν κβ΄. ἄφελε τὰ ρ΄ ἐξάγια ἐκ τῶν ρϑ΄ καὶ $\frac{\alpha}{\iota\alpha}$ καὶ ἀπομένοσι ἐξάγια ϑ΄ καὶ $\frac{\alpha}{\iota\alpha}$ ἑνὸς ἐξαγίου. καὶ ἰδοὺ ἐξάγια ϑ΄ καὶ $\frac{\alpha}{\iota\alpha}$ ἑνὸς ἐξαγίου ἀσήμιν ἐστί σοι χρεία προσθεῖναι ἐπιβολὴν πρὸς τὸ γενέσθαι τῶν κδ΄ κουκκιῶν κουκκιῶν κβ΄. ὁμοῦ δὲ μετὰ τῆς ἐπιβολῆς τοῦ ἀσημιοῦ γίνονται τὰ ρ΄ ἐξάγια ἐξάγια ρϑ΄ καὶ $\frac{\alpha}{\iota\alpha}$.



ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία. κβ΄κις ρϑ΄ γίνονται κουκκιὰ ,βτϛη΄, τὸ δὲ $\frac{\alpha}{\iota\alpha}$, ταὐτὸν γὰρ εἰπεῖν τὰ $\frac{\beta}{\kappa\beta}$, ἔχοσι κουκκιὰ β΄. πρόσθες καὶ ταῦτα ἐπὶ τῶν ,βτϛη΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,βυ΄, καθὼς εἴπομεν, ὅτι τὰ ρ΄ ἐξάγια ἀνὰ κδ΄ κουκκιῶν γίνονται κουκκιὰ ,βυ΄.

Καὶ τὸ ἀνάπαλιν. Ἔστω ὅτι τὰ ρϑ΄ ἐξάγια καὶ $\frac{\alpha}{\iota\alpha}$ ἑνὸς ἐξαγίου, ἅτινά εἰσι ἀνὰ κουκκιῶν κβ΄, βούλ(ει) ποιῆσαι ταῦτα μάλαγμαν τέλειον κουκκιῶν κδ΄. ζητεῖς οὖν εἰδέναι, πόσα ἐξάγια φθαρήσονται ἐκ τῶν ρϑ΄ ἐξαγίων καὶ $\frac{\alpha}{\iota\alpha}$, ἅπερ νῦν ἐστι ἕκαστον ἐξάγιον ἀνὰ κουκκιῶν κβ΄, πρὸς τὸ γενέσθαι ἕκαστον ἐξάγιον ἀνὰ κουκκιῶν κδ΄, τουτέστι τέλειον μάλαγμαν.

ζήτει, πόσα κουκκιὰ ἔχοσι τὰ ρϑ΄ ἐξάγια καὶ $\frac{\alpha}{\iota\alpha}$. ἐπεὶ δὲ ἕκαστον ἐξάγιόν ἐστι κουκκιῶν κβ΄, κβ΄κις ρϑ΄ γίνονται κουκκιὰ ,βτϛη΄. τὸ δὲ $\frac{\alpha}{\iota\alpha}$, ταὐτὸν δ᾽ εἰπεῖν τὰ $\frac{\beta}{\kappa\beta}$, ἔχοσι κουκκιὰ β΄. εἰ γὰρ τὸ ἐξάγιον ἔχει κουκκιὰ κβ΄, τὸ $\frac{\alpha}{\iota\alpha}$ τῶν κβ΄ κουκκιῶν ἐστι κουκκιὰ β΄· δὶς γὰρ ια΄ κβ΄ γίνονται. ἕνωσον καὶ τὰ β΄ κουκκιὰ μετὰ τῶν ,βτϛη΄ κουκκιῶν καὶ γίνονται ὁμοῦ κουκκιὰ ,βυ΄ τὰ ρϑ΄ ἐξάγια καὶ $\frac{\alpha}{\iota\alpha}$. μέρισον τὰ ,βυ΄ κουκκιὰ μετὰ τῶν κδ΄ κουκκιῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ρ΄. γίνονται δὲ τὰ ρϑ΄ ἐξάγια καὶ $\frac{\alpha}{\iota\alpha}$ τὰ ἀνὰ κουκκιῶν κβ΄ ἐξάγια ρ΄ ἀνὰ κουκκιῶν κδ΄. διεφθάρη δὲ εἰς τὸ χωνευτήριον ἡ ἐπιβολὴ τοῦ ἀσημιοῦ, ἥτις ἐστὶ ἐξάγια ϑ΄ καὶ $\frac{\alpha}{\iota\alpha}$ ἑνὸς ἐξαγίου, καὶ ἀπέμειναν καθαρότατον καὶ τέλειον μάλαγμαν ἐξάγια ρ΄, ἕκαστον ἐξάγιον κουκκιῶν κδ΄.




ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία. ρ΄κις κουκκιὰ κδ΄ γίνονται κουκκιὰ ,βυ΄.

ριβ Περὶ τοῦ πῶς ἔστι εἰδέναι, πόσων οὐγγιῶν γενήσεται ἑκάστη λίτρα τῶν μ΄ λιτρῶν – τὸ ἀσήμιν, ὅπερ ἐστὶ ἑκάστη λίτρα τῶν μ΄ ἀνὰ οὐγγιῶν ια΄ϛ″, προστιθεμένου χαλκώματος ἐπιβολῆς λίτρας ϛ΄

Ἔστω ὅτι ἔχεις ἀσήμιν λίτρας μ΄, ἑκάστη λίτρα οὐγγιῶν ια΄ϛ″. βούλ(ει) δὲ προσθεῖναι ἐπιβολὴν χάλκωμαν λίτρας ϛ΄ ὥστε γενέσθαι ὁμοῦ λίτραι μϛ΄. ζητεῖς δὲ εἰδέναι, πόσων οὐγγιῶν γενήσεται ἑκάστη λίτρα τῶν μϛ΄.


ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. αἱ μ΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ια΄ϛ″ – μ΄κις ια΄ϛ″ γίνονται υξ΄ οὐγγίαι καθαρὸν ἀσήμιν. μέρισον ταύτας μετὰ τῶν μϛ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ι΄. ἑκάστη οὖν λίτρα τῶν μϛ΄ γίνεται οὐγγιῶν ι΄ μετὰ καὶ τῆς ἐπιβολῆς τοῦ χαλκώματος τῶν ϛ΄ λιτρῶν.



ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία. ι΄κις μϛ΄ γίνονται υξ΄ οὐγγίαι, καθὼς εἴπομεν, ὅτι αἱ μ΄ λίτραι ἀνὰ οὐγγιῶν ια΄ϛ″ γίνονται οὐγγίαι υξ΄.

Καὶ τὸ ἀνάπαλιν. Ἔστω ὅτι ἔχεις ἀσήμιν λίτρας μη΄. βαλὼν δὲ τοῦτο εἰς χωνευτήριον διεφθάρη χάλκωμαν λίτραι ιη΄ καὶ ἐγένοντο αἱ μη΄ λίτραι καθαρότατον ἀσήμιν λίτραι λ΄. ζητεῖς δὲ εἰδέναι, πόσων οὐγγιῶν ἦν πρότερον, ὅτε ἦν λίτραι μη΄.

τὸ καθαρότατον ἀσήμιν ἐστὶ οὐγγιῶν ιβ΄. αἱ λ΄ οὖν λίτραι – ιβ΄κις λ΄ γίνονται οὐγγίαι τξ΄, οὐγγίαι καθαρότατον ἀσήμιν. μέρισον ταύτας μετὰ τῶν μη΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ζ΄ϛ″. ἑκάστη οὖν λίτρα τῶν μη΄ ἦν οὐγγιῶν ζ΄ϛ″. διαφθαρὲν δὲ χάλκωμαν λίτραι ιη΄ ἀπέμειναν λίτραι λ΄ ἀσήμιν τέλειον, ἑκάστη λίτρα οὐγγιῶν ιβ΄.



ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία. πρόσθες λίτρας ιη΄ καὶ γίνονται ὁμοῦ λίτραι μη΄. μη΄κις οὖν οὐγγίαι ζ΄ϛ″ γίνονται οὐγγίαι τξ΄, καθὼς εἴπομεν, ὅτι αἱ λ΄ λίτραι ἀνὰ οὐγγιῶν ιβ΄ γίνονται οὐγγίαι τξ΄.


ὡσαύτως καὶ ἐπὶ μαλάγματος ἔχεις ταῦτα χρήσασθαι καὶ εἰδέναι, ἅπερ νῦν καὶ ἐπὶ τοῦ ἀσημιοῦ εἴπομεν.

ριγ Περὶ τοῦ χρυσίου τοῦ μὴ εἰδότος, πόσων κουκκιῶν ἦν. λαβὼν δὲ ἐξ αὐτοῦ ἐξάγια ε΄, προστεθείσης δὲ ἐπιβολῆς μάλαγμαν καθαρὸν ἐξάγια ι΄ ἐγένοντο ὁμοῦ ἐξάγια ιε΄ ἀνὰ κουκκιῶν ιη΄. ζητεῖς δὲ εἰδέναι, πόσων κουκκιῶν ἦν τὸ μὴ εἰδὸς χρυσίον.

Ἔστω ὅτι δέδωκέν τις πρό(ς) σε χάριν ἐνεχύρου ἐξάγια ρ΄ ἢ ὅσων ἂν εἴπῃς πλειόνων ἢ ἐλαττόνων ἐξαγίων ποσότητα. γέγονε δέ σοι χρεία ποιῆσαι ἔργον τι χρυσὸν ὡς ἐξαγίων ιε΄. ἔχεις δὲ μάλαγμαν τέλειον κουκκιῶν κδ΄ ἐξάγια ι΄, λείπονταί σοι καὶ ε΄ ἐξάγια. ἔλαβες δὲ τὰ ε΄ ταῦτα ἐξάγια, ἅπερ σοι λείπονται, ἐκ τῶν ρ΄ ἐξαγίων, ὧν κρατεῖς ἐνέχυρον, καὶ ἀπέμειναν ἐξάγια Ϲε΄. ἕνωσας δὲ τὰ ε΄ ἐξάγια, ἅπερ ἔλαβες ἐκ τῶν ρ΄ ἐξαγίων, μετὰ τῶν ι΄ ἐξαγίων, ὧν ἔχεις, καὶ ἐγένοντο ἐξάγια ιε΄, ἕκαστον ἐξάγιον τῶν ιε΄ ἀνὰ κουκκιῶν ιη΄. γενομένου δὲ τοῦ ἔργου, οὗ σοι γέγονε χρεία ποιῆσαι, ἀπώλεσας τὰ Ϲε΄ ἐξάγια, ἅπερ ἐκράτεις ἐνέχυρον. ζητεῖς δὲ εἰδέναι, πόσων κουκκιῶν ἦν ἕκαστον ἐξάγιον τῶν Ϲε΄, ὧν ἀπώλεσας, πρὸς τὸ ἀποδοῦναι τῷ ἔχοντι τὸ δίκαιον τίμημα.

ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. τὰ ι΄ ἐξάγια, ἅπερ ἕνωσας μετὰ τῶν ε΄, – τέλειον ὄν, ὡς εἴπομεν, – ἦν ἕκαστον ἐξάγιον κουκκιῶν κδ΄. ἐπεὶ οὖν τὰ ιε΄ ἐξάγια ἐγένοντο ἀνὰ κουκκιῶν ιη΄, τὰ ιη΄ πρὸς τὰ κδ΄ κουκκιά ἐστι $\frac{\gamma}{\delta}$. ιε΄κις οὖν $\frac{\gamma}{\delta}$ γίνονται $\frac{\mu\varepsilon}{\delta}$, ἅπερ ἐστὶ ἀκέραια ια΄ καὶ $\frac{\alpha}{\delta}$· ἔχοσι δὲ τὰ ιε΄ ἐξάγια μάλαγμαν καθαρὸν ἐξάγια ια΄ καὶ $\frac{\alpha}{\delta}$ ἑνὸς ἐξαγίου. ἐπεὶ οὖν προσέθηκας μάλαγμαν τέλειον ἐξάγια ι΄, ἄφελε ταῦτα ἐκ τῶν ια΄ καὶ $\frac{\alpha}{\delta}$ καὶ ἀπομένει ἐξάγιον α΄ καὶ $\frac{\alpha}{\delta}$ ἑνὸς ἐξαγίου. καὶ ἰδοὺ τὰ ε΄ ἐξάγια, ἅπερ ἔλαβες ἐκ τῶν ρ΄, εἶχον καθαρὸν μάλαγμαν ἐξάγιον α΄ καὶ $\frac{\alpha}{\delta}$ ἑνὸς ἐξαγίου.

νῦν δέ, ὥσπερ || εἰώθαμεν ἐπὶ τῶν ὑπερπύρων ποιεῖν διὰ τοῦ κανόνος τοῦ διὰ τῶν τριῶν, οὕτως καὶ νῦν ποίησον. ἐὰν γὰρ τὰ ε΄ ἐξάγια γίνωνται ἐξάγιον α΄ καὶ $\frac{\alpha}{\delta}$, τὰ ρ΄ ἐξάγια – πόσα ἐξάγια δεῖ ἔχειν; πολλ(α)πλασίασον τὰ ρ΄ ἐξάγια μετὰ τοῦ α΄ ἐξαγίου καὶ $\frac{\alpha}{\delta}$· ρ΄κις οὖν ἐξάγιον α΄ καὶ $\frac{\alpha}{\delta}$ γίνονται ἐξάγια ρκε΄. μέρισον ταῦτα μετὰ τῶν ε΄ ἐξαγίων, ὧν ἔλαβες ἐκ τῶν ρ΄, καὶ γίνεται ὁ τούτων διαμερισμὸς κε΄. καὶ ἰδοὺ τὰ ρ΄ ἐξάγια εἶχον μάλαγμαν καθαρὸν ἐξάγια κε΄ καὶ οε΄ ἐξάγια ἐπιβολήν. ὥσπερ γὰρ τὸ α΄ ἐξάγιον καὶ $\frac{\alpha}{\delta}$ ἐστὶ τέταρτον μέρος τῶν ε΄ ἐξαγίων – δ΄κις γὰρ α΄ καὶ $\frac{\alpha}{\delta}$ γίνονται ε΄ – οὕτως καὶ τὰ κε΄ ἐξάγιά ἐστι τέταρτον μέρος τῶν ρ΄ ἐξαγίων. ὀφείλεις δὲ ἀποδοῦναι τῷ δεδωκό<τι> σοι ἐξάγια ρ΄ ἐξάγια κε΄ καθαρὸν μάλαγμαν καὶ ἐπιβολ(ὴν) ἐξάγια οε΄, ὁμοῦ ἐξάγια ρ΄.



f. 61v

ἡ δὲ ἀπόδειξίς ἐστι αὕτη. τὰ α΄ ἑξάγια καὶ $\frac{\alpha}{\delta}$, ὅπερ εὗρες, ὅτι εἶχον τὰ ε΄ ἑξάγια, ἐστὶ κουκκιὰ λ΄· τὸ γὰρ α΄ ἑξάγιόν ἐστι κουκκιὰ κδ΄, τὸ δὲ $\frac{\alpha}{\delta}$ ἐστὶ κουκκιὰ ς΄, ὁμοῦ κουκκιὰ λ΄. ἕκαστον δὲ ἑξάγιον τῶν ε΄ ἦν κουκκιῶν ς΄· ε΄κις γὰρ ς΄ γίνονται λ΄. ἐπεὶ δὲ ἕκαστον ἑξάγιον τῶν ε΄ ἦν κουκκιῶν ς΄ καὶ ἕκαστον ἑξάγιον τῶν ρ΄ ἀνὰ κουκκιῶν ἦν ς΄, ρ΄κις οὖν κουκκιὰ ς΄ γίνονται κουκκιὰ χ΄. εἶχον δὲ τὰ ρ΄ ἑξάγια καθαρὸν μάλαγμαν κουκκιὰ χ΄. τὰ δὲ με΄ ἑξάγια, ἅπερ ἐστὶ μάλαγμαν τέλειον κουκκιῶν κδ΄, – με΄κις κουκκιὰ κδ΄ γίνονται καὶ ταῦτα κουκκιὰ χ΄.

ἔστι δὲ καὶ ἑτέρα ἀπόδειξις. τὰ ε΄ ἑξάγια, ἅπερ ἔλαβες, ἔχοσι κουκκιὰ λ΄, τὰ δὲ σὰ ι΄ ἑξάγια, ἐπεὶ καθαρὸν μάλαγμαν ἦν, ι΄κις κουκκιὰ κδ΄ γίνονται κουκκιὰ σμ΄. ἕνωσον ταῦτα μετὰ τῶν λ΄ κουκκιῶν καὶ γίνονται τὰ ιε΄ ἑξάγια κουκκιὰ σο΄. μέρισον ταῦτα μετὰ τῶν ιε΄ ἑξαγίων καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιη΄. καὶ ἰδοὺ ἕκαστον ἑξάγιον τῶν ιε΄ ἐστὶ κουκκιῶν ιη΄, καθὼς εἴπομεν, ὅτι ἥνωσας τὰ ε΄ ἑξάγια, ἅπερ ἔλαβες ἐκ τῶν ρ΄, μετὰ τῶν ι΄ ἑξαγίων τῶν σῶν, ὅπερ ἦν τέλειον μάλαγμαν, καὶ ἐγένετο ἕκαστον ἑξάγιον τῶν ιε΄ ἀνὰ κουκκιῶν ιη΄.

μὴ μόνον δὲ ἐπὶ μαλάγματος, ἀλλὰ καὶ ἐπὶ ἀσημιοῦ διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι ἀπὸ τοῦ μέρους τὸ ὅλον ἀσήμιν, πόσων οὐγγιῶν ἦν, καθὼς καὶ νῦν ἐπὶ τοῦ μαλάγματος δῆλον ἡμῖν γέγονε.

ριδ

Περὶ τῶν ν΄ λιτρῶν τὸ ἀσήμιν τοῦ ἔχοντος ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας ζ΄, πῶς ἔστι γενέσθαι ἀνὰ οὐγγιῶν ϑ΄ ἐπιπροσθέντος ἐπιβολῆς ἀσημιοῦ τοῦ ἔχοντος ἐφ᾽ ἑκάστης λίτρας ἀνὰ οὐγγίας ια΄

Ἔστω ὅτι ἔχεις ἀσήμιν λίτρας ν΄, ὅπερ ἔχει ἑκάστη λίτρα καθαρὸν ἀσήμιν οὐγγίας ζ΄. βούλ(ει) δὲ ποιῆσαι τοῦτο ἔχειν ἑκάστη λίτρα καθαρὸν ἀσήμιν οὐγγίας ϑ΄ μετὰ ἐπιβολῆς ἑτέρου ἀσημιοῦ τοῦ ἔχοντος ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας ια΄. ζητεῖς οὖν εἰδέναι, πόσας λίτρας ἀσήμιν ἔχεις ἑνῶσαι τῶν ἀνὰ ια΄ οὐγγιῶν πρὸς τὸ γενέσθαι αἱ ν΄ λίτραι αἱ ἀνὰ ζ΄ οὐγγιῶν οὖσαι ἀνὰ οὐγγιῶν ϑ΄.

ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. ζήτει πρῶτον, πόσαι οὐγγίαι ἀσήμιν λείπονται τὰς ν΄ λίτρας τὰς ἀνὰ ζ΄ οὐγγιῶν πρὸς τὸ γενέσθαι ἀνὰ οὐγγιῶν ϑ΄· λείπονται δὲ τὰς ν΄ λίτρας οὐγγίας ρ΄ πρὸς τὸ γενέσθαι ἀνὰ οὐγγιῶν ϑ΄. κράτει οὖν τὰς ρ΄ ταύτας οὐγγίας ἰδίως. ἔπειτα ζήτει τὴν πρὸς τὸ κρεῖττον διαφοράν, ἣν ἔχει τῶν ια΄ οὐγγιῶν, ὧν ἔχεις προσθεῖναι ἐπιβολήν, ἐκ τῶν ϑ΄ οὐγγιῶν, ὧν βούλ(ει) ποιῆσαι τὰς ν΄ λίτρας. ἔστι δὲ κρείττων τῶν ια΄ οὐγγιῶν ἐκ τῶν ϑ΄ οὐγγίας β΄. μέρισον τὰς ρ΄ οὐγγίας, ἃς ἰδίως κρατεῖς, μετὰ τῶν β΄ τούτων οὐγγιῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ν΄· δὶς γὰρ ν΄ γίνονται ρ΄. ν΄ οὖν λίτρας ἀσήμιν ἔχεις προσθεῖναι ἐπιβολὴν τῶν ἀνὰ ια΄ οὐγγιῶν πρὸς τὸ γενέσθαι αἱ ν΄ λίτραι αἱ ἀνὰ ζ΄ οὐγγιῶν οὖσαι ἀνὰ οὐγγιῶν ϑ΄. γίνονται δὲ ὁμοῦ λίτραι ρ΄ ἀνὰ οὐγγιῶν ϑ΄.

ἡ δὲ ἀπόδειξίς ἐστι αὕτη. αἱ ν΄ λίτραι – ν΄κις οὐγγίαι ζ΄ γίνονται τν΄ οὐγγίαι καθαρὸν ἀσήμιν. αἱ δὲ λοιπαὶ ν΄ – ν΄κις οὐγγίαι ια΄ γίνονται φν΄ οὐγγίαι καθαρὸν ἀσήμιν. ἕνωσον ταύτας καὶ γίνονται ὁμοῦ ≫΄ οὐγγίαι καθαρὸν ἀσήμιν, ὅπερ ἔχοσι αἱ [ἐ] ρ΄ λίτραι. μέρισον τὰς ≫΄ οὐγγίας μετὰ τῶν ρ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ϑ΄. καὶ ἰδοὺ ἑκάστη λίτρα τῶν ρ΄ λιτρῶν ἐστι ἀνὰ οὐγγιῶν ϑ΄, ὡς ἐζήτησας ποιῆσαι

---


1 τὰ ... ὅπερ **sic C** 30.32 τῶν ια΄ οὐγγιῶν] **sc.** τὸ τῶν ια΄ οὐγγιῶν ἀσήμιν **divisio secunda:** ϑκϛ] ϑιι **C** 42 λίτραι] $\overset{\Gamma\Gamma\alpha}{\text{ο}}$ **falso C**

ἑκάστην λίτραν ἀνὰ οὐγγιῶν ϑ΄.

Καὶ τὸ ἀνάπαλιν. Ἔστω ὅτι ἔχεις ἀσήμιν λίτρας με΄, ἔχει δὲ ἑκάστη τούτων λίτρα καθαρὸν ἀσήμιν οὐγγίας ι΄. βούλ(ει) δὲ ποιῆσαι ταύτας τὰς με΄ λίτρας ἐλαττόνων οὐγγιῶν, ὥστε γενέσθαι ἑκάστη λίτρα οὐγγιῶν ϑ΄, μετὰ ἐπιβολῆς ἀσημιοῦ, ὅπερ ἔχει ἑκάστη λίτρα καθαρὸν ἀσήμιν οὐγγίας ς΄ς″. ζητεῖς δὲ εἰδέναι, πόσας λίτρας τῶν ἀνὰ ς΄ς″ οὐγγιῶν ἔχεις προσθεῖναι ἐπιβολὴν πρὸς τὸ γενέσθαι αἱ με΄ λίτραι αἱ ἀνὰ ι΄ οὐγγιῶν οὖσαι ἀνὰ οὐγγιῶν ϑ΄.

αἱ με΄ δὲ λίτραι αἱ ἀνὰ οὐγγιῶν ι΄ οὖσαι ἀνὰ ϑ΄ οὐγγιῶν γενόμεναι ἐλαττοῦνται οὐγγίας με΄· κράτει ταύτας ἰδίως. ἑκάστη δὲ λίτρα, ἣν ἔχεις προσθεῖναι ἐπιβολήν, ἥτις ἐστὶ οὐγγιῶν ς΄ς″, ἐστὶ χείρων τῶν ϑ΄ οὐγγιῶν, ὧν βούλ(ει) ποιῆσαι, οὐγγίας β΄ς″. μέρισον τὰς με΄ οὐγγίας, ἃς ἰδίως κρατεῖς, μετὰ τῶν β΄ς″ οὐγγιῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ιη΄· ιη΄κις γὰρ β΄ς″ με΄ γίνονται. ιη΄ οὖν λίτρας ἀσήμιν ἔχεις προσθεῖναι ἐπιβολὴν ἀνὰ οὐγγιῶν ς΄ς″ πρὸς τὸ γενέσθαι αἱ με΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ι΄ ἀνὰ οὐγγιῶν ϑ΄. γίνονται δὲ ὁμοῦ λίτραι ξγ΄ ἀνὰ οὐγγιῶν ϑ΄, ὡς ἐζήτησας γενέσθαι αἱ με΄ λίτραι ἀνὰ οὐγγιῶν ϑ΄.

ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία. με΄κις οὐγγίαι ι΄ γίνονται οὐγγίαι υν΄ καθαρὸν ἀσήμιν, ιη΄κις δὲ οὐγγίαι ς΄ς″ γίνονται οὐγγίαι ριζ΄ καθαρὸν ἀσήμιν. ἕνωσον τῶν ξγ΄ λιτρῶν τὰς οὐγγίας, τουτέστι τὰς υν΄ καὶ ροζ΄, καὶ γίνονται ὁμοῦ οὐγγίαι φξζ΄. μέρισον ταύτας μετὰ τῶν ξγ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ϑ΄. καὶ ἰδοὺ ἑκάστη λίτρα γίνεται ἀνὰ οὐγγιῶν ϑ΄, ὡς ἐζήτησας.



μὴ μόνον δὲ ἐπὶ ἀσημιοῦ γίνεται τοῦτο, ἀλλὰ καὶ ἐπὶ χρυσίου ἐστὶ χρήσιμον. κατὰ γὰρ τὸν ὅμοιον τρόπον ἔχεις εἰδέναι, πόσα ἐξάγια μάλαγμαν ἔχεις ἑνῶσαι τῶν ἀνὰ κουκκιῶν κδ΄ πρὸς τὸ ποιῆσαι τῶν ις΄ κουκκιῶν τὸ ἐξάγιον γενέσθαι κουκκιῶν κβ΄, καὶ τὸ ἀνάπαλιν, πόσα ἐξάγια χρυσίον ἔχεις ἑνῶσαι τῶν ἀνὰ κουκκιῶν ις΄ – ἢ ὅσων ἂν εἴπῃς – πρὸς τὸ ποιῆσαι τῶν κδ΄ κουκκιῶν τὸ τέλειον μάλαγμαν ἢ τῶν κγ΄ κουκκιῶν γενέσθαι κουκκιῶν κβ΄. ὥσπερ γὰρ ἐπὶ τοῦ ἀσημιοῦ δῆλον ἡμῖν τοῦτο γέγονε, οὕτως καὶ ἐπὶ τοῦ μαλάγματος καὶ ἐπὶ τοῦ χρυσίου δῆλον ἡμῖν τοῦτο γενήσεται. ‖ f. 61/1r

ριε

Περὶ τῶν διαφόρων λιτρῶν τοῦ ἀσημιοῦ τῶν ἐχόντων ἑκάστη μὲν λίτρα ἀνὰ οὐγγιῶν ζ΄, ἑκάστη δὲ λίτρα ἀνὰ οὐγγιῶν η΄, ἑκάστη δὲ λίτρα ἀνὰ οὐγγιῶν ϑ΄, ἑκάστη δὲ λίτρα ἀνὰ οὐγγιῶν ι΄. ἑνωθέντων δὲ τούτων πάντων πῶς ἔστι εἰδέναι, ἑκάστη λίτρα πόσων οὐγγιῶν γίνεται;

Ἔστω ὅτι ἔχεις ἀσήμιν λίτρας μ΄, ἑκάστη λίτρα ἀνὰ οὐγγιῶν ζ΄. ἔχεις δὲ καὶ λίτρας λ΄ ἀνὰ οὐγγιῶν η΄. ἔχεις δὲ καὶ λίτρας ξ΄ ἀνὰ οὐγγιῶν ϑ΄. ἔχεις δὲ καὶ λίτρας ν΄ ἀνὰ οὐγγιῶν ι΄ – ὁμοῦ λίτραι ρπ΄. βούλ(ει) δὲ ἑνῶσαι ταύτας τὰς διαφόρους ἰδέας τῶν τεσσάρων τάξεων καὶ ποιῆσαι ἓν σῶμα λιτρῶν ρπ΄. οὕτω δὲ γενομένου ζητεῖς εἰδέναι, ἑκάστη λίτρα τῶν ρπ΄ πόσων οὐγγιῶν ἐστι.

αι μ	ἀνὰ	ΓΓ(ι)ων ο	ζ	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) ο		σπ
αι λ	ἀνὰ	ΓΓ(ι)ων ο	η	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) ο		σμ
αι ξ	ἀνὰ	ΓΓ(ι)ων ο	ϑ	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) ο		φμ
αι ν	ἀνὰ	ΓΓ(ι)ων ο	ι	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) ο		φ
αι ρπ				καθαραὶ	ΓΓ(ίαι) ο		,αφξ

---

6 με΄ λίτραι] μ αι falso C

ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. ζήτει, πόσας οὐγγίας καθαρὸν ἀσήμιν ἔχοσι αἱ [ἐ] ρπ΄ λίτραι, ἃς βούλ(ει) ἑνῶσαι. μ΄κις οὖν οὐγγίαι ζ΄ γίνονται οὐγγίαι σπ΄ καὶ λ΄κις οὐγγίαι η΄ γίνονται οὐγγίαι σμ΄. ὡσαύτως καὶ ξ΄κις οὐγγίαι ϑ΄ γίνονται οὐγγίαι φμ΄, ν΄κις δὲ οὐγγίαι ι΄ γίνονται οὐγγίαι φ΄. ἕνωσον ταύτας καὶ γίνονται ὁμοῦ οὐγγίαι ,αφξ΄. ἔχοσι δὲ αἱ [ἐ] ρπ΄ λίτραι καθαρὸν ἀσήμιν οὐγγίας ,αφξ΄. μέρισον ταύτας μετὰ τῶν ρπ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς η΄ καὶ $\frac{\beta}{\gamma}$. καὶ ἰδοὺ ἑκάστη λίτρα τῶν ρπ΄ λιτρῶν ἔχει ἀσήμιν καθαρὸν οὐγγίας η΄ καὶ $\frac{\beta}{\gamma}$ μιᾶς οὐγγίας, τουτέστι οὐγγίας η΄ καὶ ἐξάγια δ΄.

α ξ β ψ — α η ψ — η καὶ $\frac{\beta}{\gamma}$; $\frac{\alpha\,\beta\,\psi}{\alpha\,\eta\,\psi}$

ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία τῶν προτέρων· ρπ΄κις οὐγγίαι η΄ καὶ $\frac{\beta}{\gamma}$ γίνονται οὐγγίαι ,αφξ΄.

μὴ μόνον δὲ ἐπὶ ἀσημιοῦ τοῦτο γίνεται οὕτως, ἀλλὰ καὶ ἐπὶ διαφόρων χρυσίων – ἕκαστον ἐξάγιον ἀνὰ κουκκιῶν κγ΄, ἕτερον δὲ ἀνὰ κουκκιῶν κβ΄, ἕτερον δὲ ἀνὰ κουκκιῶν κ΄, ἕτερον δὲ ἀνὰ κουκκιῶν ιη΄, ἕτερον δὲ ἀνὰ κουκκιῶν ις΄ καὶ ἑξῆς ὁμοίως. ἑνωθέντων τούτων πάντων καὶ ἓν σῶμα γενόμενον διὰ τῆς ὁμοίας ταύτης μεταχειρίσεως ἔχεις εἰδέναι καλῶς, πόσων κουκκιῶν γίνεται ἕκαστον ἐξάγιον τοῦ ἑνωθέντος σώματος τῶν διαφόρων ἰδεῶν.

ρις

Περὶ τοῦ πῶς ἔστι εἰδέναι, πόσας λίτρας ἀσήμιν ἐφ᾽ ἑκάστης τάξεως τῶν ἀνὰ η΄ καὶ ϑ΄ καὶ ι΄ καὶ ια΄ οὐγγιῶν ἐφ᾽ ἑκάστης λίτρας ἔχεις ἑνῶσαι πρὸς τὸ ποιῆσαι λίτρας ξ΄ ἀνὰ οὐγγιῶν ι΄ς″

Ἔστω ὅτι ἔχεις ἀσήμιν, ὅπερ ἐστὶ ἐφ᾽ ἑκάστης λίτρας οὐγγιῶν η΄. ἔχεις δὲ καὶ

ος α σύντρ(ο)φος	ος β σύντρ(ο)φος	ος γ σύντρ(ο)φος		ος δ σύντρ(ο)φος
ΓΓ(ι)ῶν o η ΓΓί(α) o ς″	ΓΓ(ι)ῶν o ϑ ΓΓί(α) o ς″	ΓΓ(ι)ῶν o ι ΓΓί(α) o ς″	ΓΓ(ι)ῶν o ις″ αι ξ	ΓΓ(ι)ῶν o ια ΓΓ(ί)αι o δς″

ἕτερον ἐφ᾽ ἑκάστης λίτρας οὐγγιῶν ϑ΄ καὶ ἕτερον ἐφ᾽ ἑκάστης λίτρας οὐγγιῶν ι΄ καὶ ἕτερον ἐφ᾽ ἑκάστης λίτρας οὐγγιῶν ια΄. ἔχεις δὲ χρείαν ποιῆσαι λίτρας ξ΄ ἀνὰ οὐγγιῶν ι΄ς″. ζητεῖς δὲ εἰδέναι, πόσας λίτρας ἀσήμιν ἔχεις ἑνῶσαι ἐφ᾽ ἑκάστης τάξεως τῶν ἀνὰ η΄ καὶ ϑ΄ καὶ ι΄ καὶ ια΄ οὐγγιῶν πρὸς τὸ ποιῆσαι ὁμοῦ λίτρας ξ΄, ἑκάστη(ν) λίτραν ἀνὰ οὐγγιῶν ι΄ς″.

ἔχεις δὲ τοῦτο εἰδέναι οὕτως. ϑὲς ἐν τάξει τὰς διαφόρους οὐγγίας τῶν τεσσάρων ἰδεῶν, τουτέστι οὐγγίας η΄ καὶ ϑ΄ καὶ ι΄ καὶ ια΄. καὶ αἱ μὲν ια΄ οὐγγίαι εἰσὶ κρείττον<ες> τῶν ι΄ς″ οὐγγιῶν, ὧν ζητεῖς ποιῆσαι λίτρας ξ΄, αἱ δὲ λοιπαί, τουτέστι αἱ η΄ καὶ ϑ΄ καὶ ι΄ οὐγγίαι, εἰσὶ χείρονες τῶν ι΄ς″. ζήτει οὖν τὸ κρεῖττον μέρος τῶν ια΄ οὐγγιῶν ἐκ τῶν ι΄ς″ οὐγγιῶν· ἔστι δὲ οὐγγία ς″. κάτωϑεν οὖν κατ᾽ εὐϑεῖαν τῶν τριῶν τάξεων τῶν ἐλαττόνων οὐγγιῶν τῶν η΄ καὶ ϑ΄ καὶ ι΄ ϑὲς τὴν ς″ ταύτη(ν) οὐγγία(ν), ἥτις ἐστὶ τὸ κρεῖττον μέρος τῶν ια΄ οὐγγιῶν ἐκ τῶν ι΄ς″.

ζήτει δὲ καὶ τὸ ἐλλεῖπον μέρος τῶν η΄ οὐγγιῶν πρὸς τὸ γενέσθαι ι΄ς″, ὅπερ ἐστὶ οὐγγίαι β΄ς″. ζήτει καὶ τὸ ἐλλεῖπον μέρος τῶν ϑ΄ οὐγγιῶν πρὸς τὸ γενέσθαι ι΄ς″, ὅπερ ἐστὶ οὐγγία α΄ς″. ζήτει καὶ τὸ ἐλλεῖπον μέρος τῶν ι΄ οὐγγιῶν πρὸς τὸ γενέσθαι ι΄ς″, ὅπερ ἐστὶ οὐγγία ς″. ἕνωσον δὲ τὰ τρία τούτων ἐλλείποντα μέρη, ἅπερ ἐστὶ β΄ς″ καὶ α΄ς″ καὶ ς″, καὶ γίνονται ὁμοῦ οὐγγίαι δ΄ς″. ὥσπερ οὖν τὸ περιττεῦον μέρος

---

30 χείρονες] χειρώναι **C**

τῶν ια΄ οὐγγιῶν ἐκ τῶν ι΄ς″, ὅπερ ἐστὶ οὐγγία ς″, ἔθηκας κάτωθεν τῶν ἔλαττο(ν) ὄντων οὐγγιῶν τῶν ι΄ς″, οὕτως ἐναλλὰξ τὸ ἐναντίον ποίησον καὶ θὲς κάτωθεν κατ᾽ εὐθεῖαν τῶν ια΄ οὐγγιῶν τὰς δ΄ς″ οὐγγίας, ἃς ἀπολείπονται αἱ ἔλαττον οὖσαι πρὸς τὸ γενέσθαι ἀνὰ οὐγγιῶν ι΄ς″.

ταυθ᾽ οὕτως ποιήσας νόμισαι εἶναι συντρ(ό)φους δ΄ τὰς διαφόρους αὐτῶν δ΄ τάξεις, οἵτινες ἔχοσι διαμερίσασθαι ἀσήμιν λίτρας ξ΄. καὶ ὁ μὲν πρῶτος σύντροφος, τουτέστι αἱ η΄ οὐγγίαι – τὸ οἰκεῖον αὐτῶν μέρος, ὅπερ λαβεῖν ἔχοσι ἐκ τῶν ξ΄ λιτρῶν, ἐστὶ οὐγγία ς″. ὡσαύτως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος σύντροφος, αἱ θ΄ καὶ ι΄ οὐγγίαι – τὸ οἰκεῖον αὐτῶν μέρος, ὅπερ λαβεῖν ἐκ τῶν ξ΄ λιτρῶν ἔχοσι, ἐστὶ ἀνὰ οὐγγία ς″. ὁ δὲ τέταρτος σύντροφος, αἱ ια΄ οὐγγίαι – τὸ οἰκεῖον μέρος αὐτῶν ἐστι οὐγγίαι δ΄ς″. ἕνωσον δὲ τὰ οἰκεῖα μέρη αὐτῶν, ἅπερ ἕκαστος οἰκειοῦται ἐκ τῶν ξ΄ λιτρῶν, ὥσπερ εἰώθαμεν ποιεῖν ἐπὶ τῶν δ΄ συντρ(ό)φων τῶν ἐχόντων μερίσασθαι ὑπέρπυρα ,α΄. δ΄ς″ οὖν καὶ ς″ καὶ ς″ καὶ ς″ γίνονται ὁμοῦ ς΄, ἅπερ ς΄ οὐγγίαι ἐστὶ ὁ κοινὸς τούτων μεριστής, δι᾽ ὧν ἔχεις μερίσασθαι τὰς ξ΄ λίτρας, ὡς καὶ ἐπὶ τῶν ὑπερπύρων οὕτως

α σύντρ(ο)φος	β σύντρ(ο)φος	γ σύντρ(ο)φος	δ σύντρ(ο)φος

γίνεται.

πολλ(α)πλασίασον δὲ τὰς ξ΄ λίτρας μετὰ τῆς ς″ οὐγγίας, ἧς ἔχει οἰκεῖον μέρος αἱ η΄ οὐγγίαι· ς″κις οὖν ξ΄ λίτραι γίνονται λ΄ λίτραι. μέρισον τὰς λ΄ λίτρας μετὰ τῶν ς΄ οὐγγιῶν, ὧν εἴπομεν, ὅτι ἐστὶ κοινὸς μεριστής, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ε΄· ε΄κις γὰρ ς΄ λ΄ γίνονται. ὁ πρῶτος οὖν σύντροφος – αἱ η΄ οὐγγίαι δηλονότι οἰκειοῦνται ἐκ τῶν ξ΄ λιτρῶν λίτρας ε΄. ἐπεὶ δὲ καὶ ὁ δεύτερος καὶ ὁ τρίτος σύντροφος – αἱ θ΄ καὶ ι΄ δηλονότι οὐγγίαι – ς″κις πολλ(α)πλασιάζοσι τὰς ξ΄ λίτρας καὶ γίνονται λ΄ λίτραι, μερίζοσι δὲ τὰς λ΄ λίτρας μετὰ τῶν ς΄ οὐγγιῶν, ὧν εἴπομεν, ὅτι ἐστὶ κοινὸς μεριστής, καὶ οὗτοι οἱ δύο σύντρ(ο)φοι – αἱ θ΄ καὶ ι΄ οὐγγίαι – ἀνὰ ε΄ λίτρας οἰκειοῦνται ἐκ τῶν ξ΄ λιτρῶν, ὡς καὶ τὸν πρῶτον σύντροφον – τὰς η΄ δηλονότι οὐγγίας.

πολλ(α)πλασίασον δὲ τὰς ξ΄ λίτρας μετὰ τῶν δ΄ς″, τὸ οἰκεῖον μέρος τοῦ τετάρτου συντρ(ό)φου· δ΄ς″κις οὖν ξ΄ γίνονται σο΄ λίτραι. μέρισον ταύτας μετὰ τῶν ς΄ οὐγγιῶν, τὸν κοινὸν μεριστήν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς με΄. ὁ τέταρτος οὖν σύντροφος – αἱ ια΄ οὐγγίαι || δηλονότι οἰκειοῦνται ἐκ τῶν ξ΄ λιτρῶν λίτρας με΄. f. 61/1v

ἕνωσον τὰ οἰκεῖα μέρη, ἅπερ εὗρες, ὅτι οἰκειοῦνται ἐκ τῶν ξ΄ λιτρῶν, τουτέστι τὰς ε΄ λίτρας τῶν η΄ οὐγγιῶν καὶ τὰς ε΄ λίτρας τῶν θ΄ οὐγγιῶν καὶ τὰς ε΄ λίτρας τῶν ι΄ οὐγγιῶν καὶ τὰς με΄ λίτρας τῶν ια΄ οὐγγιῶν, καὶ γίνονται ὁμοῦ λίτραι ξ΄. καὶ ἰδοὺ εὗρες, πόσας λίτρας ἔχεις ἑνῶσαι ἐφ᾽ ἑκάστης τάξεως τῶν διαφόρων λιτρῶν τῶν ἀνὰ η΄ καὶ θ΄ καὶ ι΄ καὶ ια΄ οὐγγιῶν ὄντων πρὸς τὸ ποιῆσαι λίτρας ξ΄ ἀνὰ οὐγγιῶν ι΄ς″.

ἡ δὲ ἀπόδειξίς ἐστι ὁμοία. αἱ ε΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν η΄ – ε΄κις οὐγγίαι η΄ γίνον-

---

23 λίτρας] ων C 24 τὸν ... σύντροφον – τὰς η΄ ... οὐγγίας] sic C

ται οὐγγίαι μ΄ καθαρὸν ἀσήμιν. αἱ ε΄ δὲ λίτραι αἱ ἀνὰ οὐγγιῶν θ΄ – ε΄κις οὐγγίαι θ΄ γίνονται οὐγγίαι με΄ καθαρὸν ἀσήμιν. αἱ ε΄ δὲ λίτραι αἱ ἀνὰ οὐγγιῶν ι΄ – ε΄κις οὐγγίαι ι΄ γίνονται οὐγγίαι ν΄ καθαρὸν ἀσήμιν. αἱ με΄ δὲ λίτραι αἱ ἀνὰ οὐγγιῶν ια΄ – με΄κις οὐγγίαι ια΄ γίνονται οὐγγίαι υϚε΄ καθαρὸν ἀσήμιν. ἔνωσον ταύτας καὶ γίνονται ὁμοῦ καθαρὸν ἀσήμιν οὐγγίαι χλ΄, ὅπερ ἔχοσι αἱ διάφοραι ξ΄ λίτραι. μέρισον τὰς χλ΄ οὐγγίας μετὰ τῶν ξ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ι΄ς″, καθὼς ἐζήτ(η)σας ποιῆσαι ἐκ τῶν δ΄ διαφόρων ἰδεῶν λίτρας ξ΄ ἀνὰ οὐγγιῶν ι΄ς″.

ΓΓ(ίαι) o	η	ℏι	ε	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) o	δ	υ		
ΓΓ(ίαι) o	θ	ℏι	ε	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) o	δ	ε		
ΓΓ(ίαι) o	ι	ℏι	ε	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) o	ε	υ		
ΓΓ(ίαι) o	ια	ℏι	δ	ε	καθ(α)ρ(αὶ)	ΓΓ(ίαι) o	δ	θ	ε
	ὁμοῦ	ℏι	ς	υ	ὁμοῦ	ΓΓ(ίαι) o	ς	γ	υ

ΓΓ(ίαι) o α υ α/β

Ἕτερον τούτου ὁμοιον. Ἔστω ὅτι ἔχεις ἀσήμιν, ὅπερ ἔχει ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας ε΄, ἕτερον δὲ ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας ς΄, ἕτερον δὲ ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας ζ΄, ἕτερον δὲ ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας η΄, ἕτερον δὲ ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας ι΄, ἕτερον δὲ ἐφ᾽ ἑκάστης λίτρας οὐγγίας ια΄. ζητεῖς δὲ εἰδέναι, πόσας λίτρας ἔχεις ἑνῶσαι ἐφ᾽ ἑκάστης τάξεως τῶν ε΄ καὶ ς΄ καὶ ζ΄ καὶ η΄ καὶ ι΄ καὶ ια΄ οὐγγιῶν πρὸς τὸ ποιῆσαι ὁμοῦ λίτρας ρ΄ ἀνὰ οὐγγιῶν θ΄.

ος α σύντρ(ο)φος	ος β σύντρ(ο)φος	ος γ σύντρ(ο)φος	ος δ σύντρ(ο)φος	
ΓΓ(ιῶν) o ε ΓΓ(ίαι) o γ	ΓΓ(ιῶν) o ς ΓΓ(ίαι) o γ	ΓΓ(ιῶν) o ζ ΓΓ(ίαι) o γ	ΓΓ(ιῶν) o η ΓΓ(ίαι) o γ	ΓΓ(ιῶν) o θ ℏι ρ
			ος ε σύντρ(ο)φος	ος ς σύντρ(ο)φος
			ΓΓ(ιῶν) o ι ΓΓ(ίαι) o ι	ΓΓ(ιῶν) o ια ΓΓ(ίαι) o ι

καὶ αἱ μὲν ι΄ οὐγγίαι εἰσὶ κρεῖττον τῶν θ΄ οὐγγιῶν οὐγγία(ν) α΄, αἱ δὲ ια΄ οὐγγίαι εἰσὶ κρεῖττον τῶν θ΄ οὐγγιῶν οὐγγίας β΄. ἕνωσον τὴν α΄ οὐγγίαν καὶ β΄ καὶ γίνονται ὁμοῦ οὐγγίαι γ΄. ἔχοσι δὲ διαφορὰν αἱ ι΄ οὐγγίαι καὶ ια΄ ἐκ τῶν θ΄ οὐγγιῶν, ὧν ζητεῖς ποιῆσαι τὰς ρ΄ λίτρας ἀνὰ οὐγγιῶν θ΄, οὐγγίας γ΄. θὲς τὰς γ΄ ταύτας οὐγγίας κάτωθεν τῶν ἐλαττόνων οὐγγιῶν, τουτέστι τῶν ε΄ καὶ ς΄ καὶ ζ΄ καὶ η΄.

αἱ ε΄ δὲ οὐγγίαι ἐστὶ ἔλαττο τῶν θ΄ οὐγγιῶν οὐγγίας δ΄. αἱ δὲ ς΄ οὐγγίαι ἐστὶ ἔλαττο τῶν θ΄ οὐγγίας γ΄. αἱ δὲ ζ΄ οὐγγίαι ἐστὶ ἔλαττο τῶν θ΄ οὐγγίας β΄. {αἱ δὲ ζ΄ οὐγγίαι ἐστὶ ἔλαττο τῶν θ΄ οὐγγίας β΄.} αἱ δὲ η΄ οὐγγίαι ἐστὶ ἔλαττο τῶν θ΄ οὐγγία(ν) α΄. ἕνωσον τὰς δ΄ καὶ γ΄ καὶ β΄ καὶ α΄ οὐγγίας καὶ γίνονται ὁμοῦ οὐγγίαι ι΄. ἐστὶ δὲ τῶν ἐλαττόνων οὐγγιῶν τῶν ε΄ καὶ ς΄ καὶ ζ΄ καὶ η΄ ἡ πρὸς τὸ χεῖρον διαφορά, ἣν ἔχοσι ἐκ τῶν θ΄ οὐγγιῶν, οὐγγίαι ι΄. ὥσπερ οὖν ἔθηκας τῶν δύο κρειττόνων τῶν ι΄ καὶ ια΄ οὐγγιῶν τὴν διαφοράν, τουτέστι τὰς γ΄ οὐγγίας, κάτωθεν τῶν ἐλαττόνων, οὕτως νῦν τὸ ἐναλλὰξ ποίησον. καὶ θὲς κάτωθεν τῶν ι΄ καὶ τῶν ια΄ οὐγγιῶν τὰς ι΄ οὐγγίας, ἅς εἰσι χεῖρον αἱ ἔλαττον οὖσαι τῶν θ΄ οὐγγιῶν.

ἕνωσον δὲ τὰ οἰκεῖα μέρη, ἅπερ ἕκαστος οἰκειοῦται ἀναλόγως ἐκ τῶν ρ΄ λιτρῶν. γ΄ οὖν καὶ γ΄ καὶ γ΄ καὶ γ΄ καὶ ι΄ καὶ ι΄ γίνονται ὁμοῦ λβ΄· ἔστι δὲ ταῦτα κοινὸς

---

19 οὐγγίας ια΄] ΓΓ(ι)ῶν o ια΄ **C** 22.23 κρεῖττον **vel** κρείττων] **sic C pro** κρείττονες **item** 27.28.29 ἔλαττο **vel** ἐλάττω] **sic C pro** ἐλάττονες – **cf. etiam** 35 χεῖρον, ἔλαττον

μεριστὴς τῶν ἓξ συντρόφων, δι' ὧν μερίζονται αἱ ρ΄ λίτραι ἀναλόγως.

πολλ(α)πλασίασον δὲ τὰς ρ΄ λίτρας μετὰ τοῦ οἰκείου μέρους τοῦ πρώτου συντρ(ό)φου τῶν ε΄ οὐγγιῶν, ὅπερ εἴπομεν, ὅτι ἐστὶ οὐγγίαι γ΄. τρὶς οὖν ρ΄ γίνονται τ΄. μέρισον

α σύντρ(ο)φος	β σύντρ(ο)φος	γ σύντρ(ο)φος	δ σύντρ(ο)φος	ε σύντρ(ο)φος
α β α β γ γ ι ϑ καὶ γ η	ι ϑ καὶ γ η	ι ϑ καὶ γ η	ι ϑ καὶ γ η	α η δ η γ β β γ ι γ α καὶ α δ

ζ σύντρ(ο)φος
ι γ α καὶ α δ

ταῦτα μετὰ τῶν λβ΄, τὸν κοινὸν μεριστήν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς ϑ΄ καὶ $\frac{\chi}{\eta}$· ὁ πρῶτος οὖν σύντροφος – αἱ ε΄ οὐγγίαι δηλονότι οἰκειοῦνται ἐκ τῶν ρ΄ λιτρῶν λίτρας ϑ΄ καὶ $\frac{\chi}{\eta}$ μιᾶς λίτρας. ἐπεὶ δὲ καὶ ὁ δεύτερος καὶ ὁ τρίτος καὶ ὁ τέταρτος σύντροφος – αἱ ς΄ καὶ ζ΄ καὶ η΄ οὐγγίαι δηλονότι – τρὶς πολλ(α)πλασιάζοσι τὰς ρ΄ λίτρας καὶ γίνονται τ΄, μερίζονται δὲ τὰ τ΄ μετὰ τῶν λβ΄, τὸν κοινὸν μεριστήν, καὶ οὗτοι οἱ τρεῖς σύντρ(ο)φοι – αἱ ς΄ καὶ ζ΄ καὶ η΄ δηλονότι οὐγγίαι – ἀνὰ ϑ΄ λίτρας καὶ $\frac{\chi}{\eta}$ μιᾶς λίτρας οἰκειοῦται ἕκαστος αὐτῶν ἐκ τῶν ρ΄ λιτρῶν, ὡς καὶ τὸν πρῶτον σύντρ(ο)φον – τὰς ε΄ δηλονότι οὐγγίας.

πολλ(α)πλασίασον δὲ τὰς ρ΄ λίτρας μετὰ τῶν ι΄ οὐγγιῶν, τὸ οἰκεῖον μέρος δηλονότι τοῦ πέμπτου συντρόφου· ι΄κις οὖν ρ΄ γίνονται ,α΄. μέρισον ταῦτα μετὰ τῶν λβ΄, ὧν ἔχεις κοινὸν μεριστήν, καὶ γίνεται ὁ τούτων διαμερισμὸς λα΄ καὶ $\frac{\alpha}{\delta}$· ὁ πέμπτος οὖν σύντρ(ο)φος – αἱ ι΄ δηλονότι οὐγγίαι οἰκειοῦνται ἐκ τῶν ρ΄ λιτρῶν λίτρας λα΄ καὶ $\frac{\alpha}{\delta}$ μιᾶς λίτρας. ὡσαύτως καὶ ὁ ἕκτος σύντρ(ο)φος – αἱ ια΄ δηλονότι οὐγγίαι κατὰ τὸν ὅμοιον τρόπον οἰκειοῦνται ἐκ τῶν ρ΄ λιτρῶν λίτρας λα΄ καὶ $\frac{\alpha}{\delta}$ μιᾶς λίτρας, ὡς καὶ τὸν πέμπτον σύντρ(ο)φον.

ἕνωσον τὰ οἰκεῖα μέρη, ἅπερ εὗρες, ὅτι οἰκειοῦνται ἐκ τῶν ρ΄ λιτρῶν. καὶ τῶν μὲν δ΄ συντρ(ό)φων τῶν ἐχόντων ἕκαστος καὶ $\frac{\chi}{\eta}$· δ΄κις $\frac{\chi}{\eta}$ γίνονται $\frac{\iota\beta}{\eta}$, ἅπερ ἐστὶ ἀκέραιον α΄ζ″. τῶν δὲ δύο συντρ(ό)φων· δὶς $\frac{\alpha}{\delta}$ γίνονται $\frac{\beta}{\delta}$, τουτέστι ζ″. α΄ζ″ οὖν καὶ ζ″ γίνονται β΄ ἀκέραια. ϑὲς οὖν ταύτας τὰς β΄ λίτρας ἐπὶ τῶν ἑτέρων λιτρῶν καὶ γίνονται ὁμοῦ λίτραι ρ΄. καὶ ἰδοὺ εὗρες, πόσας λίτρας ἔχεις ἑνῶσαι ἐφ' ἑκάστης τάξεως τῶν διαφόρων λιτρῶν τῶν ἀνὰ οὐγγιῶν ε΄ καὶ ς΄ καὶ ζ΄ καὶ η΄ καὶ ι΄ καὶ ια΄ οὐγγιῶν ὄντων πρὸς τὸ ποιῆσαι λίτρας ρ΄ ἀνὰ οὐγγιῶν ϑ΄.

ΓΓ(ί)αι ο	ε	οἰκειοῦνται	ι ϑ καὶ γ η						ΓΓ(ί)αι ο	μς	καὶ	ζ η			
ΓΓ(ί)αι ο	ς	οἰκειοῦνται	ι ϑ καὶ γ η						ΓΓ(ί)αι ο	νς	καὶ	β η			
ΓΓ(ί)αι ο	ζ	οἰκειοῦνται	ι ϑ καὶ γ η						ΓΓ(ί)αι ο	ξε	καὶ	ε η			
ΓΓ(ί)αι ο	η	οἰκειοῦνται	ι ϑ καὶ γ η						ΓΓ(ί)αι ο	οε					
ΓΓ(ί)αι ο	ι	οἰκειοῦνται	ι	λ	α	καὶ	α δ	η	ΓΓ(ί)αι ο	τιβ	καὶ	δ η			
ΓΓ(ί)αι ο	ια	οἰκειοῦνται	ι	λ	α β	καὶ	α δ	η	ΓΓ(ί)αι ο	τμγ	καὶ	α δ η			
			ὁμοῦ	ι	ρ		ὁμοῦ		ΓΓ(ί)αι ο	≫					

---

11 λίτρας] ι ω ν **C** 12/13 τὸν ... σύντρ(ο)φον – τὰς ε΄ ... οὐγγίας] **sic C – cf. etiam**

20 15.16.20 πέμπτου / πέμπτος / πέμπτον] ε ο υ / ε ο ς / ε ο ν **C** 18 ἕκτος] ς ο ς

ἔστι οὖν αὕτη πρώτη ἀπόδειξις.

δευτέρα δὲ ἀπόδειξίς ἐστι ὁμοία τῆς προτέρας.

αἱ ϑ΄ λίτραι καὶ $\frac{\kappa}{\eta}$ αἱ ἀνὰ οὐγγιῶν ε΄· ε΄κις ϑ΄ καὶ $\frac{\kappa}{\eta}$ γίνονται οὐγγίαι μς΄ καὶ $\frac{\zeta}{\eta}$ μιᾶς οὐγγίας. αἱ δὲ ϑ΄ λίτραι καὶ $\frac{\kappa}{\eta}$ αἱ ἀνὰ οὐγγιῶν ς΄· ς΄κις ϑ΄ καὶ $\frac{\kappa}{\eta}$ γίνονται οὐγγίαι νς΄ καὶ $\frac{\beta}{\eta}$ μιᾶς οὐγγίας. αἱ δὲ ϑ΄ λίτραι καὶ $\frac{\kappa}{\eta}$ αἱ ἀνὰ ‖ ζ΄ οὐγγιῶν· ζ΄κις ϑ΄ καὶ $\frac{\kappa}{\eta}$ γίνονται οὐγγίαι ξε΄ καὶ $\frac{\varepsilon}{\eta}$ μιᾶς οὐγγίας. αἱ δὲ ϑ΄ λίτραι καὶ $\frac{\kappa}{\eta}$ αἱ ἀνὰ οὐγγιῶν η΄· η΄κις ϑ΄ καὶ $\frac{\kappa}{\eta}$ γίνονται οὐγγίαι οε΄. αἱ δὲ λα΄ λίτραι καὶ $\frac{\alpha}{\delta}$ αἱ ἀνὰ οὐγγιῶν ι΄· ι΄κις λα΄ καὶ $\frac{\alpha}{\delta}$ γίνονται οὐγγίαι τιβ΄ καὶ $\frac{\delta}{\eta}$ μιᾶς οὐγγίας. αἱ δὲ λα΄ λίτραι καὶ $\frac{\alpha}{\delta}$ αἱ ἀνὰ οὐγγιῶν ια΄· ια΄κις λα΄ καὶ $\frac{\alpha}{\delta}$ γίνονται οὐγγίαι τμγ΄ καὶ $\frac{\varepsilon}{\eta}$ μιᾶς οὐγγίας. f. 62^{r}

ἕνωσον τὰ τζακίσματα, τὰ ζ΄ καὶ β΄ καὶ ε΄ καὶ δ΄ καὶ ς΄, καὶ γίνονται ὁμοῦ κδ΄ ὄγδοα, ἅπερ ἐστὶ ἀκέραια γ΄. ϑὲς ταῦτα εἰς τὰς οὐγγίας καὶ ἕνωσον ταύτας καὶ γίνονται ὁμοῦ οὐγγίαι ≫΄. μέρισον ταύτας μετὰ τῶν ρ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ϑ΄, καθὼς ἐζήτησας γενέσθαι ἑκάστη λίτρα τῶν ρ΄ ἀνὰ οὐγγιῶν ϑ΄.

δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἐκεῖνο, ὅπερ εἴπομεν – ε΄κις ϑ΄ καὶ $\frac{\kappa}{\eta}$ γίνονται μς΄ καὶ $\frac{\zeta}{\eta}$ μιᾶς οὐγγίας –· δοκεῖ τοῖς μὴ εἰδόσι καλῶς τὸ γενόμενον, ὅτι οὐ καλῶς ἐγένοντο αἱ μς΄ οὐγγίαι καὶ $\frac{\zeta}{\eta}$. καὶ γὰρ αἱ ϑ΄ λίτραι καὶ $\frac{\kappa}{\eta}$ – ἑκάστη λίτρα τῶν ϑ΄ ἐστὶ οὐγγιῶν ε΄, ε΄κις δὲ ϑ΄ γίνονται οὐγγίαι με΄. τὰ δὲ $\frac{\kappa}{\eta}$ ἐστὶ $\frac{\kappa}{\eta}$ τῶν ε΄ οὐγγιῶν, ὧν ἔχει ἑκάστη λίτρα. δοκεῖ δέ, ὅτι $\frac{\kappa}{\eta}$ χρὴ λαβεῖν τῶν ε΄ οὐγγιῶν, ὧν ἔχει ἑκάστη λίτρα, οὐ μὴν δὲ πολλ(α)πλασιάσαι τὰ $\frac{\kappa}{\eta}$ τῆς μιᾶς λίτρας μετὰ τῶν ε΄ οὐγγιῶν, ὧν ἔχει ἑκάστη λίτρα. ταὐτὸν δέ ἐστι πολλ(α)πλασιάσαι τὰ $\frac{\kappa}{\eta}$ μετὰ τῶν ε΄ οὐγγιῶν καὶ λαβεῖν $\frac{\kappa}{\eta}$ τῶν ε΄ οὐγγιῶν. ε΄κις γὰρ $\frac{\kappa}{\eta}$ γίνονται $\frac{\iota\varepsilon}{\eta}$, ἅπερ ἐστὶ ἀκέραιον α΄ καὶ $\frac{\zeta}{\eta}$. λάβε δὲ $\frac{\kappa}{\eta}$ τῶν ε΄ οὐγγιῶν, ἅπερ ἐστὶ πάλιν α΄ καὶ $\frac{\zeta}{\eta}$, καὶ ἰδού – ταὐτόν ἐστι πολλ(α)πλασιάσαι τὰ $\frac{\kappa}{\eta}$ μετὰ τῶν ε΄ οὐγγιῶν τῆς μιᾶς λίτρας καὶ λαβεῖν $\frac{\kappa}{\eta}$ τῶν ε΄ οὐγγιῶν τῆς μιᾶς λίτρας· ἀμφότεραι γὰρ αἱ δύο μεταχειρίσεις ἀποδίδοσι ἡμῖν ἐκ τῶν ε΄ οὐγγιῶν τῆς μιᾶς λίτρας οὐγγία α΄ καὶ $\frac{\zeta}{\eta}$ μιᾶς οὐγγίας, ἣν καὶ ἑνώσας μετὰ τῶν με΄ οὐγγιῶν ἐγένοντο οὐγγίαι μς΄ καὶ $\frac{\zeta}{\eta}$ μιᾶς οὐγγίας.

τούτῳ δὲ τῷ τρόπῳ καὶ ἐπὶ τῶν ἑτέρων τριῶν συντρ(ό)φων τῶν ἐχόντων λίτρας ϑ΄ καὶ $\frac{\kappa}{\eta}$ ἐποίησας καὶ ἀντὶ τοῦ λαβεῖν $\frac{\kappa}{\eta}$ τῶν ς΄ οὐγγιῶν ἢ $\frac{\kappa}{\eta}$ τῶν ζ΄ οὐγγιῶν ἐπολλ(α)πλασίασας τὰς ς΄ οὐγγίας, ὡσαύτως καὶ τὰς ζ΄ οὐγγίας, μετὰ τῶν $\frac{\kappa}{\eta}$. καὶ ἔλαβες προχειρεστέρως διὰ τοῦ πολλ(α)πλασιασμοῦ τὰ $\frac{\kappa}{\eta}$ τῶν ς΄ οὐγγιῶν τῆς μιᾶς λίτρας, ὡσαύτως καὶ τὰ $\frac{\kappa}{\eta}$ τῶν ζ΄ οὐγγιῶν τῆς μιᾶς λίτρας, ἢ λαβεῖν $\frac{\kappa}{\eta}$ τῶν ς΄ οὐγγιῶν ἢ $\frac{\kappa}{\eta}$ τῶν ζ΄ οὐγγιῶν· ταὐτὸν γάρ ἐστι.

Καὶ ἄλλως. Λάβε ἐκ τῶν ἓξ διαφόρων ἰδεῶν, ὧν εἴπομεν, ὅτι γίνονται ὁμοῦ λίτραι ρ΄, λίτρας ι΄, τουτέστι τὸ δέκατον μέρος τῶν ρ΄ λιτρῶν. ζήτει οὖν, πόσον ἀσήμιν καθαρὸν ὀφείλοσιν ἔχειν αἱ ι΄ λίτραι, ἃς λέγομεν λαβεῖν ἐκ τῶν ἓξ διαφόρων ἰδεῶν, πρὸς τὸ γενέσθαι ἑκάστη λίτρα ἀνὰ οὐγγιῶν ϑ΄, καθὼς ζητεῖς καὶ τὰς ρ΄ λίτρας γενέσθαι ἀνὰ οὐγγιῶν ϑ΄. ι΄κις οὖν οὐγγίαι ϑ΄ γίνονται οὐγγίαι ς΄· αἱ ι΄ οὖν λίτραι ὀφείλοσιν ἔχειν ἀσήμιν καθαρὸν οὐγγίας ς΄ πρὸς τὸ γενέσθαι ἑκάστη λίτρα

---

in dextro marg. fol. 62^{r} ad 34/35: + κρεῖττόν ἐστι λαμβάνειν πάντοτε λίτρας ι΄ ἢ λαμβάνειν τὸ δέκατον μέρος τῶν ν΄ λιτρῶν ἢ τῶν μ΄ λιτρῶν, ὧν ζητεῖς ποιῆσαι· διὰ γὰρ τῶν ι΄ λιτρῶν ἔχεις λαβεῖν παρὰ πάντων τῶν ἰδεῶν τῶν διαφόρων λιτρῶν, ὧν ἔχεις. – Καὶ εἰ μὲν ζητεῖς ποιῆσαι λίτρας μ΄, τετραπλασίασον τὰς ι΄ λίτρας καὶ γίνονται μ΄. εἰ δὲ ζητεῖς ποιῆσαι λίτρας ν΄, πενταπλασίασον τὰς ι΄ λίτρας καὶ γίνονται λίτραι ν΄ – καὶ ἑξῆς ὁμοίως.

τῶν ι΄ ἀνὰ οὐγγιῶν θ΄.

λάβε οὖν ἐκ τῶν μειζόνων καὶ ἐλαττόνων λιτρῶν τῶν ὑπὲρ τῶν θ΄ καὶ ὑπὸ τῶν θ΄ οὐγγιῶν ὄντων, τουτέστι ἔλαττο μὲν τῶν θ΄ τὴν τῶν ε΄ οὐγγιῶν λίτραν, μεῖζον δὲ τῶν θ΄ τὴν τῶν ια΄ οὐγγιῶν λίτραν, καὶ ἕνωσον ταύτας καὶ γίνονται ὁμοῦ λίτραι β΄, ἅπερ ἔχοσι οὐγγίας ις΄. ὡσαύτως λάβε καὶ τὰς τῶν ς΄ καὶ ι΄ οὐγγιῶν β΄ λίτρας καὶ ἕνωσον καὶ ταύτας τὰς β΄ λίτρας μετὰ τῶν προτέρων β΄ λιτρῶν καὶ γίνονται ὁμοῦ λίτραι δ΄, ἅπερ ἔχοσι οὐγγίας λβ΄. ὡσαύτως λάβε καὶ τὰς τῶν ζ΄ καὶ η΄ οὐγγιῶν β΄ λίτρας, ἅπερ ἔχοσι οὐγγίας ιε΄, καὶ ἕνωσον καὶ ταύτας μετὰ τῶν δ΄ λιτρῶν καὶ γίνονται ὁμοῦ λίτραι ς΄, ἅπερ ἔχοσι οὐγγίας μζ΄.

λείπονται μέχρι τῶν ι΄ λιτρῶν λίτραι δ΄ καὶ μέχρι τῶν ς΄ οὐγγιῶν οὐγγίαι μγ΄. λάβε ἀπὸ τῶν ια΄ οὐγγιῶν <λίτρας> γ΄· ἔχοσι δὲ αὗται οὐγγίας λγ΄. λάβε καὶ ἀπὸ τῶν ι΄ οὐγγιῶν λίτραν α΄ καὶ ἕνωσον ταύτην μετὰ τῶν γ΄ λιτρῶν καὶ γίνονται ὁμοῦ λίτραι δ΄, ἅπερ ἔχοσι οὐγγίας μγ΄. ἕνωσον τὰς δ΄ ταύτας λίτρας, ἃς ἔχοσι οὐγγίας μγ΄, μετὰ τῶν ς΄ λιτρῶν τῶν ἐχόντων οὐγγίας μζ΄, καὶ γίνονται ὁμοῦ λίτραι ι΄, ἅπερ ἔχοσι καθαρὸν ἀσήμιν οὐγγίας ς΄.

ζήτει οὖν, πόσας λίτρας ἔλαβες ἐφ᾽ ἑκάστης τάξεως τῶν ἓξ διαφόρων ἰδεῶν. ἔλαβες οὖν λίτρας δ΄ ἀνὰ οὐγγιῶν ια΄ καὶ λίτρας β΄ ἀνὰ οὐγγιῶν ι΄ καὶ λίτρα(ν) α΄ οὐγγιῶν η΄ καὶ λίτραν α΄ οὐγγιῶν ζ΄ καὶ λίτραν α΄ οὐγγιῶν ς΄ καὶ λίτραν α΄ οὐγγιῶν ε΄ – ὁμοῦ λίτραι ι΄ οὐγγιῶν ς΄.

ϡι	δ	ἀνὰ	ΓΓ(ι)ῶν ο	ια		ϡι	μ	ἀνὰ	ΓΓ(ι)ῶν ο	ια
ϡι	β	ἀνὰ	ΓΓ(ι)ῶν ο	ι		ϡι	κ	ἀνὰ	ΓΓ(ι)ῶν ο	ι
ϡι	α	ἀνὰ	ΓΓ(ι)ῶν ο	η		ϡι	ι	ἀνὰ	ΓΓ(ι)ῶν ο	η
ϡι	α	ἀνὰ	ΓΓ(ι)ῶν ο	ζ		ϡι	ι	ἀνὰ	ΓΓ(ι)ῶν ο	ζ
ϡι	α	ἀνὰ	ΓΓ(ι)ῶν ο	ς		ϡι	ι	ἀνὰ	ΓΓ(ι)ῶν ο	ς
ϡι	α	ἀνὰ	ΓΓ(ι)ῶν ο	ε		ϡι	ι	ἀνὰ	ΓΓ(ι)ῶν ο	ε

ὁμοῦ ϡι ι ΓΓ(ι)ῶν ο ς · ὁμοῦ ϡι ρ ΓΓ(ι)ῶν ο ⩻

ἐπεὶ δὲ αἱ ι΄ λίτραι ἐστὶ δέκατον μέρος τῶν ρ΄ λιτρῶν, ὧν ζητεῖς ποιῆσαι, δεκαπλασίασον τὰς δ΄ λίτρας τῶν ἀνὰ οὐγγιῶν ια΄· ι΄κις οὖν δ΄ γίνονται λίτραι μ΄ ἀνὰ οὐγγιῶν ια΄. δεκαπλασίασον καὶ τὰς β΄ λίτρας τῶν ἀνὰ οὐγγιῶν ι΄· ι΄κις οὖν β΄ γίνονται λίτραι κ΄ ἀνὰ οὐγγιῶν ι΄. δεκαπλασίασον καὶ τὰς λοιπὰς δ΄ τῶν η΄ καὶ ζ΄ καὶ ς΄ καὶ ε΄ οὐγγιῶν καὶ γίνονται ἐφ᾽ ἑκάστης ἰδέας λίτραι ι΄. ἕνωσον δὲ τὰς δεκαπλασιασθείσας λίτρας, ἃς ἑκάστη ἰδέα ἐπολλ(α)πλασίασεν, καὶ γίνονται ὁμοῦ λίτραι ρ΄. καὶ ἰδοὺ καὶ διὰ τῆς παρούσης δευτέρας μεταχειρίσεως εὗρες, πόσας λίτρας ἔχεις λαβεῖν ἐφ᾽ ἑκάστης τάξεως τῶν ε΄ καὶ ς΄ καὶ ζ΄ καὶ η΄ καὶ ι΄ καὶ ια΄ οὐγγιῶν πρὸς τὸ ποιῆσαι λίτρας ρ΄ ἀνὰ οὐγγιῶν θ΄.

ἵνα δὲ ἴδῃς, ὅτι, εἰ καὶ ἐναλλάσσοσι αἱ ληφθεῖσαι λίτραι τῆς πρώτης καὶ τῆς παρούσης μεταχειρίσεως, ἀλλ᾽ οὖν καὶ αἱ δύο μεταχειρίσεις ἀληθεύουσι· αἱ μ΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ια΄ – μ΄κις οὐγγίαι ια΄ γίνονται οὐγγίαι υμ΄. αἱ δὲ κ΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ι΄ – κ΄κις οὐγγίαι ι΄ γίνονται οὐγγίαι σ΄. αἱ δὲ ι΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι η΄ – ι΄κις οὐγγίαι η΄ γίνονται οὐγγίαι π΄. αἱ δὲ ι΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ζ΄ – ι΄κις οὐγγίαι ζ΄ γίνονται οὐγγίαι ο΄. αἱ δὲ ι΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ς΄ – ι΄κις

μ	κις	ια	ΓΓ(ι)αι ο	υμ	
κ	κις	ι	ΓΓ(ι)αι ο	σ	
ι	κις	η	ΓΓ(ι)αι ο	π	
ι	κις	ζ	ΓΓ(ι)αι ο	ο	
ι	κις	ς	ΓΓ(ι)αι ο	ξ	
ι	κις	ε	ΓΓ(ι)αι ο	ν	

ὁμοῦ ΓΓ(ι)αι ο ⩻

5.7 τὰς] την **C** 8.9.13.15 ἅπερ **sic C** 26.27.29 δεκαπλασίασον] **notatum** ι α α α πλσίσων **C, sed** 30 δεκαπλασιασθείσας **sic C**

οὐγγίαι ς΄ γίνονται οὐγγίαι ξ΄. αἱ δὲ ι΄ λίτραι αἱ ἀνὰ οὐγγιῶν οὖσαι ε΄ – ι΄κις οὐγγίαι ε΄ γίνονται οὐγγίαι ν΄.

ἕνωσον ταύτας καὶ γίνονται ὁμοῦ οὐγγίαι ≫΄, ὡς καὶ ἐπὶ τῆς πρώτης μεταχειρίσεως οὕτως εὕραμεν. μέρισον τὰς ≫΄ οὐγγίας μετὰ τῶν ρ΄ λιτρῶν καὶ γίνεται ὁ τούτων διαμερισμὸς ϑ΄· ἔστι δὲ ἑκάστη λίτρα τῶν ρ΄ ἀνὰ οὐγγιῶν ϑ΄, ὡς ἐζήτ(η)σας ἑνῶσαι ἐκ τῶν ἓξ διαφόρων ἰδεῶν τῶν ε΄ καὶ ς΄ καὶ ζ΄ καὶ η΄ καὶ ι΄ καὶ ια΄ οὐγγιῶν καὶ ποιῆσαι λίτρας ρ΄ ἀνὰ οὐγγιῶν ϑ΄.

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἡ μὲν πρώτη μεταχείρισις λαμβάνει ἀπὸ πάντων τῶν διαφόρων ἰδεῶν, ὧν ἂν ἑνῶσαι ἔχῃς λιτρῶν, ἡ δὲ παροῦσα δευτέρα μεταχείρισις οὐ λαμβάνει ἀπὸ πάντων διαφόρων ἰδεῶν λιτρῶν, ὧν ἂν ἔχῃς ἑνῶσαι, ἀλλ᾽ ἔστι ὅτε ἐνίων μὲν ἰδεῶν λαμβάνει, ἐνίων δὲ οὐ δύναται λαβεῖν. μάλιστα δέ, ‖ ὅταν ἔχῃς ἑνῶσαι πλείστας διαφόρους ἰδέας λιτρῶν πρὸς τὸ ποιῆσαι ὁμοῦ λίτρας ἐλάττους τῶν ρ΄, τουτέστι λίτρας ξ΄ ἢ ν΄ ἢ μ΄ καὶ ἑξῆς ὁμοίως, πλὴν τὸ ζητούμενον γίνεται. γίνονται γὰρ λίτραι ξ΄ – ἢ ὅσα ἂν βούλ(ῃ) ποιῆσαι – τοσούτων οὐγγιῶν ἑκάστη λίτρα, ὅσων βούλ(ει) γενέσθαι, οὐ παρὰ πάντων τῶν διαφόρων ἰδεῶν λαμβανόμεναι, ἀλλ᾽ ἐξ ὧν ἔχει δηλῶσαι ἡ δηλωθεῖσα δευτέρα νῦν μεταχείρισις, ἣν ἐπὶ τοῦ παρόντος ζητήματος ἐξεθέμεθα, καθὼς ἔχεις εἰδέναι διὰ τῆς πείρας σαφέστερον. f. 62v

λάμβανε δὲ ἐπὶ τῆς παρούσης δευτέρας μεταχειρίσεως τὸ δέκατον μέρος τῶν ζητουμένων λιτρῶν, καθὼς καὶ ἐπὶ τοῦ παρόντος ζητήματος ἔλαβες ι΄ λίτρας ἐκ τῶν ρ΄ λιτρῶν, τουτέστι ἐκ τῶν ξ΄ λιτρῶν λάμβανε λίτρας ς΄ καὶ ἐκ τῶν ν΄ λιτρῶν λίτρας ε΄ καὶ ἑξῆς ὁμοίως. αἱ δὲ λίτραι, ἃς λαμβάνεις, ἔστωσαν ἐκ τῶν κρειττόνων καὶ ἐλαττόνων οὐγγιῶν, ἵνα ἑνωθεῖσαι αἱ κρείττονες λίτραι μετὰ τῶν ἐλαττόνων γένηται ἓν σῶμα μέσον τοῦ κρείττονος καὶ ἐλάττονος, ὅμοιον τῆς λίτρας, ἧς ζητεῖς ἑνῶσαι διαφόρους ἰδέας λιτρῶν πρὸς τὸ ποιῆσαι λίτρας ξ΄ – ἢ ὅσα ἂν εἴπῃς –, ἑκάστην λίτραν οὐγγιῶν, ὅσων ἂν βούλ(ῃ) γενέσθαι. ὅσων δὲ οὐγγιῶν βούλ(ει) γενέσθαι ἑκάστη λίτρα τῶν ξ΄ λιτρῶν – ἢ ὅσων ἂν λιτρῶν ζητῇς ποιῆσαι ποσότητα –, τοσαύτας οὐγγίας χρὴ ἔχειν καὶ αἱ λίτραι, ἃς λαμβάνεις ἀναλόγως.

εἰ οὖν ζητεῖς ἑκάστη λίτρα τῶν ξ΄ λιτρῶν ἀνὰ οὐγγιῶν ι΄, αἱ ς΄ λίτραι, ἃς λαμβάνεις, ἔστωσαν οὐγγιῶν ξ΄. εἰ δὲ ζητεῖς γενέσθαι ἑκάστη λίτρα τῶν ν΄ λιτρῶν ἀνὰ οὐγγιῶν ϑ΄, αἱ ε΄ λίτραι, ἃς λαμβάνεις, ἔστωσαν οὐγγιῶν με΄ καὶ ἑξῆς ὁμοίως.

οὕτω δὲ γενομένου δεκαπλασίασον ἑκάστην ἰδέαν τῶν λιτρῶν, ὧν ἔλαβες. καὶ ὅσαι λίτραι γένωνται αἱ δεκαπλασιασθεῖσαι λίτραι ἑκάστης ἰδέας, τοσαύτας λίτρας ἔχεις ἑνῶσαι ἐφ᾽ ἑκάστης τάξεως τῶν διαφόρων ἰδεῶν πρὸς τὸ ποιῆσαι, ἃς λίτρας ζητεῖς γενέσθαι – ἑκάστη λίτρα ἀνὰ οὐγγιῶν, ὅσων ἂν βούλ(ῃ) γενέσθαι.

μὴ μόνον δὲ ς΄ λίτρας ἐκ τῶν ξ΄ λιτρῶν καὶ ε΄ ἐκ τῶν ν΄, τουτέστι τὸ δέκατον μέρος – ὡς εἴπομεν – λαβὼν εὑρήσεις καλῶς τὸ ζητούμενον, ἀλλὰ καὶ ἐκ τῶν ρ΄ καὶ ἐκ τῶν ξ΄ καὶ ἐκ τῶν ν΄ λιτρῶν, ὧν βούλ(ει) ἑνῶσαι διαφόρους ἰδέας πρὸς τὸ ποιῆσαι ταύτας, ὅσων ἂν οὐγγιῶν βούλ(ῃ) γενέσθαι, λαβὼν λίτρας ι΄ εὑρήσεις καλῶς τὸ ζητούμενον, ὥσπερ λαβὼν καὶ τὸ δέκατον μέρος τῶν ζητουμένων λιτρῶν, ὧν βούλ(ει) ποιῆσαι.

ἔστω γὰρ ὅτι ἔλαβες ἐκ τῶν ξ΄ λιτρῶν λίτρας ι΄. βούλ(ει) δὲ ἑκάστη λίτρα τῶν ξ΄ γενέσθαι ἀνὰ οὐγγιῶν ι΄. αἱ ι΄ οὖν λίτραι, ἃς ἔλαβες, ἔστωσαν οὐγγιῶν ρ΄. ἑξαπλασίασον δὲ ἑκάστην ἰδέαν τῶν ι΄ λιτρῶν, ὧν ἔλαβες, καὶ γίνονται λίτραι ξ΄· ς΄κις

---

22 κρείττονες] κρίττοναι **C** 30 με΄] ν **falso C** 32 δεκαπλασιασθεῖσαι] $\overset{\alpha}{\iota}\overset{\alpha}{\pi}\lambda\sigma\iota\alpha\sigma$-θισαι **C**

γὰρ ι΄ ξ΄ γίνονται. καὶ ἰδοὺ ι΄ λίτρας παρὰ πάντων λαβὼν εὑρήσεις καλῶς τὸ ζητούμενον, ὥσπερ λαβὼν καὶ τὸ δέκατον μέρος, ὡς εἴπομεν.

κατὰ τὸν ὅμοιον οὖν τρόπον τῶν δύο τούτων μεταχειρίσεων καὶ ἐπὶ χρυσίου ποιῶν εὑρήσεις καλῶς τὸ ζητούμενον, κἄντε διαφόρους λίτρας χρυσίου βούλ(ῃ) ἑνῶσαι κἄντε οὐγγίας κἄντε ἐξάγια· ταὐτὸν γάρ ἐστι.

τέλος τῆς πρώτης βίβλου

III TEILÜBERSETZUNG UND KOMMENTAR

1 **Vorrede**

Die Methode und Behandlung der Arithmetik hat zwei umfassende Regeln und nicht mehr: Wenn das Kleinere multipliziert wird, wird das Ergebnis größer, als es vorher war, die größeren Teile aber werden nach Durchschneidung und Teilung in jedem Fall kleiner als die erste Größe und deren Wert. Da sich dies nun so verhält, versuchten viele häufig, besonders bequeme und zuverlässige Methoden herauszufinden und sich auszudenken, und so forschten sie zuverlässig und zugleich bequem in den von ihnen aufgesuchten Ländern, gleichviel ob sie den Blick auf das Größere richteten oder auf das Kleinere. Aber die Erfahrung mit den Dingen und die lange Zeit, die alles herausfinden und das noch nicht Bestehende sichtbar machen, aber auch das Bestehende wiederum der Vergessenheit übergeben und das Gewordene verbergen kann, als ob es nicht existiere – wie auch ein Weiser sagt:

Die ganze lange und unermessliche Zeit lässt das Verborgene wachsen und verbirgt das, was ans Licht gekommen ist –,

lehrte uns eine sehr bequeme und zuverlässige Methode, die von den Persern gefunden wurde, die alles bestens wissen und überaus weise sind. Bei uns aber wurde diese Methode nicht früher bekannt, sondern blieb unseren westlichen Ländern weithin verborgen, bis sie bei manchen von den in Italien lebenden Lateinern bekannt wurde; bei jenen aber, die dank des Geschäftsverkehrs und Handels und durch den Verkehr und durch häufige Zusammenkunft mit diesen dort darauf stießen, wurde sie bekannt. Ich glaube aber, dass vor nicht mehr als 100 Jahren diese Methode gefunden und bei manchen bekannt wurde, die in Italien leben; uns aber, die wir die griechische Sprache verstehen, blieb das Unternehmen hier wiederum verborgen. Nun aber hat auch uns die Zeit dieses offenbart. Damit sich aber nicht, wie wir schon früher sagten, die Zeit, die alles vermag, dazu anschickt, dass wir diese Methode wiederum der Vergessenheit übergeben, weil sie bei uns noch nicht gut gefestigt und verbreitet, vielmehr den meisten auch noch unbekannt ist, schien es uns recht und ganz besonders notwendig zu sein, diese aufzuzeichnen, damit sie auch den noch Unwissenden und denen, die sie lernen wollen, bekannt wird.

Die Byzantiner verwendeten noch überwiegend das seit dem 5. Jahrhundert v. Chr. in Griechenland nachgewiesene "milesische" Zahlensystem, ein auf dem Alphabet beruhendes nichtpositionelles additives System mit Zehnerbündelung. Dementsprechend war auch die Null als positionelles Leerzeichen unbekannt:

α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄, ϑ΄: 1, 2, 3, 4, 5, 6, 7, 8, 9

ι΄, ϰ΄, λ΄, μ΄, ν΄, ξ΄, ο΄, π΄, ϟ΄: 10, 20, 30, 40, 50, 60, 70, 80, 90

ρ΄, σ΄, τ΄, υ΄, φ΄, χ΄, ψ΄, ω΄, ϡ΄: 100, 200, 300, 400, 500, 600, 700, 800, 900

͵α΄, ͵β΄, ... ͵ϑ΄: 1000, 2000, ... , 9000

$\overset{\alpha}{M}$, $\overset{\beta}{M}$, ... oder ,ι΄, ,κ΄ ... : 10000, 20000, ...
M steht für Μύριοι (Zehntausender), darüber steht der Faktor.
Der Zahlenstrich zur Unterscheidung einer Zahl von einem Buchstaben ist auch als oberer Querstrich zu finden. Zur Zahlendarstellung wurde das griechische Alphabet durch drei Sonderzeichen semitischen Ursprungs ergänzt: ϛ΄ (Stigma), ϟ΄ (Koppa) und ϡ΄ (Sampi).
Zahlenbeispiele: ια΄, ρδ΄, ,σ,ζ΄β΄: 11, 104, 207002
Mit diesem Zahlensystem waren die Multiplikation und vor allem die Division nur mühsam durchzuführen. In der griechischen Logistik galt das Dividieren von und durch größere Zahlen als besondere Kunst, die z. B. dem sagenhaften Palamedes nachgerühmt wurde – vgl. VOGEL (1936, S. 380 f.) und DESCHAUER (1990, S. 6). Mit der obigen Bemerkung, dass die Suche nach bequemeren Methoden auf das *Größere* oder das *Kleinere* ausgerichtet gewesen wäre, dürfte, nachdem von den merkwürdigen *umfassenden Regeln* der Arithmetik die Rede war, das Bemühen um vereinfachte Verfahren der Multiplikation und der Division gemeint sein, das aber erst mit der "persischen Erfindung" zum erfolgreichen Abschluss gekommen sei. Hierbei denkt man vor allem an al-Ḫwārizmī (um 780–850), der aus dem damaligen persischen Raum (Choresmien) stammte: Seine "Algorismus"-Schrift hatte entscheidenden Anteil an der Verbreitung des indischen Zahlensystems im islamischen Raum, und lateinische Überarbeitungen kursierten seit dem 12. Jahrhundert in westlichen Gelehrtenkreisen (siehe VOGEL 1963, ALLARD 1992 und FOLKERTS 1994, 1997). Bezeichnenderweise ist im Einleitungstext dieser Handschriften ebenfalls von großen und kleinen Zahlen sowie von der Multiplikation und der Division die Rede:
... wir haben uns entschlossen, die Rechenweise der Inder mit Hilfe von IX. Buchstaben (Ziffern) *darzustellen und zu zeigen, durch die sie der Leichtigkeit und der Kürze halber ihre sämtlichen Zahlen darstellen, um dieses Unterfangen dem die Arithmetik Erlernenden zu erleichtern, d. h. sowohl große als auch kleine Zahlen und alles, was bei diesen auftritt, von der Multiplikation und der Division, aber auch vom Zusammenzählen und Abziehen usw.* (JUSCHKEWITSCH, S. 189)
Die Auffassung, dass das "neue" Zahlensystem persischen Ursprungs sei, findet sich auch im Scholion des Neophytos (um 1200) – vgl. TANNERY (1885, S. 101) und HEIBERG (1899, S. 165 f.). Auch waren dem Verfasser offenbar weder die früheste byzantinische Algorismusschrift von 1252 (ed. ALLARD 1977) noch deren Überarbeitung durch Maximos Planudes aus dem späten 13. Jahrhundert (ed. ALLARD 1981) bekannt, die beide bereits im Titel auf die indische Herkunft des neuen Zahlensystems hinweisen: Ψηφηφορία κατ' Ἰνδοὺς ἡ λεγομένη μεγάλη (Sogenannte große indische Rechenkunst). Er kannte wohl auch nicht die Schriften von Nikolaos Artabasdos Rhabdas, etwa dessen Neuausgabe des Rechenbuchs von Planudes oder den Brief an Georgios Chatzyke (um 1341, ed. TANNERY IV, 4 - 1886, Band 4, S. 86–117): In diesem Brief verwendet Rhabdas zwar noch das traditionelle System, verweist aber wie unser Schreiber auf die besonderen Vorzüge des neuen, indischen Systems bei der Multiplikation und der Division (S. 114 f.).

Der anonyme Autor vermutet, dass die neue Methode erst im 14. Jahrhundert (*vor nicht mehr als 100 Jahren*) nach Italien gelangt sei und dort Verbreitung fand, bei den Byzantinern zunächst aber unbekannt blieb. Man ist geneigt, an Leonardo von Pisa zu denken, dessen *Liber abbaci* von 1202 (vgl. BONCOMPAGNI 1857) den entscheidenden Anstoß dazu gab, dass sich das neue System – wenn auch anfangs noch zögerlich und teilweise bekämpft – in den folgenden Jahrhunderten allmählich in italienischen Kaufmannskreisen durchsetzte.
Außerdem verweist der Schreiber zu Recht auf die maßgebliche Bedeutung enger Handelsbeziehungen für die Ausbreitung dieser neuen Arithmetik. Hier wenigstens war Byzanz, das als Mittler zwischen Ost und West für die Wissenschaft unschätzbare Dienste geleistet hatte (vgl. VOGEL 1978), einmal in der Lage, selbst zu empfangen.
Der Schreiber möchte wohl seine literarische Bildung unter Beweis stellen, indem er zweimal (etwas ungenau) Sophokles zitiert (Aias 646–647, Fragm. 954) – vgl. PADUANO 1982: Den Topos der Zeit, die alles Verborgene ans Licht bringen, aber auch alles Bestehende wieder in Vergessenheit geraten lassen kann, bezieht er auf die neue Methode, die er nun ein für allemal schriftlich festhalten will, zumal sie den meisten Byzantinern auch jetzt noch unbekannt sei.

2 ***Über die zehn Ziffern, durch die jede Zahl entsteht***

Zuerst muss man wissen, dass diese Methode und Behandlung nur zehn Zahlzeichen benutzt und nicht mehr. Mit diesen zehn Zeichen aber können wir, wenn es möglich ist, dass unsere Vorstellungskraft die aufgezeigte Menge erfasst, sozusagen selbst den Sand auszählen; so weit voranschreiten können diese zehn Ziffern. Es sind aber diese zehn Ziffern die ähnlichen, ja vielmehr dieselben, die sich uns beim Bürgerlichen Rechnen bis zu den (ersten) neun Ziffern zeigen. Die zehnte Ziffer aber hat ein Zeichen, das wir gewöhnlich schreiben, wenn wir Nichts bezeichnen wollen; es ist dies hier: ϗ΄. Damit euch aber das Gesagte klarer wird, schreibe ich dir (!) *dies auf und lege es dar, wie du siehst:*

α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄ ϑ΄ ϗ΄

Die erste Ziffer, nämlich das Alpha, bezeichnet Eins, so wie es auch beim Bürgerlichen Rechnen genommen wird, das Beta aber bezeichnet Zwei und so der Reihe nach bis zum Theta, das Neun bezeichnet. Die kleinste und letzte Ziffer von allen aber, die das vorliegende ϗ΄ ist, kann nur ein Nichts bezeichnen, aber sie hat auch eine eigenständige Bedeutung für die ihr vorangesetzten Ziffern. Selbst aber für sich ist das ϗ΄ nicht imstande, etwas zu bezeichnen, denn das Nichts bezeichnet nichts. Deshalb wird es auch als Nichts geschrieben; an der Stelle nämlich, an der sich das ϗ΄ befindet, ist es eine Bezeichnung für nichts, wie wir entsprechend klarer erläutern werden.

Für jeden, der bisher ausschließlich ein nichtpositionelles System verwendet hatte, mussten beim dekadischen Positionssystem zwei Besonderheiten auffallen, die der Verfasser auch treffend beschreibt:
– Es genügen 10 Ziffern, um jede noch so große Zahl darzustellen.
– Die Null spielt eine besondere Rolle: Sie ist zwar einerseits ein "Nichts", hat

aber andererseits als Leerzeichen für eine unbesetzte Stelle *auch eine eigenständige Bedeutung für die ihr vorangesetzten Ziffern.*

Zur Verdeutlichung der ersten Besonderheit dient dem Autor die Auszählung des Sandes, ein unmissverständlicher Hinweis auf den ψαμμίτης, die "Sandrechnung" des Archimedes – vgl. CZWALINA (1963, S. 347–364). Hier wurden die Zahlen (ohne symbolische Darstellung) in 10^8 Oktaden eingeteilt: die 1. Oktade geht bis $10^8 - 1$, 10^8 ist Einheit der 2. Oktade, die bis $10^{16} - 1$ reicht usw. bis zur 10^8. Oktade, die von $10^{(10^8-1)8}$ bis $10^{10^8 \cdot 8} - 1$ reicht. Die letztere Zahl besteht in unserer Schreibweise aus 800 Millionen Neunern. Archimedes wie auch unser Autor waren sich der Schwierigkeit wohl bewusst, sehr große Zahlen im milesischen System darzustellen. Hier wie auch in jedem anderen nichtpositionellen Bündelungssystem erfordert nämlich jede neue Stufe der Bündelung im Prinzip ein neues Zahlensymbol.

Während in der byzantinischen Algorismusschrift von 1252 und auch im Rechenbuch des Planudes (ed. ALLARD 1977 bzw. 1981) τζίφρα (~ "Ziffer", von arab. *al-ṣifr* = die Leere, das Leersein) als Fachbegriff für die Null auftritt, treffen wir im vorliegenden Rechenbuch nur auf die Umschreibung (τὸ) οὐδέν. Bemerkenswert ist, dass es in Italien eine entsprechende Veränderung der Bezeichnung gegeben hat: Gegenüber früherem *zevero, cevero, cefiro, zero* (vgl. TROPFKE 1980, S. 17 f.) traten allmählich auch *nula* und *nulla* auf. Einen Beleg hierfür finden wir z. B. in der Arithmetik eines anonymen lombardischen Autors, die wahrscheinlich zu Beginn des 15. Jahrhunderts verfasst wurde, also vor unserer Handschrift:

